εἰπεῖν τε πρὸς αὐτήν· "Οὐκ ἦλθον τὰ σάβανά μου"; καὶ προσεποιεῖτο ὀργίζεσθαι τοῖς παισὶν αὐτοῦ καὶ ἀπειλεῖν, διότι οὐκ ἔφθασαν αὐτὸν φέροντες τὰ σάβανα, καὶ ἐκάθισεν εἰς ἕνα τῶν σκάμνων. οὔσης δὲ αὐτῆς ἐν κατηφείᾳ καὶ θλιβομένης, ἠρώτησεν αὐτήν· "Τί ἔχεις, γύναι, καὶ θλίβῃ;" τὴν δὲ ἀποκρίνασθαι, ὅτι "Τὸ παιδίον μου, δέσποτα, αἰφνιδίως τοὺς διδύμους αὐτοῦ ἐπόνεσεν, καὶ θέλω ἀπελθεῖν εἰς τὸν ἅγιον Ἀρτέμιον, καὶ ἀπολειφθῆναι τῶν ὧδε οὐ δύναμαι· πλὴν ἐποίησα τὴν κανδήλαν ἐπ' ὀνόματι τοῦ ἁγίου Ἀρτεμίου, καὶ ἰδοὺ ὁ θεὸς καὶ αὐτὸς οὕτως ἐλπίζω ἐπισκέψασθαι αὐτὸ ἔχει". τὸν δὲ πάλιν πρὸς αὐτὴν εἰπεῖν· "Καλὸν πρᾶγμα ἔχεις· ἐπειδὴ γὰρ τῷ θεῷ ἐπίστευσας, αὐτὸς αὐτὸ ἰᾶται διὰ τοῦ ἁγίου Ἀρτεμίου. ἀλλ' ἐὰν καταλάβωσιν οἱ ἄνθρωποί μου, ὑπὲρ τῆς ὑγείας τοῦ παιδός σου καλὴν ἔμβασιν ἂς ποιήσῃ μοι ὁ περιχύτης". ταῦτα αὐτοῦ λέγοντος, ἔξυπνος ἐγένετο ἡ γυνή· τοῦ δὲ παιδίου κλαύσαντος, θηλάσαι ζητοῦντος, ὡς δίδωσιν αὐτῷ τὸν μασθόν, ἱλαρὸν γενόμενον προσεχάρη αὐτῇ. ἡ δὲ τῇ χαρᾷ τοῦ βρέφους τὴν ὀπτασίαν πιστώσασα, μᾶλλον δὲ πιστωθεῖσα ὑπ' αὐτοῦ, ἁψαμένη αὐτοῦ εὗρεν αὐτὸ ὑγιὲς ὄν, καὶ ἀναστᾶσα ὄρθρῳ σπουδὴν ἔθετο εὐχαριστῆσαι τῷ θεῷ καὶ τῷ ἁγίῳ μάρτυρι. λαβοῦσα δὲ κηρὸν καὶ ἔλαιον καὶ ὅσα εἰς προσφορὰν εὐπόρως εἶχεν, ἀπελθοῦσα ἔδωκεν δόξαν τῷ θεῷ, τῷ μεγαλύναντι τὸν μάρτυρα, πᾶσιν ἐξηγουμένη τὰ παράδοξα θαύματα.

*Θαῦμα ιβ*. Ἑτέρα τις γυνὴ ἔσχεν υἱόν, ὃς ἐξαίφνης ἐγένετο καταβαρής, τῶν δύο αὐτοῦ διδύμων ἐξογκωθέντων, καὶ οὐκ ἴσχυεν ἐκ τῆς ὀδύνης ἠρεμῆσαι τοῦ κλαίειν. τοῦτον ἡ μήτηρ λαβοῦσα ἐν τῷ ναῷ τῆς Θεοτόκου τὰ Κύρου προσεκαρτέρησεν, σὺν δάκρυσιν

---

1 εἰπεῖν τὲ BC καὶ λέγει D || προσεποιήτω B  2 ἀπειλὴν B  3 ἐκάθεισεν C  4 κατηφία B  5 αὐτὴν om D  6 ἐφνιδίωσ B ἐφνηδίωσ C  7 ἀπωληφθεῖναι C  9 ἰδοὺ om D  10 ἀυτῶ C αὐτὸν B  11 ἔχεις CD ἐποίησας B || αὐτῶ B  13 ὑγίας BC || παιδός B υἱοῦ BD || ἐμβάσιν C || ἀσποιήση B ασποιήσει C  15 καὶ θηλάσαι D  16 πρὸσέχάρει C || προσ. αὐτῶ B  18 αὐτὸ] αὐτῶ BC || ὢν B  19 ὄρθρου B  20 δὲ C τοίνυν B || εὐπόρως CD εὐκαίρωσ B  21 οὐκ εἶχεν D || μεγ. τὸν ἑαυτοῦ B  22 αὐτοῦ θαύματα D  23 ἐξέφνης C  24 ξογκωθέντων C  25 ἠρεμεῖσαι C  26 τῆς ἁγίας θεοτόκου D



αἰτουμένη αὐτὴν τοῦ ἐξ αὐτῆς ἐλέους ἐπιτυχεῖν. φαίνεται οὖν αὐτῇ τις ἐν ὀνείρῳ καὶ λέγει αὐτῇ· "Ἀπάγαγε τὸ τέκνον σου εἰς τὴν Ὀξεῖαν, εἰς τὸν ἅγιον Ἰωάννην, καὶ παράμεινον τῷ ἁγίῳ Ἀρτεμίῳ, καὶ καλῶς ἕξει τὸ τέκνον σου". ἡ δὲ ἀναστᾶσα καὶ λαβοῦσα τὸ τέκνον ἀπῆλθεν εἰς τὸν λεχθέντα αὐτῇ ναόν, καὶ ποιήσασα τὰ ἔθη· καὶ παραμενούσης φαίνεται αὐτῇ ὁ ἅγιος ἐν ὀνείρῳ, ὅτι ἥψατο τῶν διδύμων τοῦ υἱοῦ αὐτῆς, καὶ εἶπεν· "Ὁ ἐκ τῆς Θεοτόκου τεχθεὶς Χριστὸς ὁ θεός, αὐτός σε ἰᾶται". ἡ δὲ διυπνισθεῖσα ηὗρεν αὐτὸ ὑγιὲς καὶ ἐδόξαζεν τὸν θεόν.

⟨*Θαῦμα*⟩ ιγ. Πεντήκοντά τις ἐτῶν ὑπάρχων, ἀνὴρ πεπολιωμένος καὶ νόσῳ τῶν διδύμων κεκρατημένος, προσεκαρτέρησεν τῷ ἁγίῳ ἡμέρας δεκαπέντε. ἐπειγούσης δὲ αὐτὸν φροντίδος οἰκιακῆς, ἅμα δὲ καὶ ἀπευδοκήσεως αὐτὸν ὠθούσης, ὡς οὐχ ὑγιαίνει τοῦ λοιποῦ εἰς γῆρας ἐλθών, ἄρας αὐτοῦ τὴν στρωμνὴν ἀνεχώρησεν. πιεζόμενος δὲ τῇ νόσῳ καὶ τῷ φόρτῳ τῆς στρωμνῆς ὀκνηρότερόν πως περιεπάτει. καταλαβὼν δὲ τὸ δημόσιον λουτρόν, τὸ λεγόμενον Δαγισθέου, κατὰ τὴν κύφην, ἔνθα ποτὲ τὰ σταῦλα ἦσαν τῶν τοῦ Ἱπποδρομίου ἵππων, ἀτονήσας ἀπέθετο τὴν στρωμνὴν ἐν μιᾷ γωνίᾳ καὶ ἀνεπαύσατο ἐπ' αὐτήν. ὥρα ἦν ὡσεὶ τρίτη. ὀδύνῃ δὲ σφοδρᾷ σφιγγόμενος καὶ ἀνακαλούμενος ἑαυτὸν ἐτράπη εἰς ὕπνον καὶ ὁρᾷ τινα νύξαντα αὐτοῦ τοὺς διδύμους, καὶ ἐκ τῆς ὀδύνης ἐξύπνισεν καὶ ηὗρεν ἑαυτὸν αἱμάτων καὶ πύων πεπληρωμένον, τό τε δέρμα τῶν διδύμων αὐτοῦ διερρωγὸς καὶ δυσωδίαν οὐ φορητὴν ἀποπνέον. παραυτὰ δὲ ὑποστρέψαντος αὐτοῦ εἰς τὸν οἶκον τοῦ Προδρόμου, σπόγγοις καὶ χλιαροῖς ὕδασιν οἱ εὑρεθέντες ἀπέμαξαν αὐτοῦ τὸν ἰχῶρα. ἐπιθείς τε τῷ διερρωγότι τόπῳ ἔμπλαστρον ἐκ τῆς κηρωτῆς ὑγιὴς γέγονεν.

---

2 τις] τῆσ B || ἐνονήρω C || τὸ] τῶ B  3 εἰς τὴν Ὀξεῖαν om B || παράμϊνον C  5 λαβ. τὸ παιδίον B  7 ἐνονήρω C  9 διϋπνισθῆσα B διύπνισθεὶσ C || αὐτῶ BC || ὑγιεῖ B ὑγιῆ C || καὶ ἐδόξασεν B  10 πεπολϊομένοσ C  12 ἐπιγούσησ BC || οικειάκῆσ C  13 ὑγιαίνη B ὑγιένει C  14 στρομνὴν hic et infra ubique BC  15 πιεζώμενοσ δὲ τὴ νώσω C || στρόμνησ B  16 περιεπάτη B  17 Δαγισθέου] яко некорьмныя C || στάβλα B. τὰστάλα C σῖτα D  18 ἀτονίσασ B || τρομνὴν C || μϊαγονῖα C  19 ὀδύνησφοδρᾶσυίὸν σφιγ. C  20 ἐτράπει C  21 ἐξύπνησεν BC  22 ἑαυτῶν C || πύων *: ποιῶν C ἐμποίων B  23 φοριτὴν ἀποπνέων B  24 πάραυτα δὲ ὑπνοσ τρέψαντοσ C  26 ἐπιθέντεσ δὲ B || διερρωγῶτι C

⟨*Θαῦμα*⟩ ιδ. Τὶς ναύτης τῷ αὐτῷ νοσήματι περιπεπτωκὼς προσεκαρτέρησεν τῷ ἁγίῳ ἡμέρας τριάκοντα· τῶν δὲ συνναυτῶν αὐτοῦ ἐπειγόντων αὐτὸν πρὸς τὸ ἀποπλεῦσαι, ἀναχωρήσας τοῦ ναοῦ ἀπέπλευσεν· μετὰ δὲ τὸ ἐξαβυδῆσαι αὐτούς, πλεόντων αὐτῶν φορῷ ἀνέμῳ, ὀφθαλμοφανῶς ἑώρων τινὰ χλαινοφόρον ἑστῶτα παρὰ τῷ κυβερνήτῃ ἐπιτάττοντα, καὶ ἐξεθαμβοῦντο ἐπὶ τῷ ξένῳ θεάματι, ὁρῶντες ἐν τοιούτῳ σχήματι ξένον αὐτοῖς συμπλέοντα. ἔτυχεν δὲ τῷ τηνικαῦτα τὸν νοσοῦντα πλησίον κατάκεισθαι τοῦ κυβερνήτου. ὡς οὖν ὁρμᾷ δῆθεν ὁ βλεπόμενος αὐτοῖς ξένος ἐπιλαβέσθαι τοῦ αὐχένος, ἅτε δὴ βοηθήσων τῷ κυβερνήτῃ, ἄγνοιαν προσποιησάμενος πατεῖ τὸν νοσοῦντα κατὰ τῶν διδύμων· ὁ δὲ φόβῳ συσχεθεὶς ἀνέκραξεν μέγα, ψηλαφήσας τε τοὺς ἑαυτοῦ διδύμους εὗρεν αὐτοὺς ὑγιεῖς, καὶ ἐκπλαγεὶς ἐπὶ τῷ γεγονότι ἔδειξεν ἑαυτὸν καὶ τοῖς ἑταίροις, οἳ καὶ τὸ θαῦμα ἰδόντες καὶ ἀφανῆ γεγονότα τὸν συμπλέοντα ξένον ἐπὶ πολλὰς τὰς ὥρας τὸ "Κύριε ἐλέησον" ἔκραξαν. ἀποκομισθέντων δὲ αὐτῶν, εὐθέως ὁ ἰαθεὶς τὰ πρὸς εὐχαριστίαν ἐπιτήδεια λαβὼν ἐπανῆλθεν ἐν τῇ πανευδαίμονι, ἔνθα ἐστὶν ἡ τοῦ ἁγίου σορός, εὐχαριστῶν τῷ θεῷ καὶ τῷ ἁγίῳ μάρτυρι·

⟨*Θαῦμα*⟩ ιε. Ἐπ' ἐλευθερικῇ ὑπουργίᾳ ἦν τις προσκαρτερῶν ἑνὶ τῶν ἐξεχόντων, ὃς ἐσχόλαζεν ἐν τῇ παννυχίδι τοῦ Προδρόμου κατὰ Σάββατον. ἕτερος δέ τις νέος τὴν ἡλικίαν, Ναρσῆς ὀνόματι, τῷ αὐτῷ ἄρχοντι καὶ αὐτὸς ὑπουργῶν, αἰνιττόμενος τὸν ἅγιον ὠνείδιζεν πολλὰ τὸν τῇ παννυχίδι σχολάζοντα, διαπαίζων καὶ τὴν ὑμνῳδίαν καὶ τοὺς ἐν αὐτῇ εὑρισκομένους. οὐ μόνον δέ, ἀλλὰ

1 Ναύτησ τίσ B ‖ περιπεσὼν B 2 ἁγίω μάρτυρι B ‖ σὺν ναύτων B συνάυτῶ των C 3 ἐπιγόντων BC ‖ ἀναχωρίσας B 4 ἐξαβυδίσαι B ἐξαβυδῆσ ἀι C ‖ πλ. αὐτῶ B ‖ φώρω ἀνέμω B φορωανέμω C 5 ἑόρωτινὰ C ‖ χλαιναφόρον B χληνϊφόρον C 6 κυβερνίτη hic et infra B ‖ ἐξαιθαμβοῦντο C 7 ὁρόντεσ ἐν τοιούτω σχρῆματϊ C ‖ συμπλ. αὐτοῖσ B 8 κατάκ. πλησίον B πλησ. κατὰκεῖσθαι C 9 ὥρμησεν ὁ βλ. δῆθεν BD ‖ αὐτοῖς ξένος om BD 12 ψυλαφήσας C 13 ὑγιῆσ C ‖ γεγονώτι C ‖ καὶ post. om D 14 ἑταίροις (дружинѣ) D ἑτέροισ BC ‖ αὐτοῦ. οἵτινεσ ἴδόντεσ τὸ παράδοξον θέαμα καὶ ἀφ. B 15 συμπλ. σὺν αὐτοῖς κυβερνήτην D ‖ ὥρας ἔκραζον B 16 ἀποσωθέντων δὲ αὐτῶν εἰς τὰ ἴδια B 17 πανευδ. κωνσταντινουπόλει B 18 σωρὸς BC ‖ ἁγ. αὐτοῦ μάρτ. ἀρτεμίω B 19 Ἐπελευθ. C Ἐν τῆ ἐλευθ. B 20 ἐξεχόντων C ἐξοχοτάτων BD 21 κατὰ πᾶν D 22 καὶ αὐτὸς om BD ‖ ἐνηττόμενοσ C 23 ὀνείδιζεν B ὀνίδιζεν C ‖ διάπέζων καὶ τὶν C 24 δὲ τοῦτο B



καὶ βλασφήμους ἠφίει λόγους, φάσκων ἐν εἰρωνείᾳ· "Ναί, καὶ ὁ ἅγιος Ἀρτέμιος τάχα τοὺς κηλήτας ἰᾶται"; κεχρημένῳ δὲ αὐτῷ συνεχῶς τούτοις τοῖς ῥήμασιν, εἶπεν ὁ τῇ παννυχίδι προσεδρεύων. "Ναρσῆ, παῦσαι, μὴ κακῶν πειραθῇς". ὁ δὲ πλειόνως μᾶλλον ἐξήπτετο. χρόνῳ γοῦν τινι συνέβη τὸν Ναρσῆν νοσῆσαι χαλεπῶς καὶ ἐν αὐτῇ τῇ νόσῳ τὰ αἰδοῖα αὐτοῦ ὀγκωθῆναι. τότε δὴ τότε ὁ ὑπ' αὐτοῦ ὀνειδιζόμενος ἐλεύθερος ἐπισκεψάμενος αὐτὸν προέτρεπεν εἰς τὸν ἅγιον Ἀρτέμιον ἀπελθεῖν, καὶ ἀπήγαγεν αὐτὸν μετὰ φορείου εἰς τὸν ναὸν τοῦ Προδρόμου, ἔνθα ὁ ἅγιος κατάκειται, καὶ ἦν ἐκεῖσε μετανοῶν ἐφ' οἷς πάλαι ἀφρόνως ἐφθέγξατο. καρτεροῦντα οὖν αὐτὸν μετὰ πολλῆς κατανύξεως ὥρᾳ δευτέρᾳ μιᾶς τῶν ἡμερῶν ἔτυχεν ὑπνῶσαι, καὶ ὁρᾷ τινα φοροῦντα πατρικιότητος σχῆμα, καθὼς αὐτὸς διηγήσατο, καὶ ἐρχόμενον ἀπὸ τοῦ νάρθηκος, οὗτινος προηγεῖτο περιστερὰ λευκὴ ἄσπιλος. εἰσελθὼν δὲ εἰς τὸν ναὸν καὶ ἀνακάμψας ἦλθεν εἰς τὸν ἀριστερὸν ἔμβολον διὰ τῶν ἄνωθεν καγκέλλων ὡς ἐπὶ τὸ σκευοφυλάκιον, καὶ ἔστη ἔμπροσθεν τοῦ νοσοῦντος, καὶ λαβὼν τὴν προηγουμένην αὐτοῦ περιστερὰν ἔσφαξεν κατὰ τῶν διδύμων τοῦ νοσοῦντος· ὁ δὲ ἔξυπνος γενόμενος ἀφηγεῖται τῷ προσμοναρίῳ τὸ ὄναρ. οὔσης δὲ ὥρας λοιπὸν τοῦ κοινωνῆσαι αὐτὸν καὶ γεύσασθαι, μόλις ὑπὸ τοῦ προσμοναρίου κουφισθεὶς ἀνίσταται· ὑφ' οὗ παρακρατούμενος κατήρχετο εἰς τὴν ἁγίαν σορόν, πιεῖν ὀφείλων κατὰ τὸ εἰωθὸς καὶ ἐκ τῆς κανδήλας τοῦ ἁγίου. ὡς οὖν κουφίζει τὰ ἱμάτια αὐτοῦ, ὅπως μὴ σκελισθῇ ὑπ' αὐτῶν, ᾐσθάνθη τινὸς ὑγρασίας οὔσης εἰς τὰ σκέλη

1 ἠφίη B ἠφήει C ‖ ἠρωνία BC ‖ ναί, τάχα καὶ B 2 κιλήτασ B ‖ κεχριμένω δεάυτῶσυμένω δεάυτῶ συνεχῶσ C 3 εἶπεν αὐτῶ ὁ ἄνοσ B ‖ ὅτι C 4 κακῶν πειραθεῖσ C πειραθεὶσ κακῶν B 5 συνέβει C συνέβη om D 6 τῆν-νόσω, τὰ ἀιδύα C 7 ὁ ὑπ' αὐτοῦ ὀνειδ. om D ‖ ὀνϊδϊζόμενοσ C ‖ προέτρ. αὐτὸν ἀπελθεῖν εἰσ B 9 φορίου BC ‖ κατάκειται ὁ ἅγιος D 10 πάλαι CD προμικροῦ B 11 ὁρᾶ δευτέρασ μιᾶς οὔσησ B 12 ἡμερῶν κατόναρ τινὰ φοροῦντα B ‖ ἔτυχεν αὐτὸν D ‖ ὡρᾶτινα C 13 νάρθικοσ B 14 προήγήτο C ‖ ἄσπηλοσ C 16 καγκέλων BC ‖ ἐπιτὸ σκευοφυλακίον C 17 λαβὸν C ‖ ἁγίαν περιστερὰν B 18 ἔσφαξεν ἐπάνω τοῦ νοσοῦντος κατὰ τῶν διδύμων B 19 ἀφειγεῖται C ‖ τὸ ὄναρ om D τὸ ὅραμα B ‖ λοιπὸν ὥρασ B 20 μόλησ C 22 σωρὸν BC ‖ ὀφεῖλον B πιεινοφιλῶν C ‖ καὶ κατὰ τῶ B ‖ ἰωθὸσ C 23 κανδίλησ C ‖ ἐκούφισεν B. 24 σκελλισθῆ BC ‖ εἰστασκέλλη BC

αὐτοῦ· ὑπενόει δὲ ἑαυτῷ περιχέειν, ὡς ἐνίπτετο τὴν ὄψιν. ἐπεὶ οὖν καὶ τῶν ἱματίων ἀψάμενος ᾔσθετο ὑγρῶν ὄντων, διηπόρει τί τὸ γεγονός, καὶ μετὰ ὥρας ψηλαφήσας τοὺς διδύμους αὐτοῦ εὗρεν αὐτοὺς διερρωγότας ἐπὶ δακτύλους τρεῖς, αἱματός τε καὶ πύου τὴν τῶν σκελῶν καὶ τῶν ἱματίων οὖσαν ὑγρότητα, φόβῳ δὲ συσχεθεὶς καὶ ὀλιγοψυχήσας ἔπεσεν. βαστάσαντες δὲ αὐτὸν οἱ παρόντες ἤγαγον εἰς τὴν στρωμνήν, ὕδασίν τε χλιαροῖς καὶ σπόγγοις καθάραντες αὐτοῦ τὰ σκέλη καὶ τὸ ἕλκος, δίκην ἐμπλάστρου τὴν κηρωτὴν τοῦ ἁγίου μάρτυρος ἐπέθηκαν, καὶ οὕτως ὁ ἀσθενῶν ὑγιὴς ἐγένετο.

⟨*Θαῦμα*⟩ ιϛ. Ἀνήρ τις Σέργιος τοὔνομα, τῷ γένει Ἀλεξανδρεύς, φύλαξ ὢν τοῦ ὁρίου τῶν Καισαρίου, τοῦ ἐπιλεγομένου Λαμίας, ὡς ἐτῶν ὑπάρχων ἑξήκοντα καταβαρὴς ἐγεγόνει· ἐσύχναζεν δὲ τῷ μάρτυρι, δεόμενος αὐτοῦ καὶ ταῦτα λέγων· "Ἅγιε Ἀρτέμιε, δοὺξ καὶ αὐγουστάλιος εἰς Ἀλεξάνδρειαν τὴν χώραν μου γέγονας, ἴασαί με μετὰ τῶν πολλῶν. οἶδας γὰρ ὅτι καὶ γέρων εἰμὶ καὶ ἐᾶσαι τὸ ὅριον καὶ παραμεῖναί σοι οὐ δύναμαι· εἰ γὰρ ἐάσω αὐτό, ἄλλον βάλλουσιν καὶ στεροῦμαι καὶ τοῦ τόπου καὶ τῆς τροφῆς, καὶ ταῦτα μὴ δυνάμενος καμεῖν". ταῦτα καὶ τὰ τούτοις ὅμοια ἔλεγεν, ὁσάκις ἀπῄει πρὸς τὸν ἅγιον εὔξασθαι. κοιμωμένῳ δὲ αὐτῷ εἰς τὸ ὅριον, φαίνεται αὐτῷ ἐν μιᾷ τῶν νυκτῶν ὁ ἅγιος· ἐδόκει δὲ ὁ γέρων τὸν κόμητα τῶν ὁρίων ὁρᾶν· καὶ προσελθὼν ὁ ἅγιος φησὶν πρὸς αὐτόν· "Πολλὰ κοιμᾶσαι καὶ ἀμελεῖς τοῦ ὁρίου· βλέπε, πρόσεχε μὴ συληθῶσιν τὰ ὧδε". καὶ ἐπιδοὺς αὐτῷ νόμισμα ἔφη· "Δέξαι, ἵνα πίῃς". τὸ δὲ ἦν κηρωτή. ὁ δὲ διυπνισθεὶς

3 γεγονὼσ. καὶ μετὰ τοῦτο B 4 διερογώτασ ἐπιδακτύλλουσ C || ποιοῦ C ἐμποίου B 5 σκελλων C || υγρώτιτα C 6 συσσχεθεὶσ C || δὲ B τε C οὖν D || αὐτὸν om D 8 καθάρ. αὐτόν, δίκην B || τὰσ κέλλη C 13 ὃσ B 14 καὶ om D 15 ἀλεξάνδριαν C 16 ἴασέ C || καὶ pr. om D 17 ἔσαι (=ἐᾶσαι) C || δύναμε C || αὐτῶ C 18 βάλουσιν B || στερ. τοῦ τ. μᾶλλον καὶ τρ. μὴ δυν. καμεῖν D 19 καμεῖν καὶ ζῆσαι B 20 ὁσάκεισ C || ἀπίει B ἀπείῃ C || κοιμωμένου δὲ αὐτοῦ B 21 αὐτὸ B || ὁ ἅγ. κατὄναρ B || ἐδώκει B 21/22 ἐδόκει usque ad ἅγιος cod. B post πίῃς (2) ponit 22 κώμητα B 23 καὶ φησὶν B || ἀμελῇσ B 24 νόμ. ἓν B 25 δέξαι γέρων B || πίεισ B πιῇσ C || τὸ δὲ usque ad δὲ om B || καὶ διϋπνισθεὶσ B ὁ δὲ διύπνησθεὶσ C



ἔχαιρεν διὰ τὴν τοῦ νομίσματος δόσιν. ἔτι γὰρ τῷ ὕπνῳ βεβαρημένος ὑπελάμβανεν καὶ ἐν ἀληθείᾳ ἔχειν τὸ νόμισμα. ὡς δὲ τὴν παλάμην αὐτοῦ καὶ τοὺς δακτύλους ἥπλωσεν καὶ ηὗρεν ἀπὸ κηρίου σφραγίδιον ἔχον ἐκτύπωμα τοῦ ἁγίου, ἐν ἑαυτῷ γενόμενος ἔγνω τὸ οἰκονομούμενον ἐπ' αὐτῷ θαῦμα, καὶ ὅτι ὁ ἅγιος Ἀρτέμιος ἦν ὁ ὀφθεὶς αὐτῷ· παραχρῆμα δὲ τὸ σφραγίδιον διαμαλάξας ἤλειψεν αὐτοῦ τὰ αἰδοῖα, καὶ οἵαν ὥραν ἥψατο αὐτοῦ τὸ μαλαχθὲν τῆς σφραγῖδος κηρίον, εὐθέως ὑγιὴς ἐγένετο καὶ ἐδόξασεν τὸν θεὸν καὶ τὸν ἅγιον μάρτυρα.

⟨*Θαῦμα*⟩ ιζ. Ἐν τοῖς χρόνοις Ἡρακλείου τοῦ τῆς θείας λήξεως ἀνήρ τις τῶν ἐν τῇ συγκλήτῳ Σέργιος ὀνόματι, τὸ ἐπίκλην Ὁ κατὰ ἄνθρωπον, ὃς ἦν πατρίκιος καὶ θεῖος δικαστής, ἀνήκοντα αὐτῷ πρὸς γένος ἔσχεν τινὰ ὡς ἐτῶν τεσσαράκοντα· καὶ οὗτος ἦν καταβαρής· θλιβομένου δὲ τοῦ πατρικίου περὶ αὐτοῦ, ὑποτίθεταί αὐτῷ τις πέμψαι αὐτὸν εἰς τὸν ἅγιον Ἀρτέμιον· ὁ δὲ μετὰ τῆς ὀφειλούσης τιμῆς στέλλει αὐτόν. μέλλοντος δὲ αὐτοῦ ἔρχεσθαι, ᾔσθετό τις ἀνὴρ τῷ γένει Ἀλεξανδρεύς, τελῶν σκηνικά, οἷς μάλιστα φιλοῦσιν οἱ ἄρχοντες ἐπιτέρπεσθαι. αἰσθόμενος δὲ προσέθετο ἀκολουθῆσαι, λέγων· "Μὰ τὸν φόβον τοῦ θεοῦ, μετ' αὐτοῦ ὑπάγω"· ὁ δὲ νοσῶν, διὰ τὸ ὑπ' αὐτοῦ μετεωρίζεσθαι, ἔλαβεν αὐτὸν μεθ' ἑαυτοῦ καὶ ἔρχονται εἰς τὴν ἐκκλησίαν, ἔνθα κατάκειται ὁ ἅγιος Ἀρτέμιος. ὥρᾳ δεκάτῃ ηὔξατο καὶ προέτρεψεν τοὺς ἑβδομαρίους ἐπὶ δεῖπνον. μετὰ δὲ τὸ δειπνῆσαι παρεκάλει αὐτοὺς λέγων· "Ἄφετε κοιμηθῶ κάτω εἰς τὴν ἁγίαν σορόν". οἱ δὲ διεκώλυον αὐτὸν λέγοντες, μὴ ἐξὸν εἶναί τινι ἐκτὸς Κυριακῆς διαφαυούσης κοιμηθῆναι κάτω· ὁ δὲ ταῦτα ἀκηκοὼς ἐστύγνασεν. ἵνα δὲ μὴ

1 ἰἔχαιρ. ἐπὶ τῇ τοῦ νομ. μεταλήψει. ἔτι δὲ B || βεβαρ. ὢν ὑπελ. μὴ B 2 καὶ om D 3 παλάμϊν C || δακτ. αὐτοῦ ἤπλ. εὗρεν B 4 ἔχων BC || ἐκτύπομα C || ἐνεαυτῶ δὲ B 6 ὠφθεὶσ BC 7 αἰδύα C || οἷαν usque ad κηρίον om B || ἡὰν ὥραν C 8 ἐδόξαζεν B 10 ἡρακλίου A 12 καὶ om D 13 οὕτωσ C 14 κατοβαρεῖσ ABC 16 στέλλει AC πέμπει B 17 σκηνηκὰ C || οἷσ AC οἷα B 18 μάλλιστα C || ἐσθόμενοσ A 19 ἀκολουθεισαι C || ἀκολ. αὐτῶ A ἀκολ. τῶ νοσοῦντι B 20 τοῦπάυτοῦ C 22 δεκάτη. εὐξάμενοσ οὖν A δεκ. καὶ ηὔξαντο B || προετρέψατο AB || ἑβδ. τοῦ ἁγίου ναοῦ B 23 ἐπιδίπνον C || δῖπνίσαι C || αὐτοὺς om D 24 ἄφεται C ἄφετέ μοι κοιμηθῆναι B || σωρὸν ABC || ἐκώλυον A οἱ δὲ ἑβδομάριοι διεκώλυον B 25 ἐξῶν AB || εἶναι om B || ἐκτὸς om B || διαφεούσησ ABC 26 ἀκηκωὸς C ἀκούσασ A

δόξωσιν οἱ ἑβδομάριοι σκανδαλίζειν αὐτόν, ὡς προφάσει τοῦ ζητεῖν αὐτοὺς λογάριν ταῦτα λέγειν, παρεχώρησαν αὐτῷ κοιμηθῆναι ἐν τῇ ἁγίᾳ σορῷ, ἅμα δὲ καὶ ὡς τῶν ἐνδόξων ὑπάρχοντι. πολλὰ δὲ ὁ Ἀλεξανδρεὺς γελοιάζων, ἐφιλονείκει καὶ αὐτὸς κάτω κοιμηθῆναι, ἀλλ' οὐ παρεάθη ὑπὸ τῶν ἑβδομαρίων, μόλις αὐτὸν πεισάντων ἄνω εἰς τὸν ναὸν κοιμηθῆναι. καὶ δὴ κοιμᾶται ἔμπροσθεν τῆς εἰκόνος τοῦ ἁγίου Ἰωάννου, ἔνθα ἡ τροπικὴ κατὰ τὴν ἀρχὴν τῆς δεξιᾶς καταβάσεως. κατὰ δὲ τὸ μεσονύκτιον πρὸς ὕδωρ ὁ σκηνικὸς ἐπείγετο, καὶ γυρεύσας ὅλον τὸν ναὸν καὶ μὴ εὑρὼν ἐξελθεῖν, διὰ τὸ κατὰ τὸ εἰωθὸς ἀσφαλιζομένου αὐτοῦ κατὰ νύκτα μετὰ καὶ τῶν ἐκ δύο πλευρῶν τεσσάρων καγκέλλων, στὰς κατὰ τὴν δεξιὰν τοῦ ναοῦ πύλην, παρ' ἥντινα τὸ φρέαρ ἐστὶν καὶ ἡ γραφὴ τῆς Σαμαρείτιδος, οὔρησεν ἐκεῖ. καὶ μετὰ τὸ οὐρῆσαι αὐτὸν κατασπᾶται αὐτῷ κήλη φθάζουσα κάτωθεν τῶν γονάτων αὐτοῦ. ἔκραζεν δὲ ὀδυνώμενος τῇ γελοιώδει, ὡς ἴσμεν, τῶν Ἀλεξανδρέων γλώσσῃ· "Μὰ τὸν φόβον τοῦ θεοῦ, ἐπιθέτης ἐστὶν οὗτος ὁ ἅγιος· κηλοποιός ἐστιν, μὰ τὸν ἅγιον Μηνᾶν. οὐαὶ τῷ δι' οὗ εἶδον τὰ ὧδε". ἐπιμόνως δὲ αὐτοῦ κράζοντος, ὁ ἐν τῇ ἁγίᾳ σορῷ κοιμώμενος δόξας γελοίου χάριν αὐτὸν κράζειν, ἀνέρχεται, καὶ προσποιησάμενος ἐπείγεσθαι ὑπὸ τῆς γαστρὸς ᾔτησεν ἀνοιχθῆναι αὐτῷ τὸ κάγκελλον. ὡς δὲ ἐξῆλθεν, ἐν τῷ καθεσθῆναι αὐτὸν μετεκαλέσατο τὸν σκηνικὸν καὶ ἐπετίμησεν αὐτῷ λέγων· "Οὐδ' ἐν τῇ ἐκκλησίᾳ ἠρεμεῖς καὶ σιωπᾷς, ἀλλὰ φλυαρεῖς καὶ οὐκ ἐᾷς ἡμᾶς κοιμηθῆναι. εἰ τοῦτο ᾔδειν, οὐκ ἤρχου μετ' ἐμοῦ". ὁ δὲ

1 προφασι B  2 αὐτοὺσ AC αὐτὸν B || λογάρην A || αὐτὸν A  2/3 λέγειν. ἅμα δὲ καὶ ὡς τῶν ἐνδόξων ὑπάρχοντα, παρεχ. κοιμ. αὐτὸν κάτω ἐν τῇ ἁγία σωρῶ. πολλὰ etc B  3 σωρῶ ABC  4 ἐφιλονήκει A ἐφιλονείκη B || κοιμηθ. κάτω B  5 ἀλλουπαρεάθει C || μόλησ αὐτῶν C  7 τροπικὴ = увращение D || τροπικῆ ἐστιν B  8 πρὸσ δὲ τῶ μεσονύκτιον B  9 σκηνηκὸσ hic et infra C || ἐπίγετο C ἐπήγετο A ἠπήγετο B  11 μετὰ usque ad καγκέλλων om B || στὰσ οὖν B  12 πύλην τοῦ ναοῦ B  13 γραφεῖ C || σαμαρήτιδοσ C σαμαρίτιδος AB  14 κίλη B || φθάνουσα A || γωνάτων A  15 ὀδυνόμενοσ AB ὀδυνῶμαινοσ C || ὀδυν. μεγάλη τῇ φωνῇ. μᾶ τὸν φόβον B || γελοιώδη AC || ἴσμεν*: εἰσ μὲν C εἴωθεν A  16 γλώσσει A γλῶσσησ C || οὗτος post ἅγιος in B  17 κιλοποιόσ B || ουαιτωδιουΐδοντα ὧδε C  18 ἴδον AB  19 σωρῶ ABC  20 ἐπήγεσθαι C || ἤτησ ἐν C  21 κάγκελον B || ἐν τῶ αὐτὸν πάλιν καθεσθῆναι B  22 σκηνηκὸν κ. ἐπετήμησεν C || αὐτὸν AB || οὐδὲ B  23 ἠρεμῆσ AB || φλυαρῆς B  24 εἰτούτονδεὶν C



σκηνικὸς πρὸς αὐτόν· "Οὐαὶ τῇ ὥρᾳ, ἐν ᾗ ἦλθον εἰς τὸν ἅγιον τοῦτον". ὁ δὲ πλέον αὐτῷ ἐπετίμα, ἀγνοῶν τὸ εἰς αὐτὸν γεγονός. μετὰ δὲ πολλοὺς λόγους ἔφη ὁ σκηνικὸς τῷ νοσοῦντι· "Ἆρόν σου τὰ ἱμάτια, ἵνα ἴδω τὴν κήλην σου". καὶ σηκώσαντος αὐτοῦ, ὁρᾷ αὐτὸν ὁ σκηνικὸς ὑγιῆ καὶ μηδὲν ἔχοντα κακόν. εἶτα κουφίζει καὶ αὐτὸς ὁ σκηνικὸς τὰ ἱμάτια αὐτοῦ, καὶ δείκνυσιν αὐτῷ τὸ συμβὰν αὐτῷ. ὅπερ ἰδὼν ὁ ἰαθεὶς ἔκρουσεν εἰς τὸ μέτωπον αὐτοῦ· ἐπήρχετο δὲ αὐτῷ καὶ γελᾶν ἅμα καὶ σκυθρωπάζειν, καὶ ὅλος ἠλλοιοῦτο· ὁ δὲ σκηνικὸς ἔλεγεν πρὸς αὐτόν· "Μὰ τὸν ἅγιον Μηνᾶν, καὶ σὺ καὶ ὁ ἅγιος οὗτος ἐπιθέται ἐστέ. οὐαί, οὐαί, τὴν σὴν κήλην ἐμοὶ ἔπεμψεν. αἳ πατρωνία, αἳ συγκρότησις. οὐαὶ τῷ ἁγίῳ τούτῳ· ἴδε τίνα λέγουσιν ἰᾶσθαι τὰς κήλας. ὑγιὴς ἦλθον καὶ κηλήτης ἀναχωρῶ". ἡμέρας δὲ γενομένης, διεθρυλεῖτο τὸ γεγονὸς καὶ ἡ ἐκκλησία ὠχλεῖτο. ἀπάραντες οὖν ἐπορεύοντο εἰς τὸν οἶκον, ὁ μὲν πρώην νοσῶν ὑγιής, ὁ δὲ ὑγιὴς καταβαρής· τὰ δὲ ἐν τῇ ὁδῷ ἀξιόλογα λεχθέντα ὑπὸ τοῦ σκηνικοῦ περισσὸν οἶμαι καὶ λέγειν, καὶ παρίημι αὐτὰ διὰ τὸ πλῆθος. ἐν δὲ τῷ μέλλειν αὐτοὺς συνεστιᾶσθαι τῷ πατρικίῳ ἦλθον οἱ δύο ἅμα καί φησιν πρὸς τὸν συγγενῆ ὁ πατρίκιος· "Πῶς ἔχεις; πῶς βλέπεις ἑαυτόν"; ὁ δὲ σκηνικός, ἔτι τεταραγμένος ὤν, τάχος ἀναστείλας τὰ ἱμάτια ἑαυτοῦ καὶ γυμνώσας ἑαυτὸν ἐπὶ πάντων ἐπεδείκνυεν λέγων· "Ἴδε πῶς ἔχει· τὴν αὐτοῦ κήλην ὁ ἅγιος ἐκεῖνος, ⟨ὃς⟩ τάχα δοὺξ καὶ αὐγουστάλιος ἐγένετο τῆς χώρας μου, ἐμοὶ ἔπεμψεν". ἐπὶ τούτοις οἱ παρόντες καὶ ἐγέλων καὶ ἐδάκρυον· ἐν δὲ τῷ διαπορεῖσθαι αὐτοὺς ἐπὶ τῷ γεγονότι καὶ πολλοῖς πυκτεύειν λογισμοῖς, βλεπόντων

1 post αὐτον D ἔφη add || ἦλθων C  2 πλέον αὐτὸν A || ἐπετήμα C || ἐπ. αὐτῶ, ἀγνωὸν B || γεγονὼσ ABC  3 τὸν νοσοῦντα B  4 εἴδω A || κίλην B || σικώσαντοσ A κουφίσαντοσ B || αὐτοῦ τὰ ἱμάτια αὐτοῦ, ὁρᾶ B  5 κακὸν ἔχοντα B  7 μέτοπον AC  8 ἐπεῖρχετο A || ὅλωσ AB  9 ἠλοιοῦτο C ἠλλιοῦτω B  10 καὶ σὺ om D || σοὶ B || ἐστάι B  11 κίλην B || αἳ πατρωνία, αἳ συγκρότησις A om BD ἔπατρόνια. ἐσυγκροτήσεισ C  12 κίλασ B  13 κηλητῆσ C κιλήτησ B || ἀναχορῶ A || διεθρυλλεῖτο A διεθρυλλῆτο B || γεγονώσ AB  14 ὀγλεῖτο C ὀχλῆτο B  15 κατοβαρῆσ AC κατωβαρῆσ B  16 περισὸν B  17 παρείημι BC || τὸ μέλλειν A  18 συνεσθιᾶσθαι AB  19 σαυτὸν A  20 τάχωσ C  21 ἱμ. αὐτοῦ A || ἐδείκνυεν A  22 κίλην B || ὃς inserui  22/23 ἅγιοσ ἐμοὶ ἔπεμψεν. τάχα γὰρ δοὺξ καὶ αὐγουστάλιοσ τῆς ἐμῆσ χώρασ ἐγένετο. ἐπὶ τούτοισ etc B  24 ἐδάκρυων C || διάπορίσθαι C  25 ἐπὶ τὸ C || γεγονῶτι A

ἀπάντων ἀφανὲς τοῦ σκηνικοῦ τὸ πάθος ἐγένετο, ὡς ἐξίστασθαι αὐτοὺς καὶ ἄραντας τὰς χεῖρας ἐπὶ πολὺ τὸ "Κύριε ἐλέησον" κράζειν καὶ δοξάζειν τὸν θεὸν διὰ τοῦ ἁγίου μάρτυρος Ἀρτεμίου.

*Θαῦμα* ιη. Τὶς προσκαρτερῶν τῇ παννυχίδι τοῦ Προδρόμου ἐκ νέας ἡλικίας, ψάλλων τὰ στίχη τοῦ ἐν ἁγίοις ταπεινοῦ Ῥωμανοῦ μέχρι τοῦ νῦν, οὗτος ἐν τοῖς χρόνοις τῆς βασιλείας Ἡρακλείου, διαφαυούσης τῆς ἡμέρας τοῦ γενεσίου τοῦ ἁγίου Προδρόμου, ἐσυλήθη. εἰδὼς γὰρ αὐτὸν ὁ συλήσας μόνον οἰκοῦντα (καὶ γὰρ ἕως τοῦ παρόντος μόνος οἰκεῖ ἔτη πεντήκοντα δύο), καὶ ἐπιτηρήσας αὐτὸν ψάλλοντα, εὐκαιρίαν εὑρὼν κλάσμα αὐτῷ πεποίηκεν. ὁ δὲ μετὰ τὸ πληρῶσαι τὴν παννυχίδα εἰς τὸν οἶκον αὐτοῦ ἀπῆλθεν καὶ ηὗρεν τὴν κλεῖν σῶαν, ὡς μηδὲν ἐπιβουλευθεῖσαν. ἐντεῦθεν μηδὲν ὑπονοήσας ἄτοπον, οἷα δὴ ἐκ τῆς ἀγρυπνίας ὤν, ἀμερίμνως ἐκοιμᾶτο. ὡς δὲ ἡμέρα γέγονεν καὶ διὰ τιμὴν τῆς ἑορτῆς ἀλλάξαι καὶ φορέσαι λαμπροτέρως ὥρμησεν, οὐδὲ ἓν τῶν ἱματίων αὐτοῦ ηὗρεν, οὐδὲ τὸ καρταλάμιν αὐτοῦ, εἰ μὴ ἅπερ φορῶν ἦλθεν ἐκ τῆς παννυχίδος. δι' ἐρεύνης δὲ γενόμενος ἠρώτα τοὺς γείτονας εἰπεῖν αὐτῷ, εἰ οἴδασι, πῶς γέγονε τὰ σῦλα· οἱ δὲ ἀγνοεῖν εἰρήκασιν. ὡς δὲ ὁρῶσιν αὐτὸν ἐπὶ τῇ γυμνώσει θρηνοῦντα, ὑποτίθενται αὐτῷ ἀπελθεῖν εἰς τὸν ἅγιον Παντελεήμονα, εἰς τὰ Ῥουφίνου, φάσκοντες εἶναί τινα ἐκεῖ ἐπίστασιν διδόντα, ὃς ἐρεῖ αὐτῷ τὸν συλήσαντα. συνέβη γὰρ ἐν ἐκείνῳ τῷ χρόνῳ πλείστους εἶναι δαιμονιῶντας ἐν πολλαῖς ἐκκλησίαις. τούτοις τοῖς λόγοις κουφισθεὶς πρὸς τὸ παρὸν ὁ ἀνήρ, ἀπῆλθεν εἰς τὸν ἅγιον Παντελεήμονα, καὶ ἀκούσας τῆς τοῦ δαιμονιῶντος κραυγῆς εἶπεν ἐν ἑαυτῷ· "Ἄρτι ἐῶ τὸν θεὸν καὶ δαίμοσιν προσέρχομαι· ἄρτι ἐσυλήθην καὶ ἀπώλεσα τὴν ψυχήν μου". καὶ ταῦτα εἰπὼν ὑπέστρεψεν εἰς τὸν

1 ἀφανεὶσ C 1/2 ἐξίστ. πάντασ. καὶ ἄραντες τὰσ χεῖρασ εἰς τὸν οὐνον ἐπιπολλὰσ ὥρασ ἔκραζον τὸ κε ἐλέησον B 3 πάντασ κράζειν A || ἀρτεμίου. αὐτῶ ἡ δόξα εἰς τοὺς αἰῶνασ. ἀμήν A 5 ταστηχει (стихы D) τοὺς ἐναγίοισ C 7 διαφεοῦσησ C 9 ἐτι C 10 εὐκερῖαν C || πεποιήκεν C 12 κλῆν C 13 οἷα δὴ*: οἰαδὴ C || ἐκοιμάτω C 14 ἀλάξαι hic et infra C 15 λαμπρωτέρωσ C || οὐδεὲν C 16 οὐδὲ τ. κ. αὐτοῦ om D || τοκαρταλάμην α. εἰμῖ C 17 δϊερευνῆσ C || γίτονασ C 18 ἀγνωεῖν ἠρήκασιν C 19 ὠρώσιν C 21 τινὰ ἐκεῖ*: τινλεκεῖ C || ἐπίστασι C || ἐρεῖ*: ἔρη C 23 πολλισ ἐκκλησίασ C поганыхъ церквахъ D 26 ἀπόλεσα C



οἶκον αὐτοῦ, καὶ ἀθυμῶν ἔρριψεν ἑαυτὸν εἰς τὴν κλίνην, καὶ ταλανίζων ἑαυτὸν εἰς ὕπνον ἐτράπη. ὥρα ἦν ὡσεὶ δύο· διὰ γὰρ τὸ μὴ ἔχειν αὐτὸν ἀλλάξαι, λοιπὸν δὲ καὶ τῇ ἀθυμίᾳ συνεχόμενος, εἰς τὴν ἐκκλησίαν οὐ προῆλθεν. κοιμωμένῳ δὲ αὐτῷ φαίνεται ὁ ἅγιος Ἀρτέμιος ἐν σχήματι εὐπρεποῦς τινος ἀνδρός, παγανὰ φοροῦντος, καὶ λέγει αὐτῷ· "Διατί οὐχ ὑπήντησας καὶ ὠψίκευσας μετὰ τοῦ κηροῦ σου τὰ ἅγια, καθὼς ἔθος ὑμῖν ἐστιν τοῖς τῆς παννυχίδος"; ὁ δὲ ἀπεκρίθη, ὅτι "Ἐσυλήθην καὶ οὐκ ἔχω τι φορέσαι". ὁ δὲ ἅγιός φησι πρὸς αὐτόν· "Καὶ θέλεις εὑρεῖν ἅπερ ἀπώλεσας"; ὁ δὲ πρὸς αὐτόν· "Ὄντως θέλω, γυμνὸς γάρ εἰμι". ὁ δὲ μάρτυς εἶπεν αὐτῷ· "Ὄμοσόν μοι, ὅτι οὐ κακοποιεῖς τὸν ἐπάραντα, καὶ λέγω σοι, τίς ἐστιν". ἔφη ὁ ἀπολέσας· "Μὰ τὸν θεόν, οὐδὲν αὐτῷ κακὸν ποιῶ, ἀλλὰ καὶ φίλον αὐτὸν κτήσομαι". λέγει πρὸς αὐτὸν ὁ ἅγιος· "Οὐ πιστεύω σοι". καὶ κρατήσας τὴν χεῖρα τοῦ συληθέντος ἐπιτίθησιν αὐτὴν ἐπὶ τὴν εἰκόνα τοῦ ἁγίου Ἰωάννου, ἣν εἶχεν αὐτὸς ὁ συληθείς, καί φησι πρὸς αὐτόν· "Κατ' αὐτοῦ μοι ὄμοσον· οἶδα γὰρ ὅτι φοβῇ καὶ ἀγαπᾷς αὐτόν". καὶ ὤμοσεν αὐτῷ λέγων· "Οὐδὲν αὐτῷ κακὸν ποιήσω, ἀλλὰ καὶ φίλον μου μέγαν ἕξω αὐτόν, καὶ φιλοτιμίαν αὐτῷ δίδωμι, εἰ εὕρω αὐτά". τότε ὁ ἅγιος λέγει· "Θεοδόσιος ὁ ψάλτης ἐπῆρεν καὶ ἔχει αὐτά". χαρίεις δὲ διυπνισθείς, περὶ ὥραν ἑβδόμην προῆλθεν εἰς τὸν τραπεζίτην Ἀβραάμιον, τὸν πλησίον τοῦ ναοῦ τοῦ ἁγίου Ἰωάννου, ὃς ἦν καὶ ἀρκάριος τοῦ φιλικοῦ τῶν τῆς παννυχίδος. καὶ λέγει πρὸς αὐτὸν ὁ ἀρκάριος· "Ποῦ ἧς; διατί οὐχ ὑπήντησας μετὰ τοῦ κηροῦ εἰς τὰ ἅγια; δὸς καὶ ⟨τὸ⟩ κηρίν σου καὶ τὸ πρόστιμον". ὁ δὲ ἀπεκρίθη· "Μὰ τὸν θεόν, ἐσυλήθην, καὶ διὰ τὸ μὴ ἔχειν με τὶ φορέσαι οὐκ ἦλθον". ὡς οὖν περιεργάζονται οἱ συγκαθήμενοι αὐτῷ καὶ ὁ τραπεζίτης, τίς ὁ συλήσας καὶ πῶς ἐσύλησεν, εἶπεν αὐτοῖς· "Μὰ τὸν θεόν, οὐκ οἶδα· πλήν, εἴτε ἐφαντάσθην εἴτε καὶ οὐχί, πρὸ ὥρας κοιμωμένῳ μοι κατ' ὄναρ εἶπέν τις,

1 κλήνην C 2 ἐτράπει C || ἦν ὡσεὶ*: ἤνωση C 5 παγανὰ φοροῦντος om D 6 οὐκ ἀπήντησασ C; cf. p. 21,24 || ὀψίκεύσασ C || καὶ ὠψίκευσας om D 7 καθὸσ C 9 εὕρειν C 10 ἀπόλεσασ C || γὰρ εἶμι C 11 ὥμωσόν C || μοι om D 12 ἐπαρόντα C || ἀπωλέσασ C 17 ὠμοσον C 18 ὤμωσεν C 19 δίδομϊ C 20 θεοδώσιοσ C 21 χαριῆσ C || εὐδόμιν. προῆλθεν C 22 τραπεζήτειν C 25 τὸ addidi. 27 ἤλθωνωσοῦν C 28 τραπεζήτησ C 30 καθόναρ C

ὅτι Θεοδόσιος ὁ ψάλτης αὐτὰ ἐπῆρεν". αὐτὸς δὲ ὁ ψάλτης ἄντικρυς τοῦ τραπεζίτου καθήμενος ἐτάβλιζεν μετὰ ἑτέρων τινῶν, καὶ ὡς τὸ πρᾶγμα λοιπὸν ἔδειξεν, κυβεύων ἐκεῖ τὰ ὦτα πρὸς τὰ λαλούμενα εἶχεν. λέγουσιν τῷ συληθέντι οἱ περὶ αὐτὸν μυστηριωδῶς· "Ἴδε ποῦ κάθεται ὁ ψάλτης καὶ εἰπὲ αὐτῷ". καὶ ἐν τῷ λέγειν ἐκ δευτέρου τὸν συληθέντα περὶ τῶν αὐτῶν καὶ ὅτι Θεοδόσιος αὐτὰ ἐπῆρεν, ἐκεῖνος ἐάσας τοὺς κύβους καὶ διακόψας τοὺς περικαθημένους ἦλθεν τομῶς εἰς τὸ μέσον καὶ εἶπεν· "Τί λέγεις, κύρι; Θεοδόσιος ἐπῆρεν αὐτά; ἐγὼ ἔκλεψα τίποτε". ὁ δὲ συληθεὶς ἐννοήσας ὡς, εἰ καταισχύνει αὐτὸν ἐπὶ πάντων, ἀρνήσεται, λέγει αὐτῷ· "Οὐκ εἶπον ὅτι ἐπῆρες, ἀλλ' ὅτι, ἐὰν θέλῃ ὁ Θεοδόσιος, εὑρίσκονται". ὁ δὲ ἀντέλεγεν, ὅτι "Ἐγώ σου ἤκουσα εἰπόντος, ὅτι ὁ Θεοδόσιος αὐτὰ ἐπῆρεν". Τότε ὁ συληθεὶς φανερῶς εἶπεν· "Μὰ τὸν θεόν, κἂν λυπῇ, κἂν οὐ λυπῇ, πρὸ ὥρας κοιμωμένῳ μοι εἶπέν τις, ὅτι Θεοδόσιος αὐτὰ ἐπῆρεν". καὶ λέγει αὐτῷ Θεοδόσιος· "Ποίησον γνῶσιν καὶ δός μοι ἄφες ἴδω, τί ἀπώλεσας". ὁ δὲ ποιήσας ἔδωκεν αὐτῷ, καὶ δεξάμενος ὁ ψάλτης τὴν γνῶσιν εἶπεν· "Ὕπαγε μετὰ καλοῦ, ἀμέριμνος ἔσο· ὁ θεὸς βοηθεῖ". ὁ δὲ εἶχεν ἀδελφόν, σὺν ᾧ καὶ ἐσύλησεν, ὃς καὶ τὰ πλείονα ἦν ἐπάρας, καθὼς ἐδείχθη λοιπόν· καὶ περὶ ὥραν ὀγδόην φέρει αὐτὸν τὸν ἀδελφὸν αὐτοῦ κρατούμενον δέσμιον ὑπὸ Δρόσου τοῦ νῦν σεκρεταρίου, τότε κομενταρησίου ὄντος Ἀλεξάνδρου ἀπὸ Περάδων. καὶ ὡς εἶδεν τὸν δέσμιον ὁ συληθεὶς εἶπεν· "Μὰ τὸν θεόν, τὰ ἱμάτιά μου φορεῖ καὶ τὸ λουρίον μου". κομπῶς γὰρ αὐτὸν φοροῦντα ἤγαγεν. λέγει αὐτῷ ὁ κομενταρήσιος· "Δεῦτε παρὰ τῷ σεκρεταρίῳ μου". καὶ ἀπῆλθεν μετ' αὐτοῦ ὅ τε συληθεὶς καὶ οἱ συλήσαντες· οὐκ ἦν δὲ εἰς μνήμην τῷ συληθέντι περὶ ὧν ὤμοσεν τῷ ἁγίῳ. ὡς οὖν ἐδέξατο αὐτοὺς ὁ σεκρετάριος, οὐδὲν ἠρώτησεν αὐτούς, ἀλλ'

1 ὁ ψάλτης αὐτὰ om D || ἀντίκρυσ C 2 τραπεζήτου C || ἐτάβληζεν C 4 μυστηρίωδωσ C 7 ἔασασ C 8 τομῶς εἰς *: τὸ μωσεῖσ C скоро D 10 ὡσεικαταισχύνη C 11 ἔαν θέλει C 14 λυπεὶ... λυπεῖ, προωρᾶσ C 15 αὐτῷ om D 16 ἄφεσϊδώτιάπολέσασ C 18 ἀμέρημνοσ ἔσω C 19 συνῶ C 20 ὀγδώην C ἑβδόμην D 22 τότεσκομενταρισίου C || ἀποπεράδων C отъ Апеpандры D 23 ὡσϊδεν C 24 λουρίον *: λούλϊόν C понасъ D || κομπῶς usque ad ἤγαγεν om D 25 κομενταρίσιοσ C 27 οὐκὴν C || περϊωνώμωσεν C 28 ὡσοῦν C || ὡσεκραιτάριοσ C



εὐθὺς εἰσήγαγεν τοὺς κλέπτας παρὰ τῷ ἐπάρχῳ (ἦν δὲ Θεόδωρος ὁ κατὰ Καλλίνικον), τὸν δὲ συληθέντα ἔστησεν πλησίον τοῦ βήλου· ἦν γὰρ ἄπειρος τῶν πραγμάτων καὶ μηδὲ ἑωρακὼς πραιτώριόν ποτε. εἰσαχθέντων δὲ τῶν κλεπτῶν, ὁ ἔπαρχος (συντυγχάνων γὰρ ἦν) ἐγκόψας ἠρώτα τὸν σεκρετάριον τὸ πρᾶγμα. ὁ δὲ ἐδίδαξεν οὐχ ὡς ἦν, ἀλλ' ἑτέρως, φήσας· "Ἴδε ἐκεῖνος, δέσποτα, ὁ εἰς τὸ βῆλον ἑστώς, τούτοις ἐδάνεισεν ἱμάτια, ἵνα εἰς γάμον ἀριστήσωσιν, καὶ ἐσημάδευσαν αὐτά". ὁ δὲ συληθεὶς μηδὲν τῶν λαλουμένων ἀκούων, ἀλλὰ νομίζων αὐτοὺς τὴν ἀλήθειαν τοῦ πράγματος ἀναγγέλλειν, ἐρωτηθεὶς παρὰ τοῦ ἐπάρχου καὶ τῆς τάξεως, εἰ ἀληθές ἐστι τὸ λεγόμενον, εἶπεν· "Ναί, δέσποτα". εἷς δὲ τῶν πλησίον ἑστώτων, Θεοφύλακτος τοὔνομα Σουβαδίου Βασῶν καὶ τῇ παννυχίδι σχολάζων, διαλαθὼν τὸν ἔπαρχον ἦλθεν ἐγγὺς τοῦ συληθέντος (ᾔδει γὰρ τὴν ὑπόθεσιν) καὶ λέγει αὐτῷ· "Διὰ τί συνέθου καὶ εἶπας Ναί; εἰπὲ ὅτι ἐσυλήθης, ἵνα περιβωμισθῶσιν· ὁ γὰρ σεκρετάριος, ὅτι ἐν χρήσει ἔλαβεν αὐτὰ παρὰ σοῦ, ἐδίδαξεν". τότε ὁ συληθεὶς ἐν νῷ λαβὼν ὃν δέδωκεν ὅρκον τῷ ἁγίῳ καὶ ἐκ τῆς διαφωνίας κρίνας καὶ τοῦτο τὸ ἔργον αὐτοῦ εἶναι, πρὸς τὸ μὴ κακοποιηθῆναι αὐτοὺς λαβὼν τὸν σεκρετάριον κατ' ἰδίαν καὶ τοὺς συλήσαντας ἔφη· "Τὰ ἐμά, δέσποτα, λάβω· τὰ τῆς θεραπείας ὑμῶν παρέχω καὶ τούτους ἀπόλυσον". καὶ ἐνωρκώσατο αὐτὸν κατὰ τοῦ θεοῦ καὶ τῆς τῶν βασιλέων σωτηρίας μηδὲν αὐτοὺς κακὸν παθεῖν, καὶ δοὺς τῷ σεκρεταρίῳ ἑξάγραμμα μιλιαρήσια ὀκτὼ καὶ τῷ κομενταρησίῳ τρία, ἔλαβεν αὐτοῦ τὰ ἱμάτια ἅπαντα ἄνευ καμισίου καὶ βρακίου, ἅτινα ὁ εἷς τῶν συλησάντων ἐφόρει, καὶ παρέασεν αὐτὰ συμπαθήσας, ἵνα μὴ ὀλόγυμνος μείνῃ. καὶ τῷ ψάλτῃ δέδωκεν, ὡς τῷ ἁγίῳ ὑπέσχετο, ἥμισυ χρυσοῦν.

*Θαῦμα ιθ'.* Καὶ τοῦτο τῶν θαυμάτων τοῦ μάρτυρος. ἔτυχέν ποτε χαρτουλάριον τοῦ θείου λογοθεσίου ὀνόματι Γεώργιον, εἰκοσαέτη τῇ ἡλικίᾳ, ἔν τινι οἰκίᾳ πεσεῖν ἀφ' ὕψους και κινδυνεῦσαι, εἶναί

3 ἄπηροσ C || πραιτόριον C 5 ἐρώτα C 7 τοῦ τοῖσ ἐδάνησεν C 9 νομείζων C 10 ἀναγγέλειν C 11 post τῶν ras 3 litt in C 12 σοῦβαδῖου βασῶν C сувадія васоньска D 15 ἐσυλήθην D || ἵνα περιβ. om D || περιβομεῖσθωσιν C 19 καθ'ἴδῖαν C 21 ἀπώλυσον C || ἐνορκώσατο C 23 μηλϊαρήσια C 25 καμησίου C 26 συμπαθείσασ C || μίνη C || ψάλτι C 30 ἔν τινι οἰκίᾳ *: ἐντινία C om D || πεσὶν C

τε χωλὸν ἐπὶ χρόνον πολύν. ὑπέθετο δὲ αὐτῷ τις τῶν ἐν τῇ παννυχίδι προσεδρευόντων εἰς τὸν ἅγιον Ἀρτέμιον ἀπελθεῖν καὶ ἐκ τῶν ἐν τῇ σορῷ αὐτοῦ ἁπτουσῶν κανδηλῶν ἀλεῖψαι τὴν ὀδυνωμένην αὐτοῦ κόξαν· ὁ δὲ τοῦτο ἀκούσας παρευθὺ εἰς τὸν πανίερον αὐτοῦ ναὸν παρεγένετο, καὶ ὡς ὁρμᾷ κατελθεῖν εἰς τὴν σορὸν διὰ τοῦ δεξιοῦ μέρους, σκάζων τὸν πόδα ὠλίσθησεν ἀπὸ τοῦ ἄνω πρώτου βαθμοῦ καὶ μέχρι τῶν θυρίων τῆς σοροῦ κυλιόμενος κατῆλθεν, ὥστε αὐτὸν θροηθέντα ἐπὶ τῇ πτώσει ἀπογνῶναι ἑαυτοῦ καὶ ἀλαλάξαι μεγάλῃ τῇ φωνῇ καὶ εἰπεῖν· "Οὐαί μοι τῷ ἀθλίῳ· ὁλόκλαστος ἐγενόμην". τέως δὲ τῷ φόβῳ μένων ἐν τῷ πτώματι καὶ εἰς τὸ ἔδαφος κείμενος ὑπενόει ὅλην κλασθῆναι αὐτοῦ τὴν κοτύλην. ἐλθὼν δὲ εἰς ἑαυτὸν καὶ πειραθεὶς ἀναστῆναι ηὗρεν ἑαυτὸν παντελῶς ἀνώδυνον, καὶ ἀναστὰς περιεπάτει ὀρθῶς ὡς οὐδὲν κακὸν ἐσχηκώς ποτε.

*Θαῦμα* κ̄. Τῷ αὐτῷ Γεωργίῳ γέγονεν ἀρρώστημα χαλεπόν, πάθους ἀναφυέντος κατὰ τοῦ βαλανίου τοῦ μορίου αὐτοῦ· ὅπερ πάθος λέγεται συκαμινέα, καὶ οὐχὶ ἓν ἦν τὸ ἀνελθόν, ἀλλ' ἑπτά. διὰ πολλῶν οὖν ἐλθὼν τῶν ἰατρῶν οὐδὲν ὠφελήθη, ἀλλ' ὅσον αὐτὸν ἐδόκουν ἐπιμελεῖσθαι, πλέον ἐπὶ τὸ χεῖρον προέβαινε τὰ τοῦ πάθους. θείας δέ, ὡς οἶμαι, τινὸς οἰκονομίας ἦν τὸ τελούμενον, ἀνισχύρους τοὺς ἰατροὺς ἀποφαινούσης πρὸς τὸ θαυμαστῶσαι καὶ ἐν τούτῳ τὸν μάρτυρα. τινὲς οὖν τῶν ἰατρῶν χειρουργῆσαι αὐτὸν συνορῶντες ἀνεκόπτοντο τοῦ λογισμοῦ, φάσκοντες ὅτι, "Εἰ τέμωμεν αὐτὰ ξίφει, ἐν οἵῳ δ' ἂν τόπῳ τὸ ἐκ τῆς τομῆς αἷμα στάξῃ, κατὰ τοῦ αὐτοῦ τόπου ἄλλαι συκαμινέαι γενηθήσονται· εἰ δὲ καὶ ἰσχύσωμεν ἄνευ ξίφους ἀφανίσαι αὐτά, πάλιν τῷ καιρῷ τῶν συκαμίνων ἀνέρχονται, καὶ οὕτως κατ' ἔτος τῷ αὐτῷ περι-

1 χολον C 3 κανδήλων C 5 σωρῶν C 6 δεξειοὺ C || ὠλίσθεισεν C 7 θυριῶν C 8 θρωηθέντα C 11 κλασθεῖναι C 12 αὐτὸν C 13 ἀνώδυνων C 15 ιη. Γεωργίω τινὶ B 16 βαλαντίου τ. μωρίου BC 17 συκαμηναῖα B || ἓν μόνον B || ἀνελθὼν B 18 ἀλλ' ἑπτὰ om D || οὐν ϊατρευθεὶσ ϊατρῶν B || ὀφελήθη C 19 ἀλλόσον ἁ. ἐδώκουν C || αὐτὸν ἐπεμελοῦντο B || χεῖρον τὰ τ. πάθους B || προέβαινον B προέβενε C 20 τὴνὸσ C δέ τινος ὡς οἶμαι BD 21 καὶ ἀνισχύρους B || τῶ C 22 τον ἀοίδιμον μάρτυρα ἀρτέμιον B || οὖν C δὲ B 23 ἀνεκόπτοντο B ἀνέκοπτον C 24 τομῆς BD τρομνῆσ C 25 στάξει BC || συκαμηναίαι B || γεννηθήσονται C γενηθήσονται B 26 ἀφανῆσαι B sine accentu C 27 συκαμήνων B || καὶ οὕτως usque ad νοσήματι om B || καθέτοσ C



πεσεῖται νοσήματι". ἐντεῦθεν ὁ ἀνὴρ τοὺς μὲν ἰατροὺς ἀπερρίψατο, προσεφώνει δὲ τῷ θεῷ καὶ τῷ ἁγίῳ μάρτυρι, ἐπικαλούμενος αὐτῶν τὴν βοήθειαν. ἐν αὐτῇ οὖν τῇ νυκτὶ ἐφάνη αὐτῷ κατ' ὄναρ ὁ ἅγιος λέγων· "Τί ἐστιν ὃ ἔχεις"; ὁ δὲ πρὸς αὐτόν· "Ἀσθενῶ καὶ οἱ ἰατροὶ ἀποροῦσιν ἰατρεῦσαί με". λέγει αὐτῷ ὁ ἅγιος· "Ἆνω τὰ ἱμάτιά σου· ἄφες ἴδω τί ἔχεις". καὶ γυμνώσαντος τοῦ ἀνδρὸς ἑαυτόν, εἶπεν ὁ ἅγιος· "Συκαμινέαι εἰσὶν ἑπτά, μέγα τίποτε· ἴδε εἰς ποῖον νόσημα ἠπόρησαν οἱ ἰατροί". καὶ λέγει τῷ νοσοῦντι· "Ἄφες ἔλθῃ σοι ὄξος πάνυ ἄσπρον καὶ ἐν αὐτῷ ἔμβαλε ἅλας, καὶ βρέξας ῥάκος ψιλὸν ἐν αὐτῷ, ἐπίθες τῷ τόπῳ, ἔνθα τὸ πάθος ἐστίν, καὶ καλῶς ἕξεις". ὁ δὲ ἀναστὰς ἐποίησεν καθὼς προσετέτακτο, καὶ εἰς ἡμέρας δύο ἀφανεῖς γεγόνασιν αἱ ἑπτὰ συκαμινέαι. ὁ δὲ τούτων πειραθεὶς ἀνὴρ ἔτι περίεστιν κηρύσσων καὶ διηγούμενος τὴν δόξαν τοῦ μάρτυρος, καὶ πολλοῖς τῷ αὐτῷ περιπεσοῦσι νοσήματι, οὐ μόνον ἀνδράσιν, ἀλλὰ καὶ γυναιξίν, ἐπέταξεν τῇ αὐτῇ χρήσασθαι ἰατρείᾳ· οἳ καὶ ποιήσαντες οὕτως ὑγιεῖς ἐγένοντο χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.

⟨*Θαῦμα*⟩ κ̄ᾱ. Ἐξηγήσατο καὶ Στέφανος, διάκονος τῆς ἁγιωτάτης Μεγάλης Ἐκκλησίας καὶ ποιητὴς μέρους Βενέτου, τοιοῦτόν τι. "Κατὰ τῶν διδύμων μου", φησίν, "σπάσμα μοι γέγονεν. εἴτε ἀπὸ κραυγῆς, εἴτε ἀπὸ βάρους, εἰπεῖν οὐκ ἐπίσταμαι. τοῦτο δέ μοι γέγονεν πρὸ βραχέος χρόνου τοῦ τελευτῆσαι ⟨τὸν⟩ τῆς εὐσεβοῦς μνήμης Ἡράκλειον, καὶ περιέκρυβον ἑαυτὸν ἱκανὸν χρόνον αἰσχυνόμενος, ἐπιτηρῶν μόνος λούσασθαι τοῖς πολλοῖς. ὀψὲ δέ ποτε τοῖς γονεῦσιν ἐμφανῆ τὴν συμφορὰν πεποίηκα, καὶ δὴ μετὰ πολλὰς

1 περιπέσειται C 1/2 απερίψατο C ἀπεπέμψατο B 2 προσεφώνη B || μάρτυρι ἀρτεμίω B 3 τὴν αὐτῶν B 4 ἅγ. μάρτυς ἀρτέμιος λ. τί ἐστιν ἀδελφὲ ὃ B 5 οἱάτροὶ ἀπροῦσινϊατρεύσαιμαι C 6 τιέχησ C 7 συκαμηναῖαι B συκαμινάιαι C 8 ἑπτὰ. καὶ ἴδε B 9 νοσουνσοῦντι C || ἄφες om B || ἔλθει B 10 ῥάκκος BC || ψιλὸν BD ὑψηλὸν C || ἐπίθες ἐναυτῶ B 11 ἕξης BC 12 προσετ. αὐτῷ D ἀφανῆσ C 13 ἑπτὰ om B || συκαμηνοῖαι B συκαμινέαν C || ετϊπεριέστιν C 15 τὸ C 16 ἐπετατται B 17 χάριτη C 18 ἡ δόξα καὶ τὸ κράτος B || εἰς τ. αἰῶν. τῶν αἰώνων. ἀμήν B εἰς αἰῶνας αἰώνων D 21 μοι om D || γέγωνεν C 23 προβραχέωσ C || τελευτέισαι C || τὸν addidi 24 μνήσμησ C || περιέκρυβρον C || ἑικανὸν C || χρόνον *: χρόν C 25 ταῖσ πολλαισ C 26 ἐνφανῆ C || πολλὰσ C

ὅσας ἰατρείας μοι γενομένας, τέλος, βουλῆς μετ' αὐτῶν γενομένης, δίδωμι ἐμαυτὸν ἐπὶ τῷ χειρουργηθῆναι τοῖς χειρουργοῖς τῶν Σαμψών, καὶ ἀνέπεσα ἐν αὐτῷ τῷ ξενῶνι, πλησίον τῆς πύλης τῶν ὀφθαλμικῶν. τρισὶν δὲ νυχθημέροις ψυχροῖς καυστῆρσι διακαυθείς, ἐν τῇ τετάρτῃ χειρουργοῦμαι. ὅσα δὲ πάνδεινα κατὰ τὴν ἀνάκλισιν πέπονθα, παρεάσω εἰπεῖν. τὸ πάντων λέγω κεφάλαιον, ὡς καὶ αὐτοῦ τοῦ ζῆν ἀπελπίσθην παρὰ τοῖς ἰατροῖς. ἐπεὶ δὲ παρακληθεὶς ὁ θεὸς διὰ τὰ τῶν γονέων μου δάκρυα τὴν ζωήν μοι παρέσχετο καὶ τὸ ἕλκος ἀπεκατέστη τῆς τομῆς τε καὶ καύσεως, καὶ καθὼς ἐνόμιζον ὑγιαίνειν, οὐ μετὰ πολὺν πάλιν χρόνον τὸ αὐτό μοι συμβέβηκε νόσημα, κἀντεῦθεν εἰς τὴν πρώτην ἐπανέτρεχον τάξιν, πάλιν περικρύβων ἐμαυτόν. πάλιν ἐν σκοτεινοῖς λουόμενος λουτροῖς καὶ ταῖς μεσημβριναῖς ἢ ἑσπεριναῖς ὥραις πρὸς τὸ μὴ ὁρᾶσθαί μου τὴν αἰσχύνην ὑπό τινος· μελέτην δὲ εἶχον τῷ ἁγίῳ προσελθεῖν μάρτυρι, ἀκούων αὐτοῦ τὰς πολλὰς καὶ μεγάλας θαυματουργίας· καὶ παραμεῖναι μὲν τῷ πανσέπτῳ ναῷ οὐκ ἤθελον, αἰσχυνόμενος καὶ τοὺς φίλους καὶ τοὺς γνωρίμους ὀφθῆναι αὐτοῖς ἐν τοιούτῳ ὑπάρχων νοσήματι. συνεχῶς οὖν παρῄειν (ἔμενον γάρ, φησί, τὸ τηνικαῦτα ἐν τῇ Ὀξείᾳ), καὶ κατερχόμενος ἐν τῇ ἁγίᾳ τῶν τιμίων αὐτοῦ λειψάνων σορῷ ἔβαλον αὐτοῦ τῆς εὐλογίας εἰς τοὺς διδύμους, τὴν ἴασιν οὕτως ἐλπίσας πορίσασθαι· καὶ παρεκάλουν αὐτὸν πολλὰ λυτρώσασθαί με τοῦ παγχαλέπου νοσήματος. τῇ οὖν ἀρτίως παρελθούσῃ δευτέρᾳ ἐπινεμήσει μιᾷ τῶν ἡμερῶν διά τινα χρείαν ἐπὶ τὴν ἐκκλησίαν προῆλθον, καὶ ἀριστήσας πρὸς Κοσμᾶν τὸν τότε τοῦ Βενέτου διοικητήν, ἑσπέρας βραδεῖαν ὥραν εἰς τὸν οἶκόν μου ἐπανέστρεφον. καὶ δὴ ἐν τῇ ὁδῷ ὑπεισῆλθέν μοι λογισμὸς ἀγοράσαι κηροὺς καὶ παραγενέσθαι πρὸς τὸν ἅγιον μάρτυρα· ἐκεῖθεν γὰρ καὶ τὰς παρόδους μου ἐποιούμην. ὡς δὲ κατὰ τὴν οἰκίαν ἦλθον, τὴν ἐπιλεγομένην

1 ἰατρίασ C 2 δίδομι C || ἐμαυτὸν εἰς ὕπνον D || ἐπὶ τῷ χειρ. usque ad Σαμψὼν om D 5 πάνδηνα C 6 ἀνάκλησιν C 7 παραιίατροῖσ C 10 ὑγιαίνειν (=здравъ быти) D ὑγίαν C || πολλὺν C 12 ἐμάὑτῶν C || σκοτινοῖσ C 13 μεσηνβρϊναῖση C 16 καὶ μεγάλας om D || παραμῖναι C 17 ὀυκήθελων C 18 ὀφθῆναι*: ὀρθῆναι C 18/19 παρείην (o suprascr.) C 19 τὸ*: τῶ C || ὀξία C || κατερχόμαινοσ C 22 πορήσασθαι C 22 αὐτῶν C || 23 Δευτέρᾳ D || ἐπινεμήσει om D 26 βραδῖιν C 27 ἀγωράσαι C 29 οἰκεῖαν C



τὰ Ἰορδάνου, δοὺς λογάριν τῷ ἐκεῖσε κηρουλαρίῳ ἔλαβον κηροὺς καὶ τὸ ἐπίλοιπον κέρμα. καὶ οἱ μὲν κηροὶ πίνας οὐκ εἶχον, ἄλλους δὲ ὁ κηρουλάριος οὐκ εἶχεν, εἰ μὴ μίαν ἑτέραν ζυγήν, ἧς, ὡς ἀπελογήσατό μοι, τὴν τιμὴν προειλήφει. ἐξ ἀνάγκης οὖν τοὺς τοιούτους κηροὺς ἀπροθέτως ἠγόρακα διὰ τὸ μὴ ἔχειν αὐτοὺς πίναν. φθάσας δὲ (κα)τὰ τὸ βαστέρνιον τὸ ἀπ(ὸ) τῶν Βιβιανοῦ εἰς τὸν ἄντικρυς ἔμβολον ἀπάγον, καὶ ἐννοῶν περὶ τῶν κηρῶν καὶ ἀπαρεσκόμενος αὐτῶν, βροχῆς οὔσης σφοδρᾶς καὶ πηλῶν (ἦν γὰρ χειμών), πεσὼν συνέτριψα τοὺς κηροὺς εἰς διάφορα κλάσματα καὶ τὸ κέρμα ἐξέχεα. ἐμπτύσας δὲ τῷ Σατανᾷ καὶ αἰτήσας πίναν κηροῦ παρὰ τοῦ εἰρημένου κηρουλαρίου, συνῆξα τὸ κέρμα ὅλον μέχρις ἡμιφόλου, τὰ δὲ κλάσματα τῶν κηρῶν δέδωκα τῷ αὐτῷ κηρουλαρίῳ καὶ τὰ ἔργαστρα, παρακαλέσας αὐτὸν δοῦναί μοι τοὺς κηροὺς ὧν εἶπεν προειληφέναι τὸ τίμημα· ὁ δὲ παρακληθεὶς δέδωκεν. ἄρας οὖν τοὺς κηροὺς κατέλαβον τὸν οἶκον τὸν ἅγιον καὶ ἧψα αὐτοὺς εἰς τὸν οἶκον τὸν ἅγιον, προσκλαύσας αὐτῷ ἐκ ψυχῆς. εἶτα κατελθὼν ἐν τῇ ἁγίᾳ σορῷ ηὗρον τὰ θυρία τὰ ἔμπροσθεν ἀνεῳγμένα καὶ κατεπληττόμην, ὅτι τοιαύτῃ ὥρᾳ ἦσαν ἀνοικτά. τοῦτο δὲ ἦν ἔργον τοῦ μάρτυρος, ἐλεῆσαί με θέλοντος. ἁπλώσας δὲ ἐμαυτὸν πρηνῆ ἐπάνω τῆς ἁγίας σοροῦ διεσκέλισα, καὶ οὕτως ἐτεχνασάμην, ὥστε τὴν γωνίαν τῆς αὐτῆς ἁγίας σοροῦ ψαῦσαι τοῦ τόπου, ἔνθα ἐνόσουν· καὶ μετὰ δακρύων πάλιν εἰπὼν τῷ μάρτυρι, "Ἅγιε Ἀρτέμιε, μὰ τὸν θεόν, τὸν δεδωκότα σοι τὴν χάριν, οὐδεὶς τῶν ἐπὶ γῆς ἰατρῶν ἔτι μου ἅψηται. εἰ οὖν κελεύσει, ἴασαί με· εἰ δὲ μή γε, εἰς ἀσχημοσύνην σου οὕτως περιπατῶ ἰατρείας ἐκτός". καὶ μετὰ ἡμέρας τινὰς ἀπῆλθον εἰς τὸ λουτρὸν τῶν Ἀνθεμίου, τὸ λεγόμενον Λίβανον, ἕωθεν λού-

1 κηροῦλλαρίω C 2 πίνας] масти=χρῶμα D 3 κηρουλλάριοσ C || μείαν C || ζυγεῖν C 5 ἠγώρακα C 6 δὲτατὸ C || κατὰ τὸ βαστέρνιον om D || ἀπὸ τῶν *: ἀπτῶν C 7 ἄντικρυς *: αντίσ C 9 χημῶν C 10 πιννὰν C om D 11 κηρὸν D || κηρουλλαρίου C 12 ἡμϊφίλλου C; de forma φόλης vide Hultsch, Metrol. script. reliquiæ, II, p. 223 || τῶν κηρῶν om D || κηροῦλλαρίω C 14 προειληφέναι*: προέιφάιναι C || τήμημα C 15 τὸν οἶκον τοῦ ἁγίου D 16 καὶ ἧψα usque ad ἅγιον om D || αὐτοὺς *: αὐτοῦ C 18 ανυκτα C 19 ἐλέησέμαι C 20 πρινῆ C || διέσκέλησα C 21 γονίαν C 23 δεδωκώτα σον (ν corr in c) C 24 γεῖσ C 25 ἴασεμαι, ἰδε C 26 ἰατρίασ C 27 ἀνθημίου, τὸν C || Λίβανον] ливанъ D αίβανον C

σασθαι κατ' ἐμαυτόν, διὰ τὸ μὴ θεαθῆναι ὑπό τινος· καὶ εἰσερχόμενος ἐν τοῖς θερμοῖς ἐθεώρουν ἐμαυτὸν ἔχοντα τὸ πάθος. ἐξελθὼν δὲ οὐδὲν εἶχον κακόν, καὶ ἐπιγνοὺς τὴν τοῦ θεοῦ καὶ τοῦ μάρτυρος εἰς ἐμὲ γεγονυῖαν φιλανθρωπίαν καὶ τὴν χάριν αὐτῶν ἐπισκιάσασάν μοι τῷ ἁμαρτωλῷ καὶ ἀναξίῳ καὶ τὴν ἐπίσκεψίν μοι παραδόξως δωρησαμένην, εὐχαριστῶν ἐδόξασα κατὰ χρέος αὐτούς, καὶ δοξάζω κηρύττων αὐτῶν τὰ μεγαλεῖα διὰ βίου παντός".

⟨*Θαῦμα*⟩ κβ'. Ἔτυχέν ποτε τοῦτον αὐτὸν τὸν συληθέντα, περὶ οὗ ἀρτίως εἴπομεν, νόσοις περιπεσεῖν χαλεπαῖς εἴς τε τὸν θώρακα αὐτοῦ συρρεύσαντα, κινδυνεύσαντα δὲ καὶ εἰς ὕδερον ἐλθεῖν, καί τις ἀνὴρ χρηστός, τῶν ἐν ἐξοχῇ τοῦ πατριάρχου ὑπάρχων καὶ ξενοδόχος ὢν τοῦ Ξενῶνος τῶν Χριστοδότης, τοῦ ὄντος πλησίον τῆς ἁγίας Ἀναστασίας ἐν τοῖς Δομνίνου ἐμβόλοις, ἰδὼν αὐτὸν οὕτως νοσοῦντα καὶ μονώτατον διάγοντα, ἀνέκλινεν αὐτὸν ἐν τῷ εἰρημένῳ ξενῶνι, παραγγείλας τοῖς ἀρχιατροῖς καὶ τοῖς ὑπουργοῖς ἐπιμελήσασθαι αὐτοῦ. δεκαμηνιαῖον δὲ χρόνον διατρίψας οὕτως ὁ νοσῶν καὶ κατὰ τὸ δυνατὸν τοῖς ἰατροῖς ἐπιμελῶς ἰατρευόμενος οὐδεμιᾶς ἔτυχεν ὠφελείας· ἀλλὰ πρὸς τοῖς πάθεσιν, οἷς εἶχεν, καὶ τὰ αἰδοῖα κατεσπάσθησαν αὐτοῦ κάτωθεν τῶν γονάτων, ὥστε μηδὲ ὁμοῦ δύνασθαι αὐτὸν συνάψαι τὰ γόνατα μηδὲ δεξιὰ ἢ ἀριστερὰ στραφῆναι. ἔλεγεν δὲ αὐτῷ ἐνωμότως, ὅτι χερσὶν οἰκείαις ἐμέτρησεν τὴν κήλην αὐτοῦ καὶ ἦν τὸ μὲν μῆκος αὐτῆς δακτύλων εἴκοσι, τὸ δὲ πλάτος τριάκοντα, καὶ αἰδεῖτο τοῖς ἰατροῖς ἐξαγγεῖλαι τὴν προστεθεῖσαν αὐτῷ νόσον. εἷς δὲ τῶν ἀρχιατρῶν, γνώριμος αὐτῷ ὑπάρχων, διαφόρως αὐτῷ προσκαθήμενος συνετύγχανεν· ᾧτινι ὁ ἀσθενῶν οἷα δὴ φίλῳ θαρρεῖ τὴν συμφοράν, καὶ γυμνώσας ἑαυτὸν δείκνυσιν αὐτῷ τὴν ἀνάγκην αὐτοῦ. ὁ δὲ ὡς εἶδεν κατεπλάγη καὶ εἰς τὸ ἑαυτοῦ μέτωπον ἔκρουσεν. καὶ ὁ ἀσθενῶν λέγει αὐτῷ· "Ὁρκῶ σε κατὰ τοῦ θεοῦ, εἰπέ μοι τί ἐστιν καὶ μὴ ψεύσῃ μοι·

1 καθέμάὐτόν C || μηθεαθεῖναι C  6 χρέος *: χραίοσ C  7 μεγαλία C  9 περιοῦ ά. ἔιπωμεν C || εἴς τε τὸν θώρακα usque ad ἐλθεῖν om D  10 συρρεύσαντα pro συρρευσάσαις  11 χριστὸσ C || τῶνενέξοχήτου C  13 δομνήνου C  14 ἀνεκληνεν C  15 καὶ τοῖς ὑπουργοῖς om D  16 δεκαμινϊάιον C || οὗτοσ ὃ C  18 ὀφελείασ C  19 αἰδύα κατεσπάσθεισαν C  21 ἐνομῶτωσ C ЕНОМОТЪ D  22 ἐμέτρισεν C  23 ἐδεῖτο C  24 νόσων C || γνώρημοσ C  25 διάφορωσ C || ὧτινι C  26 θαρεῖ C  27 ἴδεν κατεπλάγει C  28 μέτοπον C



παῦσαι γελοιάζων". καὶ ὁ ἰατρὸς ἀπεκρίθη· "Ὄντως γεροντέα ἐστίν". ὁ δὲ νοσῶν ἑξήκοντα δύο ἐτῶν ὑπῆρχεν κατὰ ἀλήθειαν. ἐνορκοῦντι δὲ αὐτὸν ἐπιμόνως πάλιν λέγει ὁ ἰατρός· "Αὐτὴν ἔχεις καὶ τὴν ἀνάστασιν· αὕτη γὰρ κήλη ἐστὶν ἀθεράπευτος. ὅμως τὰ πρὸς παραμυθίαν ποιήσωμεν". καὶ ἐπιτάττει τῷ ὑπουργῷ ἀπὸ στεάτων καὶ ἄλλων τινῶν ποιῆσαι αὐτῇ ἰατρείαν. λέγει αὐτοῖς ὁ ἀσθενῶν· "Μηδὲν ποιήσετε. μὰ τὸν θεὸν γάρ, ἐπὰν ἀνίατος κήλη ἐστίν, ἰατρείαν οἱανδήποτε γενέσθαι εἰς ἐμὲ οὐκ ἀνέχομαι". καὶ καθ' ἑαυτὸν γεγονώς, θρῆνον ἔρρηξεν ἐγκάρδιον, τοῖς δάκρυσιν βρέχων αὐτοῦ τὴν στρωμνήν, ἐγκαλῶν τε τοῖς ἁγίοις καὶ λέγων· "Ναί, ἅγιε Ἰωάννη καὶ ἅγιε Ἀρτέμιε καὶ ἁγία Φεβρωνία, οὕτως ὑμῖν ἀπὸ δεκαέτους καὶ ὧδε χρόνου δεδούλευκα, ἵνα εἰς τὸ γῆρας ἀνάπηρος γένωμαι. εἰ τῶν ἐπὶ γῆς ἀνθρώπων τινὶ προσεκαρτέρουν, εἶχον ἂν καὶ συγκροτήσεως καὶ ἐπιμελείας καὶ προνοίας ἀξιωθῆναι. ἴδε εἰς ποῖον πλήρωμα ἦλθον". καὶ ταῦτα εἰπών, πάλιν πρὸς τὸν ἅγιον Ἀρτέμιον ἔλεγεν κλαίων καὶ ἐλεεινῶς αὐτῷ προσφθεγγόμενος· "Ἅγιε Ἀρτέμιε, δεῖξον καὶ ἐν ἐμοὶ τὰς θαυματουργίας σου". τοιαῦτα καὶ τὰ τούτοις ὅμοια λέγων δι' ἁπάσης τῆς ἡμέρας οὐκ ἐπαύσατο· τῆς δὲ νυκτὸς ἐπιστάσης, ἥτις ἦν διαφαύουσα τὴν ἑορτὴν τοῦ σωτηριώδους γενεσίου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῶν ὀδυνῶν ἐπιτεινουσῶν αὐτῷ σφοδροτέρως, μικρὸν ἀνεθεὶς τρέπεται εἰς ὕπνον καὶ ὁρᾷ τὸν ἅγιον ἐν σχήματι φίλου αὐτοῦ τινος πάνυ εὐπρεποῦς, ὃς ἦν μειζότερος τοῦ τότε τῆς πόλεως ἐπάρχου Εὐλαμπίου, φοροῦντα λῶρον ἐπαρχικόν, ὡσεὶ χιόνα λευκόν, καὶ πρὸ ποδῶν ἑστῶτα τῆς κλίνης αὐτοῦ. ὡς δὲ εἶδεν αὐτὸν ἐν τοιούτῳ σχήματι, ἐν ἑαυτῷ διελογίζετο λέγων· "Ποτὲ καὶ ἄλλοτε οὕτως ἐφόρεσεν". ὁ δὲ ἅγιος ἐσκυθρώπασεν, καμμύσας τοὺς ὀφθαλμούς, χεῖλός τε πρὸς χεῖλος συνάψας, καὶ τὴν κεφαλὴν κατὰ τοῦ εὐωνύμου αὐτοῦ κλίνας ὤμου ἔστη

2 δύο C πέντε D  5 παραμυθείαν C  7 ὁ ἀσθενῶν om D || ποιῆσεται C  8 ϊατρίαν C || ἐισ σεμαιοῦκάν ἔχωμαι C  9 ἔρριξεν C  10 στρομνὴν C  11 φεβρονία C  12 ἀποδέκαἔτουσ C  13 ἀνάπεροσ γένομαι C  16 πάλιν om D || κλέων C  20 διαφέουσα τ. έωρτήν C || γεννεσίου C  22 μϊκρὼν C || τρέπετε C || σχήματι *: σχήμα C  23 εὐπρεπρεποῦσ C || μιζῶτεροσ C  25 προσπόδων C || κλέινεισ C  26 ἴδεν C || διέλογίζετω C  28 καμυσασ C || χῖλοσ..χίλος C  29 εὐὴνοίμου C || κλεινασώμου C

δῆθεν ἐνεός, καὶ ὥσπερ ἀποστρεφόμενος τὸν δεξιὸν εἶχεν ὀφθαλμὸν ἐπιβλέποντα τῷ νοσοῦντι τρανῶς· καὶ ἀναβαλόμενος οὗ ἐφόρει λώρου τὰ δύο μέρη, τήν τε δεξιὰν αὐτοῦ χεῖρα εἰς τὴν ἑαυτοῦ μασχάλην ἐμβαλὼν ἐξέβαλεν σμίλην ἰατρικήν, καὶ σηκώσας δι' ἑαυτοῦ τὰ τοῦ νοσοῦντος σκεπάσματα καὶ ἅπερ ἐφόρει ἐγκοίτια, τῇ ἀκμῇ τῆς σμίλης ἥψατο τῆς δορᾶς τοῦ δεξιοῦ διδύμου τοῦ νοσοῦντος. ὁ δὲ ἀνακεφαλίσας ἰδεῖν τί ποιεῖ, εἶδεν ἑαυτὸν ὑγιῆ. διυπνισθεὶς δὲ χαίρων, ὡς ὑγιὴς εἶναι δοκῶν, οὐδὲν ἧττον ἐν τῷ αὐτῷ τρόπῳ πάλιν ηὗρεν ἑαυτὸν ὄντα καὶ τῇ λύπῃ ἀπενεκρώθη. ὁ δὲ τόπος ἦν φανερός, ἐν ᾧ προσέψαυσεν ὁ ἅγιος τῇ σμίλῃ, σταγόνας βραχείας στάζων ἀπαύστως καὶ τὴν κλίνην αὐτοῦ ὅλην ὑγρασίας πεπληρωκώς, καὶ ἦν δυσῶδες τὸ ἐξερχόμενον ὑγρόν. τῷ δὲ καιρῷ τοῦ τραφῆναι πάντων αὐτὸν προτρεπόντων γεύσασθαι τῶν ἐκεῖσε, καὶ μάλιστα διὰ τὴν ἑορτήν, οὐχ εἵλατο φαγεῖν, ἀλλ' ἔκειτο ἄσιτος, αἰδούμενος εἰπεῖν τὸ συμβεβηκὸς αὐτῷ. οἷα δὲ τῆς ἑορτῆς οὔσης οἱ ἰατροὶ τῇ δείλῃ οὐ προῆλθον, ἀλλ' ἦν ἑορτάζων ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ. ἑνὶ γοῦν τῶν ὑπουργῶν ἀριστήσαντι καὶ κοιμωμένῳ φαίνεται καθ' ὕπνους ὁ ἅγιος ἐν σχήματι τοῦ τὸν μῆνα ποιοῦντος ἀρχιατροῦ, καί φησιν πρὸς αὐτόν· "Δράμε εἰς τὸν ξενῶνα καὶ ἐπιμελήθητι τοῦ νοσοῦντος τὰ αἰδοῖα". καὶ ὑφιστᾷ αὐτὸν ἐν αὐτῷ τῷ ὕπνῳ, τί ὤφειλεν ποιῆσαι. ὁ δὲ διυπνισθεὶς ἔρχεται τρέχων (ἦν δὲ πρὸς ἑσπέραν λοιπόν), εἶτα σπουδῇ "'Απολύσατε" κράζων τοῖς ὑπηρέταις, "δότε λύχνον ἅπτοντα". καὶ ὡς ἠνέχθη ὁ λύχνος, ἀποσκεπάσας τὸν νοσοῦντα καὶ ἰδὼν ἐξέστη καὶ ἔκραζεν ἐπιμελῶς "Κύριε, ἐλέησον". ὁμοίως δὲ καὶ πάντες ἐπὶ τὸ συμβὰν ἐθαμβοῦντο. ἐγείρας δὲ αὐτὸν ἐκ τῆς κλίνης καὶ καθίσας αὐτὸν ἐπὶ σωτήριον δίφρον, βλέπει αὐτῷ τοὺς διδύμους οὐκ ἐν τῇ πρὸ μικροῦ τάξει ὄντας, ἀλλ' ἄχρι δακτύλων ἓξ ἔχοντας ὄγκωσιν. ἐκ δὲ τῆς ὀπῆς τῆς ὑπὸ τοῦ ἁγίου μάρτυρος

2 ἐπιβλέποντωνοσοῦντι C || ἐφόρη C 4 σηκῶνασ C 5 σκεπάσματα *: κεπάσματα C || ἐγκύτια C 6 δωρρᾶσ C || δειδύμου C 7 ἀνακεφαλῆσασ C || ἴδεν C 8 ἧττων C 10 τῆσσμίλη C 11 βραχίασ C || κλείνην C 13 τραφεῖναι C || αὐτὸν *: αὐτῶν C 14 ἑωρτήν, οὐκείλατο C 15 συμβεβηκῶσ C 16 ἑορτῆς *: ὀρτῆσ C || τηδήλη C || ἀλλήννέωρτάζων C 17 ἐνΐγοῦντωννήὑπουργῶν C 18 τούτονμηνα C 20 ἐπιμελείθητι C 23 ἀπελύσαται C 26 κλήνησ C 27 καθήσασ C || δήφρον C 28 τάξειον τὰσ ἀλλάχρι C



γενομένης ἀπεκρέμαντο πύα ὡς ἐπὶ νήματος ψιλοῦ· ἅπερ τοῖς δακτύλοις κρατήσας οὖν ὁ ὑπουργὸς ἔσυρεν· καὶ ὅσον εἷλκεν, τὰ παχύτερα ἐξήρχοντο, ἐκταθέντα ἐπὶ πῆχυν ἕνα. ἐκμυζήσας δὲ αὐτοῦ τοὺς διδύμους, δύο λαβούτια ἐγέμισεν ἔκ τε ἰχώρων καὶ αἱμάτων καὶ πύων. ἀποσπογγίσας δὲ κατὰ λόγον αὐτὸν καὶ ἐπιθεὶς τῷ τμηθέντι τόπῳ, ἅπερ ἐπετράπη κατὰ τὴν ὀπτασίαν τοῦ ἁγίου, ἀνέκλινεν αὐτὸν ἐν τῇ κοίτῃ αὐτοῦ συνεχῶς κράζων. "Κύριε, ἐλέησον. δόξα σοι, ὁ θεός". καὶ ἐξαίφνης ἐπλήσθη ὅλος ὁ ξενὼν εὐωδίας καὶ ἡ πρὶν δυσώδης κλίνη εὐώδης ἐγένετο. θρέψας οὖν αὐτὸν ἀνεχώρησεν, οὐδενὶ οὐδὲν εἰρηκώς. τῇ ἐπαύριον τῆς παρόδου γινομένης, ᾔσθετο τῆς εὐωδίας ὁ ἀρχιατρὸς καὶ λέγει· "Ὢ καλὴ ὀσμή". λέγει αὐτῷ ὑποκρινόμενος ὁ ὑπουργός· "Βλέπε τοὺς διδύμους τούτου πῶς ἔχει". καὶ σηκώσας ὁ ἀρχιατρὸς τὰ σαγία καὶ ἰδὼν ἐθαύμασεν, καὶ λέγει τῷ ὑπουργῷ· "Πίστευσον, ἀδελφέ, τριάκοντα τρεῖς χρόνους ἔχω ἰατρὸς ὢν καὶ οὐκ εἶδόν τι τοιοῦτο". καὶ ἀπεκρίθη ὁ ὑπουργός· "Ὄντως καὶ ἐγὼ εἰκοσιοκτὼ ἔτη ἔχω ὑπουργῶν καὶ οὐδέποτε τοιοῦτόν τι ἐθεασάμην". καὶ ὡς ἐξ ἑνὸς στόματος ἀμφότεροι εἶπον· "Δόξα τῷ θεῷ". ἀπὸ οὖν τῆς ἡμέρας ἐκείνης τὴν πάροδον ποιούμενος ὁ ἀρχιατρὸς παρήρχετο τοῦτον, μὴ σημειούμενος αὐτόν. ὁ δὲ ὑπουργός, ὅσα ἐκ τοῦ ἁγίου ἐκελεύσθη, ἐπιμελῶς ἐποίει καὶ μέχρι τῶν ἁγίων Θεοφανίων, τουτέστιν εἰς ἡμέρας δώδεκα, ὁ κλινήρης οὗτος παρ' ἐλπίδας ὑγιὴς ἐγένετο. καθ' ἑαυτοὺς δὲ γενόμενοι ὅ τε ὑπουργὸς καὶ ὁ ἰαθεὶς ἐθάρρησαν ἀλλήλοις τὰς ἑαυτῶν ὀπτασίας, τὰς γενομένας ἐκ τοῦ ἁγίου καὶ θαυματουργοῦ 'Αρτεμίου, καὶ ἅμα ἐδόξαζον τὸν θεόν.

⟨*Θαῦμα*⟩ *κγ*. Πρεσβύτερός τις τοῦ πολλάκις εἰρημένου ναοῦ τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ 'Ιωάννου ἐξαίφνης ἐγένετο κα-

1 πύα*: ποιᾶ || ψιλοῦ *: ὑψηλοῦ C 2 ἦλκεν C 4 λαβούττια C сосуда D || ἐγέμησεν, ἐκτεϊχορων C 5 πύων *: ποιῶν C || ἀποσπογγήσασ C 6 ἐπετράπει C 7 ἀνέκληνέν C 8 ἐξέφνησ ἐπλήσθει C 8 εὐωδείασ C || κλήνη C 11 εὐωδείασ ὁ ἀρχ'ϊἰατρὸσ C 12 ὢ *: ὗ C гдѣ D 13/14 τὰ σαγία *: τὰσ ἁγία C руку D 15 οὐκΐδον C 18 ἀμφότεροι om D 19 ἀρχητρὸσ C 20 μὴ σημειούμενος *: μησΐούμενοσ C 21 ἐκελεύσθει C 22 δώδεκα C δεκαπέντε D || κληνήρισ C 23 καθεαυτοῖσ C 27 πολλακεισ C 28 ἐξέφνησ C

ταβαρής, τὸ πόθεν οὐκ εἰδώς, καὶ ὠδυνᾶτο σφοδρῶς, καὶ ὅλως ἔννοια οὐχ ὑπεισῆλθεν αὐτῷ περὶ τοῦ ἁγίου μάρτυρος, δαίμονός τινος ἀφελομένου παρ' αὐτοῦ τὴν μνήμην πρὸς τὸ κακωθῆναι αὐτὸν τῇ νόσῳ. οὐδὲν οὖν ἐν νῷ περὶ τοῦ μάρτυρος ἐσχηκὼς οὐδὲ ὅσα οἱ ἐπὶ τούτῳ τῷ πάθει νοσοῦντες ποιοῦσιν ἐνθυμηθείς, λέγω δὴ ἐπ' ὀνόματι αὐτοῦ σκευάσαι κανδήλαν, ἰατροῖς ἑαυτὸν ἐκδέδωκεν καὶ πολλὰς ἰατρείας ὑπομείνας ἐπὶ τὸ χεῖρον ἤλασεν. καὶ οὐδὲ οὕτως αὐτῷ ἀνάμνησις τῶν τοῦ ἁγίου θαυμάτων ἐγίνετο, οὐδὲ τοῖς περὶ αὐτόν. δυσφοροῦντι γοῦν αὐτῷ περὶ τοῦ πάθους, τινὲς τῶν φίλων ἄγουσιν αὐτῷ ἰατρόν τινα Πέρσην τῷ γένει, ᾧτινι ἐμαρτύρουν ἱκανότητα πρὸς πάντα τὰ νοσήματα. οὗτος διεβεβαιοῦτο πᾶσιν τρόποις αὐτὸν θεραπεύειν. ψιλαῖς ταῖς ὑποσχέσεσι θαλπόμενος, ὅπερ ἂν ἐζήτει ὁ λεγόμενος ἰατρός, προθύμως αὐτῷ ἐπεδίδου. μετὰ δὲ ἡμέρας πολλὰς ὁ τοῦ μεγάλου ἰατροῦ τῶν ψυχῶν καὶ τῶν σωμάτων μαθητὴς ἀλγοῦντι τῷ νοσοῦντι φαίνεται κατ' ὄναρ μετὰ τῆς ἑαυτοῦ κατακειμένῳ γαμετῆς, ἐν μιᾷ τῶν νυκτῶν· φαίνεται δὲ αὐτῷ ἐν σχήματι τοῦ νομιζομένου ἰατροῦ, φημὶ δὴ τοῦ Πέρσου, ὡς ὅτι περ ὀξέως εἰσῄει εἰς τὸν οἶκον αὐτοῦ καὶ ἤρχετο πρὸς τὴν κλίνην αὐτοῦ ἰατρεῦσαι αὐτόν. ὁ δὲ νοσῶν ἑωρακὼς αὐτὸν καὶ νομίσας ὅτι κατὰ ἀλήθειαν ὁ Πέρσης ἐστίν, ὡς ἦλθεν ἐγγὺς τοῦ προσψαῦσαι αὐτῷ, ἔκραξεν μέγα ἐμμανῶς· " Ὄντως οὐ βάλλεις μοι χεῖρα, οὐδὲ ἰατρεύομαι ἀπὸ σοῦ ἔτι ". ὁ δὲ λέγει αὐτῷ· " Ἐασόν με ἰατρεῦσαί σε ". ὁ δὲ ἀσθενῶν πλέον ἔκραζεν· " Οὐ βάλλεις εἰς ἐμὲ χεῖρα τοῦ λοιποῦ ". ὁ δὲ πάλιν παρεκάλει αὐτὸν λέγων· " Ἄφες ἰατρεύσω σε ". κἀκεῖνος ἐπέμενεν κράζων· "Οὐκ ἰατρεύεις με· καὶ σημίσιν σοι δέδωκα καὶ τριμίσιν καὶ τέσσαρα κεράτια καὶ τοσαύτας ἀγάπας, καὶ τίποτε οὐκ ὠφελήθην ἀπὸ σοῦ· ἀλλ' ὁσάκις ἂν ἐποίησάς μοί τι, τοσαυτάκις κακὴν ἡμέραν ἐποίησα εἰς τὸ χεῖρον ἐλθών. ἔξελθε ἐκ τοῦ

1 ὀδυνάτο C 2 οὐκ C 3 κακοθῆναι C 10 πέρσιν C 11 εἰκανῶτητα C 13 θαλπώμενοσ C || ἐζήτη C 17 ἐνχήματι C 18 εἰσίει C 19 κλήνην C 20 νομήσας C || πέρσισ C 23 ἴατρέυσεσαι C 24 ουβάλλειςεισεμε χ. τ. λυποῦ C 25 σε] σαι C 26 με] μαι C || σημίσιν (=semis) C польъзлатника D 27 τριμήσιν C || ἀγάπας *: ἀγαπᾶσ C любовь D 28 ὠφελέθην C || ὠσάκεισ ἀνεποίησασ μοι τὶ. τὸσάυτάκεισ C



οἴκου μου ". καὶ αὐτὸς ἔλεγεν· " Οὐδὲ τὸ λεγόμενον παρά τισιν ἐπίστασαι τῆς παροιμίας, Ὁ πονῶν πρὸς τὸν ἰατρόν. ἀνθ' ὧν σὺ πρὸς ἐμὲ εἶχες ἐλθεῖν, ἐγὼ πρὸς σὲ ἦλθον καὶ διώκεις με τοῦ οἴκου σου. ἴδε, ἀναχωρῶ "· καὶ ὁρμήσας πρὸς τὸ ἀναχωρῆσαι λέγει τῷ νοσοῦντι· " Πίστευσον, ἐγγύς μου ἔχεις ἐλθεῖν ". καὶ τοῦτο εἰπὼν ἀνεχώρησεν. ὁ δὲ διυπνισθεὶς καὶ ἐν ἑαυτῷ γενόμενος ἔγνω τὸν σκοπὸν τῆς ὀπτασίας καὶ εἶπεν· " Οὐαὶ ταῖς ἁμαρτίαις μου, ὁ κῦρίς ἐστιν. ὄντως, δέσποτα, ἀλήθειαν εἶπας· πρὸς σὲ ἔρχομαι ". ταῦτα λέγοντος αὐτοῦ, ἡ γυνὴ αὐτοῦ ἀκούουσα ἐπηρώτα αὐτὸν λέγουσα· " Τίνι συντυγχάνεις, κῦρι; τί ἐστιν ὃ ἔχεις "; καὶ αὐτὸς ἐξηγήσατο αὐτῇ τὸν ὄνειρον καὶ τὴν τοῦ ἁγίου μάρτυρος ἐμφάνειαν· καὶ ὀρθρίσας ἦλθεν εἰς τὸν ναὸν ποιῆσαι τὰ ἐν ἔθει τοῖς ἐπὶ τούτῳ νοσοῦσιν γινόμενα· καὶ προσκαρτερήσας τῷ ἁγίῳ μάρτυρι ὑγιὴς γέγονεν. ταῦτα τῇ νῦν παρελθούσῃ τεσσαρεσκαιδεκάτῃ γέγονεν ἐπινεμήσει ἔτους πεντεκαιδεκάτου τῆς βασιλείας Κωνσταντίνου, υἱοῦ μὲν Κωνσταντίνου, ἐγγόνου δὲ Ἡρακλείου.

⟨Θαῦμα⟩ κδ́. Γυναικί τινι θυγάτηρ ὑπῆρχεν, ἥτις γάμῳ προσωμίλει, μετὰ δὲ τοὺς ἀρραβῶνας τῶν γάμων καταβαρὴς ἐξαπίνης γέγονεν. αὕτη μετὰ τῆς μητρὸς ἐλθοῦσα προσήδρευεν τῷ ἁγίῳ μάρτυρι τὴν ἐξ αὐτοῦ ἴασιν ἐκδεχομένη. ὡς δὲ διέτριψαν ἡμέρας δεκαπέντε, ῥαθυμήσασαι ἀνεχώρησαν ἄπρακτοι εἰς τὸν οἶκον αὐτῶν. τῇ δὲ νυκτὶ ἐκείνῃ φαίνεται τῇ μητρὶ αὐτῆς ὁ ἅγιος καί φησι πρὸς αὐτήν· " Ἄπελθε εἰς τὴν ἀδελφὴν Φεβρωνίαν καὶ αὐτὴ ἰατρεύει αὐτήν ". ἔξυπνος δὲ γενομένη καὶ τὸ μυστήριον τῆς ὀπτασίας λογισαμένη, λαβοῦσα τὴν ἑαυτῆς θυγατέρα δρόμῳ τὸν ναὸν τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου κατέλαβεν· ἐν γὰρ τῷ αὐτῷ ναῷ ὑποκάτω μὲν τοῦ μεγάλου θυσιαστηρίου ἔστιν ἡ σορὸς τοῦ ἁγίου μάρτυρος, ἐκ δεξιῶν δὲ τοῦ θυσιαστηρίου εὐκτήριον τῆς ἁγίας μάρτυρος Φεβρωνίας. ἐν αὐτῇ οὖν τῇ νυκτὶ ὁρᾷ πάλιν ἡ αὐτὴ τῆς παιδὸς μήτηρ γυναῖκα εὐοπτοτάτην, μονα-

1 παρατησὴν C 3 οὐκ εἶχες D || ἤλθων C 5 πίστευσόν μοι D 10 συντυχάνεισ C 11 τὸνόνηρον C 12 ὀρθρήσασ C 13 γενόμενα καὶ πρόσκαρτηρήσασ C 14 ὑγιὴς *: ὑγιειᾶ C || παρελθοῦσει, τεσσαρισκαὶ C 15 ἔτους πεντεκαιδεκάτου=671/672 17 προσόμιλει C 19 πρὸσέδρευεν C 23 ἀδελφήν μου D 25 λογησαμένει C 26 προδρόμου καὶ om D 27 μεγάλου C ἱεροῦ D 30 εὐόπτωτάτην C

χικὴν περιβεβλημένην ἀμφίασιν, ποιήσασαν ἔμπλαστρον ἐκ τῆς κηρωτῆς καὶ ἐπιθεῖσαν τῷ κρυφίῳ τῆς παιδὸς καὶ εἰρηκυῖαν αὐτῇ· "Ἄπελθε, εὐχαρίστησον τῷ θεῷ καὶ τῷ ἁγίῳ Προδρόμῳ καὶ τῷ ἁγίῳ Ἀρτεμίῳ". καὶ ἅμα τῷ ταῦτα εἰπεῖν αὐτῇ διυπνίσθη ἡ τῆς κόρης μήτηρ, καὶ τῆς κοίτης ἐξαναστᾶσα, κηρούλλιόν τε ἅψασα καὶ ψηλαφήσασα τὴν ἑαυτῆς θυγατέρα ηὗρεν τὸ μὲν ἔμπλαστρον ἐπικείμενον καθὰ εἶδεν, τὴν δὲ παῖδα ὑγιῆ ὡς ἀπὸ γεννητῆς γεγονυῖαν. τίς μὴ λαλήσῃ τὰς δυναστείας τοῦ κυρίου, καθόσον ἔχει δυνάμεως; ὅτι γὰρ δοὺξ τὴν ὑπεροχὴν ἐτύγχανεν, ἀλλ' οὐκ ἰατρός, οὔτε μὴν ἰατρῶν παῖς ὁ μεγαλομάρτυς οὗτος, ἔναγχος ἀκηκόαμεν· ἴσως δέ ποτε καὶ ξίφος ὁρῶν ἰατρικὸν γυμνούμενον οἷα ἄνθρωπος ἔφριττεν· ἀλλὰ παντὸς πλούτου, τοῦ προσκαίρου, καὶ προσγενῶν καταφρονήσας, καὶ παραδοὺς τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν λύτρον ὑπὲρ πάντων ἡμῶν, ἀρραβῶνα τῶν μελλόντων ἀγαθῶν θεόθεν ἔλαβεν, ἃ λέγειν οὐκ εὔπορον· ἀντὶ γὰρ δουκὸς κλίματος οἰκουμένης γέγονεν κοσμικὸς ἰατήρ, καὶ ὅ γε μετὰ τοῦ σώματος ὧν οὐκ εἶχεν, ἔξω τῆς σαρκὸς γενόμενος ἐπλούτησεν. ποῦ τοίνυν οἱ κομπορρήμονες Ἱπποκράται καὶ Γαληνὸς καὶ ἄλλοι μυρίοι τὸ δοκεῖν ἰατροί; οἳ προστατεύοντες, ἅτε βουβῶνος κηλητικοῦ καὶ μόνου ὄντος τοῦ τοιούτου γυναικείου πάθους, τέμνεσθαι τὸ δεδιπλωμένον δέρμα πρότερον βιαίως ὀφείλουσιν τῆς πασχούσης, ἵνα κατὰ τὴν ἔντασιν κυρτωθῇ τὸ περιτόναιον. οὐδὲν τούτων παρηκολούθησεν, ἀλλ' οἱ ταῦτα ἐξερευγόμενοι ἐπιφοιτήσει τοῦ μάρτυρος ἠπράγησαν, ὥστε μὴ μόνον τοὺς ἁγίους ἄνδρας τούτους παρευδοκιμεῖν, ἀλλὰ καὶ τὰς ἄλλας γυναῖκας. ὅρα γὰρ καὶ Φεβρωνίαν τὴν μάρτυρα ὑπουργὸν τοῦ ἁγίου ἐν τῇ ὀπτασίᾳ γεγενημένην τάχα, εἰ χρὴ λέγειν, διὰ τὴν αἰδῶ τῆς πασχούσης, ἀρχὴν τοῦ

---

2 ἠρηκυῖαν C 4 διύπνισθει C 5 κυτησ C || ἄψασ C 6 ψηλαφήσασ C 7 ἴδεν C 8 καθόσον *: καθὸσ ὄν C 9 ὑπερωχεῖν C || οὐχ C 10 ἐναγχωσακηκώαμεν C 11 δεποτὲ C || ξήφοσ C 15 ἀραβόνατωνμέλλωντων ἀ. θεῶθεν C 16 κλήματοσ C мѣсто Климатова D 17 ογεμετὰ C 18 ἐπλούτηνσεν C || ποῦ*: πλοῦ C 19 κομπορρήμονες *: κομυπρρήτορεσ C лжеименитии D 20 τὸ *: τῶ C || βουβονοκηλΐτικοῦ C 21 μώνου ὄντωσ C || γυναικῖου C 22 δὲ διπλωμένον C || πρώτερον C || βιαίως *: βίωσιν C om D 23 κυρ'τωθεῖ τοπεριτόνεον C || ἵνα usque ad περιτόναιον om D 24 ἐπιφυτήσει C



ἰατρεύειν τὰ τοιαῦτα πάθη λαβοῦσαν ἐντεῦθεν, ὥστε κηρωτῇ τῇ ὑπὸ τῶν κηλοτομεῖν ἐξησκημένων γενομένῃ ἐπὶ τῇ τοιαύτῃ ἰατρείᾳ τοῦτο δὴ τὸ νόσημα ἰᾶσθαι. τοῦτο δὲ τὸ χάρισμα ὁ μεγαλομάρτυς οὗτος θεόθεν ἐκομίσατο εἰς ἀντάλλαγμα ἧς αὐτὸς ἄθλων ὑπέστη βασάνου, καθ' ἣν ἔξω γεγόνασιν αὐτοῦ τῶν φυσικῶν θαλάμων οἱ ὀφθαλμοί· δῆλον γάρ, ὅτι καὶ τὰ λοιπὰ τῶν κρυφίων συνεξεχάλασαν μόρια. τίς ὅμοιός σοι ⟨ἐν θεοῖς κύριος; τίς ὅμοιός σοι ὁ⟩ δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς ἐν δόξαις ποιῶν τέρατα; ὅτι περ ἐν οἷς ὁ θεράπων σου ἔπαθεν, κατ' αὐτῶν φαίνεται διαλάμπων τοῖς ἰάμασιν. ἀλλὰ ταῦτα μὲν οὕτως ἐχέτω, τὰ δὲ λοιπὰ τῆς ἀφηγήσεως προϊστορείσθω.

⟨*Θαῦμα*⟩ **κε'.** Γεώργιός τις ὀνόματι νοσῶν τοὺς διδύμους αὐτοῦ ἀπὸ χρόνων ἱκανῶν προσεκαρτέρησεν τῷ ἁγίῳ Ἀρτεμίῳ ἐν τῷ πολλάκις εἰρημένῳ ναῷ τοῦ Προδρόμου, ἱκανῷ χρόνῳ τοῖς αὐτοῖς πόνοις συνεχόμενος. τινὲς οὖν, οἷς περὶ μόνα τὰ ἀνθρώπινα ἡ σπουδή, συνεβούλευον αὐτῷ ἐπιδοῦναι ἑαυτὸν ἰατρῷ, τοῦ ἀποκόψαι τοὺς διδύμους αὐτοῦ· ὁ δὲ ἐδυσφόρει λέγων· "Πολλοὶ ἐπὶ τῇ χειρουργίᾳ δόντες ἑαυτοὺς ἠστόχησαν, ἅμα τῇ τομῇ τελευτήσαντες· ἀλλ' ἐγὼ τῷ θεῷ καὶ τῷ μάρτυρι αὐτοῦ ἔδωκα ἑαυτόν, καὶ ὃ κελεύουσιν, ποιήσουσιν εἰς ἐμὲ τὸν ἄθλιον". τῇ οὖν αὐτῇ νυκτὶ φαίνεται αὐτῷ ὁ ἅγιος κατ' ὄναρ ἐν σχήματι μακελλαρίου, κατέχων ἐργαλεῖα μακελλαρικὰ καὶ σκύφιν, ἐν ᾧ ἦν ὕδωρ, καὶ ὅτι ἐσημειώσατο αὐτὸν τὸν πάσχοντα καὶ μετὰ μαχαίρας ἐκέντησεν αὐτὸν κατὰ τοῦ ὑπογαστρίου αὐτοῦ καὶ ἐξήνεγκεν πάντα τὰ ἐντὸς αὐτοῦ· εἶτα καθαρίζει αὐτὰ καὶ ἀποπλύνει καὶ στρέφει μετὰ βεργίου. καὶ ἑώρα αὐτὸν συστέλλοντα αὐτὰ καὶ ποιοῦντα ὡς χορδία, καὶ λέγει ὁ νοσῶν· "Οὐαί μοι, ἐγὼ ἐμαυτὸν εἰς ἰατρὸν οὐκ ἠνεσχόμην δοῦναι καὶ σὺ τί ποιεῖς, ἄνθρωπε; ἐπὰν τὰ ἐντός μου πάντα ἐξήγαγες, λοιπὸν οὐκέτι ζῶ. οὐαί, τί ὑπέστην; τίς σε ἤγαγεν ὧδε, ἄνθρωπε, ἵνα φονεύσῃς με"; ὁ δὲ ἐσιώπα μέν, τὰ

---

1 πάθει C 2 ἐξησκειμένων C || γενομένη *: γελωμένη C 4 θεωθενεκομήσατο C || ἀντάλαγμα C 7 μώρια C || ἐν θεοῖς usque ad σοι addidi e D; cf. Exod. xv, 11 8 θαυμαστὸς] θαυστόσ C 10 ἀλλὰ usque ad προϊστορείσθω om D 11 προϊστόρισθω C 13 ἐικανῶν C 14 πολλάκεισ C || ἐικανῶ C 18 ἠστόχεισαν C || τομῇ *: τὸμῆν C 22 ἐργαλῖᾳ C 23 ἐσημῖῶσατω C || μαχέρασ C 29 οὐαί μοι D || τί] τη C

δὲ ἐντὸς αὐτοῦ κατὰ τὸ δοκοῦν ἐκάθαιρεν. καὶ ποιήσας αὐτὰ ὡς ἑνὸς εἰλήματος πάλιν ἐναπέθετο αὐτὰ ἐν τῇ κοιλίᾳ τοῦ νοσοῦντος· καὶ διυπνισθεὶς ὁ ταῦτα παθὼν συνείχετο ἐκ τοῦ φόβου καὶ τοῦ ὕπνου, καὶ ἤχθετο ὑπολαμβάνων, ὡς ὅτι εἰς μακελλάριν ταῦτα ἔπασχεν κατὰ ἀλήθειαν. καὶ ἀναστὰς ἠρεύνα τὴν κοίτην αὐτοῦ, ὡς δοκῶν εὑρίσκειν ἅπερ ἑώρακεν καθ' ὕπνους μακελλαρικὰ ἐργαλεῖα, ὥστε ἐκ τῆς συνοχῆς αὐτοῦ καὶ κραυγῆς τοὺς ἐκεῖσε πρὸς τὸ ἰαθῆναι ἀνακειμένους ἐξυπνισθέντας λέγειν αὐτῷ· "Τί ἐστιν ὃ ἔχεις, ἀδελφέ"; ὁ δὲ λέγει· "Τίς ἐπῆρεν τὸ σκύφιν τοῦ ὕδατος καὶ τὴν μάχαιραν καὶ τὸν πέλυκα καὶ τὸ βεργίν"; καὶ ἀναστὰς ἠρεύνα ἐπιμελῶς. οἱ οὖν ἐκεῖσε ὁρῶντες αὐτὸν ἐρρωμένον, τὸν ὀψὲ ἐν πόνοις κοιμηθέντα καὶ κινηθῆναι ἢ ἀναστῆναι μὴ δυνάμενον, ἐξέστησαν· ἔγνωσαν δὲ ὅτι θαῦμα ἑώρακεν καὶ λέγουσιν αὐτῷ· "Τί ἔχεις; τί ζητεῖς; κατασφράγισαι". ὁ δὲ ἐλθὼν εἰς ἑαυτὸν καὶ γνοὺς ὅτι ἰάθη, δραμὼν κατὰ τὸ κάγκελλον τὸ ἄνω (νὺξ γὰρ ἦν καὶ πάντα ἠσφαλισμένα ἦν), ῥίπτει ἑαυτὸν εἰς τὸ ἔδαφος σὺν δάκρυσιν εὐχαριστῶν τῷ θεῷ καὶ τῷ ἁγίῳ, ὥστε πάντας τοὺς ἐκεῖσε σὺν αὐτῷ εὐχαριστεῖν καὶ ἑαυτοῖς εὔχεσθαι τῆς ἐκ τοῦ ἁγίου ἰάσεως ἐπιτυχεῖν. ταῦτα μὲν ὁ θεοπρόβλητος ἰατρός· σὺ δέ μοι τί λέγεις ὁ βρενθυόμενος χειρουργός; εἰ γὰρ ἂν ἐγκρατὴς ἐγεγόνεις τοῦ ἰασαμένου, πάντως ἀπῄτεις αὐτὸν δεῖξαι, ποῖος ἀρχαῖος διαγορεύει μακελλαρικοῖς ἐργαλείοις τοὺς καταβαρεῖς ἰατρεύεσθαι καὶ ποῦ προστάττεται τὰ ἐντὸς τούτων ἐξάγεσθαι καὶ εἰσάγεσθαι. ἀλλὰ ἀργεῖ μὲν ἡ σὴ ἐργολαβία, τὰ δὲ ξίφη σου τῷ ἰῷ δαπανῶνται. ἀνόνητά σου τὰ διέδρια καὶ τὰ τυφλάγκιστρα· ὁ γὰρ ἄξας δράκοντα ἐν ἀγκίστρῳ Χριστὸς ὁ θεὸς ἡμῶν ἐθαυμάστωσεν τὸν ὅσιον αὐτοῦ τῇ δωρεᾷ τῶν ἰαμάτων.

⟨*Θαῦμα*⟩ *κς*. Ἀνήρ τις ἑξηκονταέτης ἐκ τριακοστοῦ χρόνου τῆς ἡλικίας αὐτοῦ ὢν καταβαρὴς καὶ τοσαῦτα ἔτη ἐν πόνοις καὶ ὀδύναις διατελέσας συμβουλεύεται ὑπό τινων προσκαρτερῆσαι τῇ

2 ἠλίμματοσ C || κοιλειά C 5 κύτην C 7 ἐργαλία C || συνωχεῖσ C 8 ἰάθειναι C 10 μάχεραν C 11 οἱουἐκεῖοσε C 12 ἐν πόνοις *: ἐμπρ'νοισ C 14 κατασφράγισε C 15 ὅτι ἰάθη *: δ'ϊαθη C || καγκέλλον τῶ C 16 ἠσφαλησμένα C 20 ἐγκρατεῖσ C 22 ἐργαλίοισ C 23 ἐντῶσ C 24 ἀργῆμεν C 25 τῶϊωδαπάνονται C 27 δωραιὰ C 28 τίσ ἐξήκονταἔτεισ ἐκτριάκονστοῦ C 29 ἐμπόνοισ C



σορῷ τῶν λειψάνων τοῦ ἁγίου μάρτυρος Ἀρτεμίου. καὶ δὴ ἔρχεται μετὰ τῆς ὀφειλούσης τιμῆς, ὅσον πρὸς τὸ δυνατὸν αὐτῷ, καὶ παραμείναντος αὐτοῦ πίστει πολλῇ καὶ κατανύξει, φαίνεται αὐτῷ ὁ ἅγιος καὶ λέγει αὐτῷ· "Ἄπελθε πρὸς Θεόδωρον τὸν χαλκέα, τὸν ἐν τοῖς Δομνίνου ἐμβόλοις, καὶ ἰατρεύει σε". ὁ δὲ ἀπέρχεται καὶ ἤρξατο δυσωπεῖν αὐτόν, ἵνα ἰατρεύσῃ αὐτόν. ὁ δὲ χαλκεὺς ἐπωμότως ἀπελογεῖτο τῷ νοσοῦντι, ὅτι "Οὐκ ἐπίσταμαι τὴν οἱανδήποτε ἰατρείαν, οὔτε οἶδα τί σοι ποιῆσαι". λαβὼν οὖν τοιαύτην ἀπόκρισιν ὑποστρέφει καὶ πάλιν ὁ αὐτὸς ἦν προσεδρεύων τῷ ναῷ τοῦ ἁγίου Ἰωάννου, παρακαλῶν τὸν μάρτυρα καὶ αἰτῶν τυχεῖν τῆς ἰάσεως. εἶτα καὶ δὶς φαίνεται αὐτῷ ὁ ἅγιος καὶ λέγει αὐτῷ· "Ἄπελθε εἰς τὸν χαλκέα, ὃν εἶπόν σοι, κἀκεῖνος ἰατρεύει σε". δευτεροῖ ὁ νοσῶν καὶ ἀπέρχεται πρὸς τὸν χαλκέα, πάλιν δυσωπῶν αὐτὸν καὶ ὑπισχνούμενος αὐτῷ καὶ λέγων ὅτι "Ὃ ἂν ζητήσῃς με, πρὸς τὸ δυνατὸν ἄφες δώσω σοι· μόνον ἰάτρευσόν με". ὁ δὲ ἐμμανὴς γενόμενος, ὀξύς τε φύσει περὶ ὀργὴν τυγχάνων (ἦν γὰρ τοῦ Κιλίκων ἔθνους), λέγει αὐτῷ· "Ἄπελθε ἀπ' ἐμοῦ· οὐκ οἶδα τί σοι ποιήσω· ἐκ νηπίας γὰρ ἡλικίας εἰς τὴν τέχνην ταύτην τὴν δυστυχῆ τῶν χαλκέων ἐξεδόθην καὶ ἐν αὐτῇ πυκτεύω· ἀναχώρησον ἀπ' ἐμοῦ· μηκέτι ἔλθῃς τὰ ὧδε". ὁ δὲ ἐντραπεὶς ὑποστρέφει πάλιν κατηφὴς καὶ εἰς τὸν προδηλωθέντα ναόν, ἔνθα καὶ πρώην, τῷ ἁγίῳ παρέμεινεν τὰ αὐτὰ αἰτῶν, ἃ τῇ προτέρᾳ ἐδεῖτο ἐκδυσωπῶν τὸν ἅγιον. λέγει αὐτῷ καθ' ὕπνους τὸ τρίτον ὁ ἅγιος· "Οὐκ εἶπόν σοι ἄπελθε εἰς τὸν χαλκέα κἀκεῖνός σε ἰατρεύει"; ὁ δὲ ἐδόκει λέγειν τῷ ἁγίῳ τὰ περὶ τοῦ χαλκέως, ἅπερ ἤκουσεν ἐξ αὐτοῦ. λέγει αὐτῷ ὁ ἅγιος· "Ἄπελθε, ἐκεῖνός σε ἰατρεύει". πάλιν ἀπέρχεται· κατὰ τύχην δὲ ὁ χαλκεὺς ἐν λύπῃ ἦν, ἀστοχήσαντος αὐτῷ ἔργου κατὰ τὴν ὥραν ἐκείνην· ἡ δὲ κάμινος ἐξῆπτεν, αἱ μηχαναὶ εἰργάζοντο εὐτόνως, ὁ χαλκεὺς ἀνέμενεν, πότε ἐκπυρωθῇ τὸ σίδηρον τοῦ ἔργου αὐτοῦ, ἵστατό τε

3 παραμίναντοσ C || κατανοίξει C 5 δομνήνου C 6 ἤρξατο *: ἤρξα C || ϊατρεύσει C 7 ἐπωμότως *: ἐφομῶτοσ C || ἀπελογείτω C || τηνοίανδήποται C 11 δὶς * δεισ C 17 κιλήκων C 18 δυστυχῆ *: δυχῆ C 19 ποικτέυω. ἀναχώρισον ἀπεμοῦ C || ταῶδε C 21 κατηφεῖσ C 22/23 τηπρωτέρα ἐδεῖτω C 27 κατατυχειν C 29 κάμηνοσ C || μϊχαναὶ ἡργάζον C

κατέχων τὴν σφύραν καὶ ταύτην ἐν τῷ κορμῷ τοῦ ἄκμονος ἀναπαύσας· καὶ θεωρήσας τὸν νοσοῦντα, ὑπερζέσας τῷ θυμῷ λέγει αὐτῷ· "Πάλιν ἦλθες ὧδε"; καὶ τοσοῦτον ἐκινήθη, ὥστε καὶ ῥινοκτυπῆσαι αὐτὸν καὶ εἰπεῖν· "Τὸν φόνον σου ἔχω ἀπαιτηθῆναι". ὁ δὲ νοσῶν λέγει αὐτῷ μετὰ ἤθους· "Μὴ κρύψῃς, κῦρι, τὴν χάριν τὴν δοθεῖσάν σοι τῆς ἰατρείας ταύτης". ὁ δὲ λέγει αὐτῷ ἀποτόμως· "Θὲς τὴν κήλην σου εἰς ἄκμονα". ἐποίησεν δὲ οὕτως ὁ πάσχων καὶ ἔλεγεν· "Κἀγὼ γὰρ ἀπαλλαγῆναι θέλω τοῦ ζῆν· τί γὰρ ὄφελος ζῆν ἐν ὀδύναις"; λέγει ὁ χαλκεύς· "Τί οὖν πρὸς δήμιον ἦλθες"; καὶ συγκεχυμένος τῷ θυμῷ ἀνύψωσεν τὴν σφύραν ταῖς δυσὶν αὐτοῦ χερσὶν καὶ ὥρμησεν ἀπὸ ἰσχύος γενναίαν αὐτῷ κατασπάσαι· ὁ δὲ νοσῶν ὥσπερ ἐνάρκησεν καὶ συνεστάλη, ὥστε αὐτὸν ἐξ αὐτῶν τῶν ἄκρων τῶν ὀνύχων τὴν ἑαυτοῦ πνοὴν μετ' ἤχου τινὸς καὶ συριγμοῦ ῥοφηδὸν ἀνασπάσαι. παραχρῆμα δὲ ἀφανὴς ἐγένετο πᾶσα ἡ τοιαύτη τῶν διδύμων αὐτοῦ φλεγμονή, καὶ ἦν ἑστώς, ὡς μηδέν ποτε κακὸν ἐσχηκώς· ὥστε θεωρήσαντα τὸν χαλκέα, θάμβους πληρωθέντα ῥῖψαι τὴν σφύραν ἣν ἐβάσταζεν εἰς τὸ ἔδαφος καὶ παρευθὺ μετ' αὐτοῦ τοῦ ποτὲ νοσοῦντος ἀπελθεῖν εἰς τὸν πανάγιον ναόν, ἔνθα ὁ πάνσοφος οὗτος ἰατρὸς κατάκειται, καὶ τὴν ὀφειλομένην εὐχαριστίαν ἀποδοῦναι τῷ θεῷ καὶ τῷ ἁγίῳ αὐτοῦ μεγαλομάρτυρι. τί φῂς πρὸς ταῦτα, ὦ πάνυ Ἱππόκρατες; παρεῖδε γάρ σου τὸ θεῖον ἰατρεῖον καὶ τὰ ἐπιλόγια, ἐπεὶ μήτε ὥρην, μήτε χώρην, μήτε ἡλικίην ἐκανόνισεν· οὔτε γὰρ ἐντεῦθεν ὁ τὴν τρίτην εἰκάδα τῶν ἐτῶν ἐκπληρώσας ἀνιάτρευτος ἔμεινεν. πᾶς γὰρ ὅστις ἂν ᾖ σου φοιτητής, ἐπειδὰν μέλλῃ τέμνειν τὰ τοιαῦτα τῶν διδύμων οἰδήματα, ἀπογνοὺς μᾶλλον ἢ ἐλπίζων θεραπεύειν λαμβάνει τὸ ξίφος ἐκ χειρὸς τοῦ νοσοῦντος. εἰ μὲν οὖν ὁ θεὸς ἐπισκέψοιτο τὸν ἀσθενοῦντα πρὸς ὑγείαν, ἑαυτῷ τὴν

1 ἀκ'μόνοσ C 3 ἐκεινήθη C || ῥηνοκτυπήσαι C 3/4 καὶ ῥινοκτυπῆσαι αὐτὸν om D 5 κρύψεισ κυριτὴν C 6 δοθήσαν C 10 συγκεχυμένωσ C 11 ἀποϊσχύοσ, γεννέαναυτω κατὰ σπάσσαι C 12 συνεστάλει C 13 τονόνυχων C 14 μετ'ήχουσ C || ῥωφηδῶν C 15 ἀφανεῖσ C 21 μάρτυρι D 21/22 πανυϊπὸκρατεσ C παν—Ἱππόκρατες D 22 πάριδε C || ϊατρίον C 23 ἐπειμήτεῶρην, μητεχωρην, μήτεηλϊκῖην ἐκανῶνησεν C || μήτε usque ad χώρην om D 24 τῶν ἐτῶν om D || ανϊατρέυτοσ C 25 ἀνεισουφυτητῆσ C || μέλλοι C 26 ὑδήματα C || ᾗ] ἡ C 27 ξήφοσ C 28 προσύγίαν C



καύχησιν περιτίθησιν· εἰ δὲ τῇ τομῇ θάνατος ἐπιδράμοι, βραχὺς ψαλμὸς ἐπικήδειος ἀπαλλάττει τὸν πάσχοντα τῆς ὑμῶν τὸ δοκεῖν ἐπιστήμης. ποῦ ἠκούσατε ἀπ' αἰῶνος, ὅτι σφύραν ὕψωσεν χαλκεὺς καὶ ὁ τοὺς διδύμους νοσῶν τοῦ πάθους ἀπηλλάγη; ἀλλ' ἡ σφύρα πάντων τῶν παθῶν, οὗ τὰ σύμπαντα δοῦλα καθέστηκεν, Χριστὸς ὁ θεὸς ἡμῶν, διὰ τοῦ θεράποντος αὐτοῦ καὶ ἁγίου μάρτυρος Ἀρτεμίου ταῦτα οὕτως ἐνδόξως ἐθαυματούργησεν.

⟨*Θαῦμα*⟩ κζ̅. Θεότεχνός τις, ναυπηγὸς τὴν τέχνην, ὡς ἐτῶν πεντήκοντα, ἀπὸ εἰκοστοῦ καὶ πέμπτου χρόνου τῆς αὐτοῦ ἡλικίας νοσῶν τοὺς διδύμους καὶ ἔχων αὐτοὺς ἐξωγκωμένους, προσεκαρτέρησεν ἐφ' ἱκανὸν χρόνον τῷ ἁγίῳ μάρτυρι Ἀρτεμίῳ ἐν τῷ αὐτοῦ ναῷ, ὥστε μηδ' ἐξεῖναι αὐτὸν τῶν ἐκεῖσε· καὶ ἐν τῷ μέσῳ τοῦ χρόνου τῆς αὐτοῦ προσεδρίας πλεῖστα ξυλουργικὰ ἔργα περί τε τὰ κάγκελλα τῆς τιμίας σοροῦ τοῦ ἁγίου Ἀρτεμίου καὶ ἄλλα τινὰ ἐξετέλεσεν εἰς τὴν ἁγίαν ἐκκλησίαν ἐπιμελῶς. κατέλαβεν δὲ καὶ καιρὸς τοῦ ἀποπλεῦσαι αὐτόν, καὶ δὴ ἐξέπλευσεν ἐν τῷ κατ' αὐτὸν πλοίῳ εἰς Γαλλίας. καὶ ἐν τῷ πελάγει πλεόντων αὐτῶν, ὡς ἀπό τινος διαστήματος ὀλίγου τοῦ Γαλλίων κλίματος, φαίνεται αὐτῷ ἐν ὁράματι τῆς νυκτὸς ὁ ἅγιος Ἀρτέμιος ἐν εἴδει τοῦ ναυκλήρου αὐτοῦ φορῶν χλαμύδα, καὶ ἠλλοιοῦτο θεωρῶν αὐτὸν χλαινηφόρον. ἦν δὲ πρὸ ὀλίγου τὸ πλοῖον, ἐν ᾧ ἔπλεεν, ὑπομεῖναν τι κατὰ τὴν τρόπιν, καὶ ἔτυχεν κατελθεῖν αὐτὸν τὸν νοσοῦντα κολύμβῳ καὶ ποιῆσαι ὅπερ ἔχρῃζεν τὸ πλοῖον. λέγει οὖν αὐτῷ ὁ ἐν τῷ αὐτῷ ὁράματι ὡς ἐν εἴδει τοῦ ναυκλήρου, ὁ ἅγιος· "Εὐχαριστῶ σοι, ἀδελφέ, εἰς τὸ ἔργον ὃ ἐποίησας, καὶ καλῶς ἐποίησας· ἀλλ' ἐπειδὴ χρεωστῶ σοι, λάβε ταῦτα". καὶ ἐπιτίθησιν ἐπὶ τὴν κοιλίαν αὐτοῦ τρία νομίσματα, εἰπὼν αὐτῷ· "Ταῦτα ἔχεις ἕνεκεν σιταρχίας, καὶ εἰ λειφθῇς, ἀμέριμνος ἔσο". καὶ ἅμα τοῦ ταῦ-

2 ἐπικήδιοσ, ἀπαλάττει C || τὸ *: τῶ C 4 ἀλλησφύρα C 8 ὡς ἐτῶν πεντήκοντα om D 10 ἐξόγκ'ωμένουσ πρὸσέκαρτέρησεν C 11 ἐφεικανὸν C 13 ξυλουρ'γηκᾶ C 17 γαλλίουσ C Γαλιλαίαν D 18 διάστιματοσ C || κλήματοσ C || τοῦ Γαλλίων κλίματος] ли алиматы D 19 ἐνεῖδει C 20 χλαμύδα usque ad εὑρίσκει τὸ μηδὲ σαλευθῆναι (pag 41,7) om D || θεορῶν C 21 χληνϊφόρον C || ὑπομῖναντι C 22 τρόπιν *: τροπὴν C 23 ποιῆσαν (in marg. corr. a pr. m. σαι) || ἔχριζεν C 24 ἐνείδει C 26 ἀλλέπειδεῖ χρέωσ τῶσοι C 27 κοιλεῖαν C 28 λειφθεῖσ C || ἔσω C

τα λαληθῆναι διυπνίσθη, καὶ ὡς ψηλαφᾷ τὴν κοιλίαν αὐτοῦ δοκῶν τὰ τρία εὑρεῖν νομίσματα, προσέψαυσεν τῷ μέρει τῶν διδύμων αὐτοῦ καὶ ᾔσθετο, ὅτι ὄγκωσις οὐκ ἦν ἐν αὐτοῖς. περιχαρὴς δὲ γεγονὼς κουφίζει ἃ ἐνεδέδυτο ἱμάτια καὶ πάλιν τῇ χειρὶ ἅπτεται τῶν διδύμων αὐτοῦ, ὡς ἀπιστῶν ἀπὸ τῆς πολλῆς χαρᾶς, καὶ εὑρίσκει αὐτὰ ἀσινῆ ὄντα, ὡς μηδέποτε αὐτοῦ ἐν αὐτοῖς ἀσθενήσαντος, καὶ πᾶσιν τοῖς ἐν τῷ πλοίῳ ἐκήρυττεν τὴν δόξαν τοῦ θεοῦ καὶ τοῦ ἁγίου τὴν χάριν· καὶ πρόθυμοι ἐγένοντο καὶ ἔλεγον· "Ἐπὰν ὁ ἅγιος ἠξίωσεν εἰσελθεῖν εἰς τὸ πλοῖον ἡμῶν, ἀρκεῖ ἡμῖν εἰς εὐτυχίαν καὶ εὐπραγίαν καὶ εὐπλοΐαν". καὶ ὤμνυτο ὁ ἰαθείς, ὅτι "Ἀγαθὰ ἡμῖν συνήντησαν εἰς πάντα, ἐξ ἧς ἡμέρας γέγονεν τὸ θαῦμα". ποῖος νοῦς εὐπορήσει πρὸς τὴν κατ' ἀξίαν εὐχαριστίαν; κατ' ἄμφω γὰρ ὁ ἀοίδιμος μάρτυς τοὺς μισθοὺς ἀπέδωκεν τῷ ἀνθρώπῳ, ὑπὲρ μὲν τῆς προσεδρίας τὴν ἴασιν, ὑπὲρ ὧν δὲ εἰργάσατο ξυλικῶν ἔργων ἐν τῷ ἁγίῳ αὐτοῦ οἴκῳ τὴν εὐπλοΐαν καὶ τὴν τῆς πραγματείας εὐκερδίαν. καὶ οὐδεὶς ἐσκύλη τῶν χειρουργῶν εἰς τὸν πάσχοντα, οὐχ ὑπηρέτης, ὅν φασιν ὑπουργόν, οὐ κατεσχημάτισεν, οὐ κατεδέσμευσεν τὸν νοσοῦντα· οὐχ ἁπλοτομία, οὐ διπλοτομία ἐπ' αὐτῷ ἐχρηματίσεν· οὐκ ἔναιμος γέγονεν ἡ θεραπεία, ἀλλ' εὐθέως ἔλαχεν ἡ ὑγεία· ἀπὸ γὰρ μόνης ἐπιστασίας τοῦ ἁγίου τὸ πάθος ἔφυγεν τοῦ ἀσθενοῦντος.

⟨*Θαῦμα*⟩ κη. Παιδίον ἔπεσεν ἀπὸ κλίνης καὶ διεσπάσθη τὰ ἐντὸς αὐτοῦ, καὶ γεγόνασιν οἱ δίδυμοι αὐτοῦ ὑπὲρ τὴν γαστέρα αὐτοῦ· ἡ δὲ τούτου μήτηρ προσκαρτερήσασα μετὰ τοῦ υἱοῦ αὐτῆς τῷ ναῷ τοῦ ἁγίου ἱκεσίαις τε σὺν δάκρυσιν ἐκέχρητο, κἀντεῦθεν καταβρέχουσα τοὔδαφος· καὶ ἐπὶ πολὺ τοῦτο ποιούσης αὐτῆς, φαίνεται αὐτῇ ὁ ἅγιος καὶ λέγει αὐτῇ καθ' ὕπνους· "Τί ἔχεις; τί τοσαῦτα κλαίεις"; ἡ δὲ ἀπαγγέλλει αὐτῷ τὴν νόσον τοῦ παιδὸς καὶ τὴν αἰτίαν, πόθεν αὐτῷ συνέβη. ὁ δὲ ἐκτείνας τὴν χεῖρα ἐκράτησεν τὸ παιδίον τοῦ ποδὸς τοῦ δεξιοῦ καὶ ἐκρέμασεν

1 κοιλείαν C 3 ὄγκωσησοὐκεῖνεν C || περὶ χαρεῖσ C 4 κουφήζειά, ἐνεδεδοιτοϊμάτια C || ἅπταιταις C 5 ἀσηνῆ C 6/7 ἀσθενήσαντος *: ἀσθενήτοσ C 10 εὐπλοίαν C 12 εὐπορήσει *: εὐπρορισει C 13 ἀοίδημοσ C 15 ἠργάσατο C 16 εὐπλοῖαν C || εὐκερδιαν C 17 πάσχον, οὐκ' ὑπερέτησεν ὂν, φασὶν ὑπουργῶν C 18 κατεσχημάτησεν C 19 ὀυκαπλοτομία C || ἐχριμάτησεν. οὐκέναιμοσ C 20 ὑγία C 29 συνέβει C 30 τὸν παιδίον C



αὐτὸ ἐπὶ κεφαλήν. ἡ δὲ ἑωρακυῖα καὶ τὰ σπλάγχνα ὡς μήτηρ συσχεθεῖσα ἔκραξεν· "Οὐαί μοι, ἀποκτέννεις τὸ παιδίον μου". ὁ δὲ ἅγιος ἐτίναξεν αὐτὸ ἠρέμα, ἡ δὲ γυνὴ πλεῖον ἀνέκραξεν· "Τί ποιεῖς; φονεύεις τὸ τέκνον μου ἐπὶ ἐμοῦ, ὦ ἄνθρωπε. τί ποιεῖς"; καὶ λέγει αὐτῇ· "Οὐ θέλεις ἵνα ἰατρεύσω αὐτό"; καὶ ἅμα τῷ εἰπεῖν τοῦτο τίθησι τὸ παιδίον ἐν τῇ κοίτῃ αὐτοῦ. ἡ δὲ διυπνισθεῖσα, ἐναγώνιος οὖσα, εὑρίσκει τὸ μηδὲ σαλευθῆναι δυνάμενον παιδίον αὐτῆς καθήμενον ἐν τῇ στρωμνῇ σιωπηρῶς· καὶ ἐπελάβετο αὐτοῦ, ὡς βουλομένη ἐπὶ τὰς ἀγκάλας αὐτῆς τοῦτο ἀναπαῦσαι· τὸ δὲ ἔπηξεν τὰ πέλματα τῶν ποδῶν αὐτοῦ καὶ ἔστη ὀρθὸν καὶ προσεπλάκη αὐτῇ, περιλαβὸν τὸν τράχηλον αὐτῆς. καὶ ὡς ἀσπάζεται αὐτὸ ἡ μήτηρ φιλήματι τῷ στόματι αὐτῆς, ῥίπτει τὰς χεῖρας κατὰ τῶν μηρῶν τοῦ παιδίου καὶ εὑρίσκει αὐτὸ ὅλον ὑγιές, ὥστε νομίζειν αὐτὴν ὅτι χωρὶς διδύμων ἐτύγχανεν. εἰς ἑαυτὴν δὲ ἐλθοῦσα ἔγνω τοῦ θαύματος τὸ μυστήριον καὶ ἐδόξαζεν τὸν θεόν, τὸν διὰ τοῦ ἁγίου μάρτυρος θαυματουργοῦντα παράδοξα. καὶ μὴν τοῦτο τὸ εἶδος οἱ κηλογράφοι χειρουργοὶ ἐντεροκήλην ὀνομάζειν εἰώθασιν· ὅπερ καὶ πλεῖον τῶν ἑτέρων διδυμικῶν νοσημάτων. πέντε καὶ δέκα γὰρ καὶ πρὸς τυγχανόντων, φρίττουσιν οἱ περὶ τὰς χειρουργίας ἐπιτηροῦντες καιροὺς ἀθαλπεῖς καὶ ἀκρύους. ἀλλ' οὐδὲν τούτων τῶν παρατηρήσεων τῇ θαυματουργίᾳ τῆς ἰάσεως ἐνεπόδισεν, οὐδὲ λοξῆς γέγονεν διαιρέσεως χρεία. καὶ τὸ μὲν θαῦμα κηρυττέσθω, ἐγκαλείτωσαν δὲ ἡμῖν ἂν τἀληθὲς οἱ περὶ τὰς κηλοτομίας μεγαλόφρονες, τί δήποτε ὁ παῖς ὥσπερ τις εὐνοῦχος γέγονεν· μὴ ἄρα καὶ εἰς κρυψόρχεως αὐτὸν μετελθόντα διαβάλλουσιν; πάντως, ἀλλ' ἡμεῖς χαίρειν φράσαντες ταῖς ἐκείνων τερθρείαις δοξάζομεν τὸν πανάγαθον θεόν, τὸν ποιοῦντα παράδοξα διὰ τοῦ ἁγίου μάρτυρος.

⟨*Θαῦμα*⟩ κθ. Ἄλλος ἀνήρ, τὴν τέχνην τοξοποιός, ὑπάρχων ὡς ἐτῶν ἑβδομήκοντα, καταβαρὴς γέγονεν, τοῦ ἑνὸς διδύμου αὐ-

1 αὐτῶ ἐπικεφαλὴν C 2 ἀποκτένεισ C 3 ἐτείναξεν ἀυτῶ C 5 αὐτῶ C 6 διύπνησθεῖσα C 10 ἔπηξεν C утверди D 13 υγιὴ C 14 χωρῆσ C 15 μυστήριων C 18 ὀνομάζειν] ὧν, ὀνομάζειν C || πλείω τ. ἐ. διϊδυμηκῶν C 19 προστυγχανόντων C сущимъ D 21 παρατηρίσεων, τηθαυματουρ'γίτῆσ C 22 ἐνεπόδησεν C 23 ἀνταλλϊθὲσ C 25 κρυψόρχεως αὐτὸν C ему пришьдъшю D μετελθόντα *: μελθόντα C 26 παντῶσ C || φρασσαντεσ C 30 κατόβαρῆσ C

τοῦ ὀγκωθέντος καὶ ἀλγοῦντος. παραμείνας οὖν ἐπὶ ἡμέρας τῷ ἁγίῳ ἐν τῷ πολλάκις δηλωθέντι σεπτῷ ναῷ τοῦ Προδρόμου, καὶ οὔσης παννυχίδος, ὀδυνώμενος ἔθηκεν ἑαυτὸν ἐν ἑνὶ τῶν σκάμνων τῶν ἐν τῷ μέσῳ οἴκῳ καὶ ἀκροώμενος τῆς παννυχίδος ἀπεκοιμήθη. μετὰ δὲ τὸ ἐξελθεῖν τὴν λιτὴν καὶ φθάσαι ὡς ἐπὶ τὸν οἶκον τῆς ἁγίας Ἀναστασίας, ἐν τοῖς Δομνίνου ἐμβόλοις, ὁρᾷ τινα χλαινηφόρον (ὡς εἶπεν ἐκεῖνος αὐτός) φοροῦντα ὡς οἱ ἰλλούστριοι καὶ βάλλοντα τὴν χεῖρα αὐτοῦ τὴν δεξιὰν κατ' αὐτοῦ τοῦ τόπου τοῦ διδύμου, οὗ ἠσθένει, καὶ τῷ δακτύλῳ αὐτοῦ ἁψάμενον τοῦ ἀλγοῦντος διδύμου τῆς κάτωθεν ἀρχῆς, καὶ ὠθήσαντα αὐτῷ τὸν ὄρχιν ἐπὶ τὰ ἐντὸς αὐτοῦ ἄνω γενναίως, ὥστε ἐκ τοῦ πόνου καὶ ἐκ τοῦ φόβου διυπνισθέντα κράξαι· "Οὐαί μοι, ἀπέθανα". τῇ οὖν κραυγῇ αὐτοῦ ἔδραμον οἱ ἐκεῖσε ἐπὶ τῷ ἰαθῆναι προσεδρεύοντες καὶ ἠρώτων αὐτόν· "Τί ἔχεις, ἀδελφέ"; ὁ δὲ λέγει αὐτοῖς· "Οὐαί μου, κύριοι· οὐκ οἶδα, τί εἴπω". καὶ σὺν τῷ λόγῳ σηκοῖ τὰ ἱμάτια αὐτοῦ καὶ ἤρξατο ψηλαφᾶν τὸν δίδυμον αὐτοῦ καὶ εὑρίσκει αὐτὸν ὑγιῆ. καὶ διηγήσατο ὃ γέγονεν αὐτῷ ἐν τῇ ὀπτασίᾳ, καὶ πάντες γνόντες τὴν τοῦ ἁγίου ἰατήριον ἐνέργειαν ἐδόξαζον τὸν θεόν. ποῦ τοίνυν αἱ τομαὶ καὶ αἱ ψευδοτομίαι καὶ ὁ τῶν βελονῶν ὁρμαθὸς καὶ τὰ πυοποιὰ τῶν διδυμοτόμων παρατηρήματα; οὐδὲν τοιοῦτον ἔστιν εὑρεῖν ἐν τοῖς ἁγίοις τοῦ θεοῦ· ὀρθὴ γὰρ πίστις καὶ ἀδιάσπαστος μετὰ δεήσεως ἐκτενοῦς τούτων πάντων ὑπερβαίνει τὴν πεῖραν.

⟨*Θαῦμα*⟩ λ̄. Ἕτερος ἀνὴρ τὴν τέχνην βυρσεύς, ὀνόματι Ζωντός, ὡς ἐτῶν πεντήκοντα πέντε, τρεχων, ἐπιτάσεως αὐτῷ ἐλθούσης, σπασμὸν ὑπέμεινεν ἐν τοῖς ἐντὸς αὐτοῦ καὶ ὠγκώθησαν οἱ δίδυμοι αὐτοῦ. τούτῳ ἀλγοῦντι ἐσχάτως ὑποβάλλουσίν τινες λέγοντες αὐτῷ· " Ἄπελθε εἰς τὸν ἅγιον Ἀρτέμιον, εἰς τὴν Ὀξεῖαν·

1 παραμίνασ C  2 πολλακεισ C  3 πανυχῖδος C || ἑαυτὼν ἐνενὶ C  6 δομνήνου C || ὁρατιναχληνιφόρον C  7 οἱ ἰλλούστριοι om D  8 βάλοντα C  10 κάτοθεν C || ὠθίσαντα C || τὸν τονόρχην C пальца D  12 οὖν om D  13 ἔδραμων C  15 τϊεῖπω C || σικοὶ C  17 δῆήγήσατο C  18 γνῶντες C || ἐνέργιαν C  19 βελόνων C  20 ταποιοποιᾶ τῶν διδύμο τόμον C  22 πίστησ C  23 ὑπερβένει C  25 τρέχ. επιτασέωσ C той тако по повѣленію D  26/27 ὀγκωθὴσ ἀνόιδηδυμοι C  26 καὶ ὠγκώθησαν usque ad ἔχοντι (p. 43,5) om D  27 ἀλγουτιάισχάτωσ C



μεγάλη γάρ ἐστιν ἡ χάρις αὐτοῦ". ὁ δὲ ἀπέρχεται βασταγμῷ ἐν τῷ λεχθέντι ναῷ καὶ παραμένει τοῖς πόνοις συγκοπτόμενος. κατὰ τύχην δὲ τέσσαρες ἄλλοι πάσχοντες τοὺς διδύμους αὐτῶν ἔκειντο πλησίον αὐτοῦ, ἐξ ὧν εἷς τῶν τεσσάρων εἶχεν ὄνομα Θεόδωρος. φαίνεται οὖν ὁ ἅγιος τῷ ἔχοντι τὴν ἐκ τοῦ σπασμοῦ νόσον, κοιμωμένῳ ἐν νυκτί, κατέχων ῥογία σεμνά, ἃ καλεῖται ἀνακλαστάρια, καὶ ἔλαιον εἰς ἄγγος ἄλλο διαυγέστατον, ὀμφάκιον· καὶ ἔγεμεν τέσσαρα. καὶ τὸ ἓν ἐπιδοὺς αὐτῷ λέγει· "Πίε αὐτό". καὶ ἔπιεν αὐτὸ καθ' ὕπνους. ἐπέδωκεν δὲ αὐτῷ καὶ τὰ λοιπὰ τρία καὶ εἶπεν αὐτῷ· "Δὸς αὐτὰ τοῖς τρισίν, τοῖς πλησίον σου, ὅπως πίωσιν αὐτά", εἰπὼν αὐτῷ καὶ τὰ ὀνόματα, τὸ τίνι καὶ τίνι ὤφειλεν δοῦναι τὰ ῥογία τοῦ ἐλαίου. κατὰ οὖν τὸν ἀριθμὸν καὶ τὴν τῶν ὀνομάτων κλῆσιν ἑώρα ὁ πάσχων, ὅτι Θεοδώρῳ οὐκ ἔδωκεν, καὶ λέγει τῷ ἁγίῳ· "Δός, δέσποτα, καὶ Θεοδώρῳ". λέγει αὐτῷ· " Ἄφες αὐτόν· Θεόδωρος ὧδε ἔχει εἶναι". ἦν δὲ ἐκεῖνος ὁ Θεόδωρος εἷς τῶν τεσσάρων, προφάσει τῆς τοιαύτης νόσου αὐτοῦ καρτερῶν ἐν τῷ αὐτῷ ναῷ. ὁ οὖν νοσῶν ἐν αὐτῷ τῷ ὕπνῳ ἐπέδωκεν τοῖς τρισίν, καὶ ἅμα τοῦ δοῦναι ἔπιον αὐτὰ καὶ διυπνίσθη. ἐπεῖγεν δὲ αὐτὸν ἡ φύσις στῆναι πρὸς ὕδωρ καὶ ἐγείρεται ἀνεμποδίστως, ὡς ἐπιλαθόμενος ὅτι ἐνόσησέν ποτε. οἱ οὖν πλησίον αὐτοῦ ὄντες ἐθαύμαζον. ὑποστρέφει ὁ ἄνθρωπος, καὶ ὡς ὁρμᾷ ἀναπεσεῖν ἐν τῇ κοίτῃ αὐτοῦ, περιεβλέπετο ἕκαστον· οἱ δὲ λέγουσιν αὐτῷ· "Τί ἔχεις, ἀδελφέ"; λέγει αὐτοῖς· "Τίποτε ἔγνωτε εἰς ἑαυτοὺς τῇ νυκτὶ ταύτῃ"; λέγουσιν αὐτῷ· "Οὐχί". καὶ ὡς διηγεῖται ἃ πέπονθεν περὶ τῶν ῥογίων καὶ ἐξωνόμαζεν ἕκαστον αὐτῶν, ὧντινων πρὸ τοῦ ὁράματος οὐκ ᾔδει τὰ ὀνόματα, ἐξεθαμβήθησαν· καὶ ἤρξατο ἕκαστος ἀνακείμενος ἐν τῇ κοίτῃ αὐτοῦ ἐρευνᾶν τοὺς διδύμους αὐτοῦ, καὶ ηὗρεν ἕκαστος ἑαυτὸν ὑγιῆ ὄντα καὶ τὰ τῶν θαυμάτων παράδοξα ἐκήρυττον. ἐπιφαυσάσης δὲ τῆς ἡμέρας, ἀπῆλθον εἰς τὰ ἴδια εὐχαριστοῦντες τῷ θεῷ. ὁ οὖν Θεόδωρος,

2 συγκοπτώμενοσ C  5 ἔχωντι C || νόσιν C  6 ρωγία C || ἀνακλαστάρια om D  7 ἔλλιον εἰσάγγοσ C || ἄλλο om D || διαυγὲσ D || ὀμφάκιον om D || ἐγέμη C  8 αὐτό] ἀυτῶ C  9 αὐτὸ] ἀυτῶ C  12 ρώγιά C  13 λέγετω C  18 ἔπειον C || ἐπήγεν C  19 δὲ αὐτὸν om D  23 ἔγνωται C  24 διήγῆται C  25 ρωγίων C || ἐξ' ὀνόμαζεν C  26 εἶδει C видяаше D  29 ἐκηρύττων C

ᾧτινι οὐκ ἐδόθη τὸ ῥογὶν τοῦ ἐλαίου, ἀλλ' ἐρρέθη ὅτι ὧδε ἔχει εἶναι, διηπόρει καὶ ἐνενόητο, ὅτι χρονοτριβῆσαι ἔχει ἐν τῇ σορῷ αὐτοῦ, καὶ ἐθλίβετο. ὁ οὖν ἅγιος φαίνεται αὐτῷ ἐν μιᾷ νυκτὶ ἐπιδοὺς αὐτῷ φακὸν ἐλαίου ὀμφάκινον καὶ ἄρτους καθαρούς, καὶ λέγει αὐτῷ· "Ἔχε αὐτά, καὶ ἐὰν χρήσῃ αὐτοῖς καλῶς, οὐ μὴ λειφθῇς ἔν τινι". καὶ ἅμα ταῦτα ἐρρέθη αὐτῷ, διυπνίσθη καὶ ὁρᾷ ἑαυτὸν ὑγιῆ, καὶ ἔχαιρεν ἐπὶ τῇ δόσει τοῦ ἐλαίου καὶ τῶν ἄρτων. καὶ ἐπιλογίζεται καθ' ἑαυτὸν φάσκων· "Τινὰ οὐκ ἔχω, οὐδὲ ποῦ ἀπελθεῖν οἶδα· ὧδέ εἰμι καὶ ὧδε ἀποθνήσκω". κατὰ τύχην δὲ τῷ τότε χρόνῳ δέκα προσμοναρίων ὄντων, πάντες ἦσαν τελευτήσαντες, καὶ ἦν ἡ ἐκκλησία τοῦ Προδρόμου χωρὶς προσμοναρίου, καὶ γίνεται προσμονάριος· ὅστις καὶ μέχρι τοῦ νῦν περίεστιν δουλεύων, ἀνελλιπὴς ὢν καὶ εὐχαριστῶν τῷ θεῷ καὶ τοῖς αὐτοῦ ἁγίοις. τίς ἰατρὸς ἐν κόσμῳ κήλας ἐλαίῳ, καὶ τούτῳ διὰ στόματος ληφθέντι, ἐθεράπευσεν; ἀλλ' ὁ ἐλεήμων θεός, ὁ ἀγαπήσας τὸ γένος τῶν ἀνθρώπων, ταύτης τῆς ἐλεημοσύνης διὰ τοῦ πιστοτάτου αὐτοῦ μάρτυρος τοὺς χρήζοντας καὶ πιστῶς αὐτὸν δυσωποῦντας ἠξίωσεν. δῶμεν γὰρ λέγειν, ὅτι οὐχ ὡς ἐν ὁράματι, ἀλλ' ἔλαιον ἦν οὐ νοητὸν τῆς ἰάσεως τὸ ἐπιδοθέν, ἀλλὰ τὸ φύσει καὶ τῆς ἀληθείας ἔλαιον, εἰ καὶ οἱ ἰαθέντες οὐκ εἶδον τὸ ὅραμα, ἀλλ' ἕτερος ἐπιστεύθη ὑπουργῆσαι τῷ θαύματι.

⟨*Θαῦμα*⟩ λα. Τὶς γυνὴ τῶν ἐνδόξων τοῦ παλατίου ὀνόματι Σεργία, ἔχουσα υἱὸν ὀδυνώμενον τοὺς διδύμους αὐτοῦ, προσεπέλασεν ἐν τῷ αὐτῷ ναῷ τῷ ἁγίῳ μάρτυρι τοῦ Χριστοῦ, οἰκήσασα ἐν τῷ κελλίῳ τῷ δεξιὰ τοῦ κατηχουμενείου σὺν τῷ τέκνῳ· χρόνον τε παραμείνασα ἱκανὸν καὶ τοῦ υἱοῦ αὐτῆς ἐν τῇ ταυτότητι μείναντος, αἰτήσασα τοὺς αὐτόθι κληρικοὺς ἔλαβεν τὴν εἰκόνα τοῦ ἁγίου καὶ ἐπορεύθη μετὰ τοῦ τέκνου εἰς τὸν οἶκον

1 ρωγὶν C || ἐρέθη C ἐρρέθη αὐτῷ D 2 δι'είπόρει C 3 ὁ οὖν ἅγιος om D || καὶ φαίνεται D 4 ὀμφάκηνον C || καθαρούς] четыри=τέσσαρας D 6 λειφθεῖσ C 7 ὡρᾶ C 8 τίνα C 10 τῷ δεκάτῳ χρόνῳ προσμοναρίων D || προσμονάριων C 11 χ$\overset{ω}{ρ}$ρεῖσ C 13 ἀνελλειπῆ σῶν C 15 λειφθέντι C 16 ταυτῆσ C 17 πιστωτατάτου C || χρῖζοντασ C 19 ἔλλιον C 20 οὐκῖδον C 23 ὀδυνομένον C 24 αὐτῷ om D || τοῦ ἁγίου μάρτυρος D 25 κατηχουμενῖου C 26 εἰκανὸν C || τοῦ υἱοῦ usque ad μείναντος om D 27 μῖναντοσ C



αὐτῆς· καὶ τῇ αὐτῇ νυκτὶ φαίνεται αὐτῇ ὁ ἅγιος ἐν σχήματι φίλου αὐτῆς γνησίου, καὶ αὐτοῦ ἐκ τῶν μεγιστάνων ὄντος, καὶ λέγει αὐτῇ· "Κατεστύγνασας, ὅτι οὐκ ἦλθον εἰς ἐπίσκεψιν ὑμῶν, ὅσον καιρὸν διήγαγες ἐν τῇ ἐκκλησίᾳ. ἐπειδὴ οὖν ὁ βασιλεὺς ἀπέστειλέν με μακρὰν τῆς πόλεως διὰ κεφάλαιον καὶ διέστρεψα, ἦλθον νῦν ἰδεῖν ὑμᾶς· τί δὲ ἔχει τὸ τέκνον σου"; αὐτὴ γοῦν ἐν αὐτῷ τῷ ὕπνῳ διηγεῖται ὅπερ ἔπασχεν· ὁ δὲ λέγει αὐτῇ· "Ἄφες ἴδω αὐτό". ἄγει οὖν αὐτὸ ἡ μήτηρ καὶ ἀπογυμνοῖ τὰ διδύμια αὐτοῦ. ὁ δὲ τῷ δακτύλῳ αὐτοῦ ποιήσας τὸν σταυρὸν ἐπὶ τῶν διδύμων αὐτοῦ ἔφη· "Ἐλπίζομεν εἰς Ἰησοῦν Χριστὸν τὸν θεὸν ἡμῶν, ὅτι ὑγιαίνει ὁ υἱός σου καὶ ἐν τῇ ὑγείᾳ αὐτοῦ ὧδε εὐωχούμεθα". καὶ ἅμα τοῦ ταῦτα ἐν αὐτῷ τῷ ὕπνῳ ῥεθῆναι διϋπνίσθη ἐκείνη καὶ ψηλαφᾷ τὸ τέκνον καὶ εὑρίσκει αὐτὸ ὑγιές· καὶ ἔγνω ὅτι ὁ ἅγιος ἐθαυματούργησεν ἐν αὐτῷ καὶ ἐδόξαζεν τὸν θεόν. ὄντως πάντων ἐστὶν παθῶν ἀλεξητήριον φάρμακον ὁ πανάγιος καὶ ζωοποιὸς σταυρός, οὗπερ τῷ σημείῳ καὶ τόδε τὸ παιδίον ὑγιάσθη· ἔνθα γὰρ ἡ τοιαύτη ἐπισκιάσει ἐνέργεια, ἀργεῖ πᾶσα τῶν ἰατρῶν ἡ τέχνη.

⟨*Θαῦμα*⟩ λβ. Ἐν τοῖς χρόνοις τῆς βασιλείας Μαυρικίου τοῦ τῆς θείας λήξεως τὶς τῷ γένει Ἀλεξανδρεὺς ὀνόματι Μηνᾶς, ὢν ὡς ἐτῶν εἴκοσι, κάμνων εἰς οἰνέμπορον, τὰς οἰκήσεις ποιούμενος πέραν ἐν Ἀργυροπόλει, πλησίον τοῦ ἁγίου μάρτυρος Ἀδριανοῦ· οὗτος ἐνεβάλλετο ἐν καράβῳ μαγαρικὰ ἔγγομα, καὶ δὴ ἀβαθοῦς οὔσης τῆς θαλάσσης καὶ ἐν τοῖς ὕδασιν εἰσιόντων αὐτῶν καὶ ἐξιόντων, τοῦ καραβίου κατὰ τὸ δοκοῦν ἀσφαλῶς ὁρμοῦντος, ἔτυχεν τὸν ῥηθέντα Μηνᾶν ἐν τῷ ἐλθεῖν ἐκ τοῦ ὤμου αὐτοῦ καταγαγεῖν τὸ μαγαρικὸν καὶ ἀποθέσθαι ἐν τῷ καράβῳ ⟨καὶ⟩ αἴφνης ὑπὸ σκευοδαίμονος ἀπορρῆξαι τὴν ἀρχὴν τοῦ καραβίου· τοῦ δὲ θαρροῦν-

1 μεγιστάνων C φίλων αὐτῆς D 3 λέαυτῆ C 4 ὑπιδεῖοῦνο C || 5 ἀπέστηλεν C || διὰ κεφάλαιον om D 6 διἔτρεψα C || εἰδεῖν C 7 διηγῆται C 8 αὐτῶ . . αὐτῶ C 11 ἐντηυγία C 12 ρεθεῖναι C 13 διύπνησθει C || αὐτῶ C 14 ὑγιῆ C 16 ὁ ὑπὲρ' τῶ σημίω C 17 ἐπισκιάση C 20 λήξαιωσ C 21 εἰς οἰνέμπορον om D 23 μαργαρικὰ C корчагы D || δὴ ἀβαθοῦς *: δηασσοβάθουσ C абie D 25 ἐξιόντων om D || ὁρμόντοσ C 26 τοὐόμου C || καταγαγεῖν τὸ μαγαρικὸν καὶ om D 27 καὶ post. inserui || ἔφνησ C 28 ὑποσκέυοδαιμονοσ C || θαροῦντοσ C

τος τῇ νεότητι καὶ θέλοντος σῶσαι τὸ μαγαρικόν, ἐπιλαβέσθαι δὲ θέλοντος καὶ τοῦ καράβου καὶ κρατῆσαι αὐτόν, ἐπιπίπτει αὐτὸ τὸ μαγαρικὸν ἔγγομον κατὰ τῆς κοιλίας αὐτοῦ, ἅμα δὲ προσρήγνυται αὐτῇ καὶ ὁ κάραβος· καὶ ἐκ τῆς βίας ἑκατέρων ἔπαθον μὲν τὰ ἐντὸς αὐτοῦ, συνέπαθον δὲ καὶ τὰ αἰδοῖα αὐτοῦ, καὶ πίπτει ἐν τῇ θαλάσσῃ ἡμιθανής, ὥστε κινδύνῳ πολλῷ ἐξείλαντο αὐτὸν βασταγμῷ καὶ ἀνέκλιναν αὐτὸν ἐν κλίνῃ. ἄγει ὁ αὐθέντης αὐτοῦ ἰατρὸν ἐπὶ τῷ ἐπιμελήσασθαι αὐτοῦ· ὁ δὲ ἰδὼν αὐτὸν καὶ εἰς ἔκστασιν ἐλθών, λέγει αὐτοῖς· "Δότε μοι, ἃς ἀγοράσω εἴδη τὰ πρὸς ἰατρείαν αὐτοῦ". καὶ παρέχουσιν αὐτῷ τριμίσιν. ἐν τῷ οὖν ἀναχωρῆσαι τὸν ἰατρόν, ἔκ τινος θείας προνοίας ἔρχεταί τις ἀγαπητὸς αὐτοῦ φίλος ἐπισκέψασθαι αὐτόν, καὶ ὡς ἐρωτᾷ τὸν νοσοῦντα, τί τὸ συμβὰν αὐτῷ καὶ πῶς, ἀπήγγειλεν αὐτῷ καθὰ συμβέβηκεν αὐτῷ. ὁ δὲ λέγει αὐτῷ· "Μὴ βάλῃς ἑαυτὸν εἰς ἰατρόν, ἀλλὰ ἄπελθε εἰς τὴν Πόλιν, εἰς τὴν ᾿Οξεῖαν, ἐν τῷ ναῷ τοῦ ἁγίου ᾿Ιωάννου τοῦ Προδρόμου καὶ βαπτιστοῦ, κἀκεῖσε προσκαρτέρησον τῷ ἁγίῳ ᾿Αρτεμίῳ καὶ αὐτός σε ἰᾶται· κἀγὼ γὰρ τοιούτῳ κινδύνῳ ἐπύκτευσα, καὶ ἡ χάρις αὐτοῦ ἡ παντοκήρυκτος ἐπεσκέψατό με· φοβερὰ γὰρ θαύματα ἀποτελεῖ, καὶ εἰ βούλει ἀφηγοῦμαί σοι τὸ συμβάν μοι. θαρροῦντός μου τῇ κενῇ νεότητι, ἔτυχέν με βάρος σηκῶσαι ὑπὲρ ἐμέ, καὶ ἄφνω τὰ δύο αἰδοῖά μου κατασπασθέντα ὀγκωθῆναι, καὶ οἱ πόνοι ἀνένδοτοι. τινὲς οὖν ἔχοντες πεῖραν τῶν θαυμάτων τοῦ ἁγίου ᾿Αρτεμίου συναινοῦσίν μοι ἀπελθεῖν πρὸς αὐτόν· ὃ καὶ ἐποίησα ἀπελθὼν ὑπὸ φορεῖον, καὶ ἐπιτελέσας τὰ ἐκεῖσε πρὸς συνήθειαν γινόμενα, ἔμεινα ἐκεῖσε δύο ἡμέρας, καὶ τῇ τρίτῃ ἡμέρᾳ ὁρῶ καθ' ὕπνους τινὰ χλαινηφόρον στιχάριν φοροῦντα καὶ βαλτίδιον, καὶ εἰπόντα μοι· Ἄνω τὰ ἱμάτιά σου, ἵνα ἴδω, τί ἐστιν ὃ ἔχεις. καὶ σηκώσαντός μου αὐτὰ ἥψατο ⟨διὰ⟩ τῶν

1 τὴνεωτητι C || θέλων τοσ C 2 θέλων C || χαράβιου C || ἐπιπ. ἀυτὸν C 5 εντὼσ C 6 ἡμηθανεῖσ C || ἐξ'ῖλαντω C 7 ἀνέκλειναν C || ἐν κλίνῃ *: ἐγχήνη C 8 εἰδῶν C || αὐτ· καὶ om D 9 λέαὐτοῖσ, δῶτε μοι, ἀσαγωράσω εἴδη C 10 τρίμησιν C 11 ἰτρὸν C 14 μηβάλεισ C 15 πόλιν C βασιλεύουσαν D 16 καὶκέισε C 18 παντοκήρυκκτοσ C 19 με] μαι C || ἀφήγουμαί 20 νεώτητι C 21 ὑπέρεμαὶ C || αἰδύα C 23 τῶν θαυμάτων om D || συνενούσιν C 24 ὑποφορίον C om D || ἐπιτελέσαν C 25 ἔμενα C 26 χλενιφόρον C 28 εἴδω C || σικωσαντόσ C || διὰ inserui



τριῶν δακτύλων τῆς δεξιᾶς χειρὸς τὴν κοιλίαν μου, πιλώσας εὐφυῶς καὶ κατὰ τῶν δύο μου μηρῶν, καί ἔφη μοι· 'Ο Χριστός σε ἰᾶται, ὁ κύριος ἡμῶν καὶ θεός. ἀνάστα οὖν, εὐχαρίστησον αὐτῷ. καὶ ἅμα τῷ εἰπεῖν αὐτὸν ταῦτα διυπνίσθην, καὶ ψηλαφήσας ἐμαυτὸν ηὗρον τοὺς διδύμους μου καὶ τὰ ἐντός μου ὑγιῆ, καὶ εὐχαριστῶ τῷ θεῷ καὶ τοῖς ἁγίοις αὐτοῦ καὶ τῷ ἁγίῳ μάρτυρι ᾿Αρτεμίῳ". ταῦτα εἰρηκὼς ὁ φίλος αὐτοῦ ἀνεχώρησεν, καὶ κατ' αὐτὰ ἦλθεν ὁ ἰατρὸς ἐπιφερόμενος εἴδη, ἅπερ ἔφη ἀγοράσαι· καὶ ὡς ὁρμᾷ ἐπιθεῖναι αὐτῷ, οὐχ ἠνέσχετο, εἰπών· "Οὐ μὴ ἅψηταί μου ἰατρός". τοῦ οὖν αὐθέντου αὐτοῦ ἀναγκάζοντος αὐτὸν ἰατρευθῆναι, οὐχ εἵλετο. λέγει οὖν αὐτῷ ἐμμανῶς ὁ αὐθέντης αὐτοῦ· "Ἔδωκα τὸ τριμίσιν καὶ ἵνα ἀπόληται"; ἔφη αὐτῷ ὁ ἀσθενῶν· "Τάξον μοι αὐτὸ εἰς τὰς δοχάς μου". καὶ ἀπεπέμψατο τὸν ἰατρὸν εἰπών· "᾿Απάγαγέ με εἰς τὸν ἅγιον ᾿Αρτέμιον, καὶ ὃ δαπανήσεις, τάξον μοι εἰς τὰς δοχάς μου". βάλλει αὐτὸν ἐν ἀκατίῳ καὶ ἄγουσιν αὐτὸν ἐν τῷ πανσέπτῳ ναῷ τοῦ Προδρόμου, ἔνθα λιμνάζει τῶν ἰαμάτων ἡ τοῦ Χριστοῦ χάρις διὰ τοῦ ἁγίου αὐτοῦ θεράποντος ᾿Αρτεμίου. ποιεῖ τὰ εἰθισμένα τῷ τόπῳ καὶ "Τῇ αὐτῇ νυκτί", καθὼς μεθ' ὅρκων ἐκ βλεφάρων δάκρυα ἐκχέων ἔφη ἐν αὐτῇ τῇ λέξει, "ἐθεασάμην", φησίν, "ἐν τῷ ὕπνῳ μου τὸν ἅγιον ᾿Αρτέμιον ἀπὸ τῆς ἁγίας αὐτοῦ σοροῦ ἀνερχόμενον καὶ ἐξελθόντα τὰ κάγκελλα τοῦ σκευοφυλακίου καὶ ἐλθόντα ἕως ἐμοῦ· ἐκείμην γὰρ ἐν τῷ τετάρτῳ στύλῳ τοῦ ἀριστεροῦ ἐμβόλου. ἦν δὲ φορῶν στιχάριν καὶ ἔζωστο βαλτίδιν, καὶ ὠράριον περιέκειτο τῷ τραχήλῳ αὐτοῦ· καὶ ὅτε μοι ἐπλησίασεν, τῇ φωνῇ αὐτοῦ προσελάλησέν μοι εἰρηκώς· Σκάτζυ, τί ἔχεις; καὶ ἀπήγγειλα αὐτῷ, καθώς μοι συνέβη· καὶ ἀπεβημάτισεν ἐξ ἐμοῦ καὶ ἐξῆλθεν τὸν ἔμβολον εἰς ὃν ἐκείμην καὶ τὸν νάρθηκα, καὶ εἰσῆλθεν διὰ τῶν μέσων πυλῶν καὶ ἔρριψεν ἑαυτὸν ἁπλωτὸν εἰς τὸ ἔδαφος, καὶ ηὔχετο ἐφ' ἱκανὸν ἐν τῷ ναῷ ὄπισθεν τοῦ ἄμβωνος. κἀμοῦ διαποροῦντος καὶ εἰς

1 κοιλείαν C || πηλώσας C потиснувъ D 4 ἅμα τὸ C 7 ὁ φίλος αὐτοῦ om D || κατάυτα C 8 ἀγωράσαι C 9 ἐπιθῆναι C || οὐχῆν ἔσχετο ἐπῶν C 11 ὀυχ'ήλετο C || ὁ αὐθέντης *: ὁαυθέν C 12 τριμήσιν C || ἀπώλειται C 13 ἀυτῶ C 14 με] μαι C || δαπανήσησ C 17 ἁγίου αὐτοῦ om D 18 ποιητὰ ἠθισμένα C 20 ἐθεασάμιν C 24 ὀράριον C 26 σκάτζυ C скажи D || ἀπήγγηλα C 27 απεβημάτησεν C 29 εἰκανὸν C 30 ἄμβονοσ C

ἑαυτὸν ἐννοοῦντος, διατί ἐκτὸς χλαίνης ἦν, εἶπον πρὸς ἐμαυτόν· Ὧδε κατοικεῖ καὶ ὡς εἰς ἴδιον οἶκον αὐτοῦ τεθαρρηκὼς ἐν τοιούτῳ σχήματί ἐστιν. πάλιν ἐλογιζόμην περὶ τοῦ καγκέλλου καὶ τῶν μέσων πυλῶν, πῶς κεκλεισμένων αὐτῶν ὄντων αὐτομάτως ἠνοίχθησαν αὐτῷ καὶ εἰσῆλθεν. εἶτα ηὔξατο, ἠγέρθη καὶ εἰσῆλθεν ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ, καὶ πάλιν ἐκεῖ ἔρριψεν ἑαυτὸν ἐπὶ πρόσωπον, καὶ μικρόν τι διαποιήσας ἠγέρθη καὶ ἐφίλησεν τὴν ἁγίαν τράπεζαν καὶ πάλιν ἐξῆλθεν τῷ αὐτῷ τρόπῳ διὰ τῶν καγκέλλων. καὶ ὅτε ἦλθεν ἔγγιστά μου, εἶπεν πρός με· Θάρσει, Σκατζύ. καὶ εἰσῆλθεν ὁμοίως τῷ αὐτῷ σχήματι διά τε τοῦ νάρθηκος καὶ τῶν μέσων πυλεώνων. τοῦτο ἐπὶ τρεῖς καθόδους ποιήσας, καὶ εἰς τὴν τρίτην βολὴν ἔφη μοι· Σκατζύ, ἄνω τὰ ἱμάτιά σου. καὶ σηκώσαντός μου αὐτά, τῇ χειρὶ αὐτοῦ ἥψατο τοῦ ὀμφαλοῦ μου καὶ τοῦ ὑπογαστρίου καὶ ἔφη μοι· Ἴδε ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ἰάσατό σε· ἀλλ' ἐγερθεὶς εὐχαρίστησον αὐτῷ. διυπνισθεὶς δὲ ηὗρον ἑαυτὸν ὑγιῆ ὄντα. παραυτίκα οὖν ἐξαναστὰς τῆς στρωμνῆς, εἰς ἣν ἐκείμην, δρόμῳ ἀπῆλθον, καὶ τῶν καγκέλλων ὄντων ἠσφαλισμένων ἔρριψα ἑαυτὸν ἐπὶ τὰ πρόθυρα τοῦ σκευοφυλακίου εἰς τὸ ἔδαφος, εὐχαριστῶν τῷ σωτῆρι ἡμῶν Χριστῷ, τῷ ἐκεῖσε ἐπάνω τῶν θυρῶν τοῦ ῥηθέντος σκευοφυλακίου ἐν εἰκόνι ἐκτετυπωμένῳ ἑστῶτι. πάντες οὖν οἱ πρὸς τὸ ἰαθῆναι ἐκεῖσε ἀνακείμενοι, ὡς εἶδόν με τὸν ὀψὲ ἀκίνητον ὄντα καὶ ὀδυνώμενον καὶ ὀδυρόμενον ἀναστάντα ὀξέως, ἠγέρθησαν πάντες καὶ σὺν ἐμοὶ ἔρριψαν ἑαυτοὺς εἰς τὴν γῆν καὶ ἔκραζον „Κύριε, ἐλέησον. καὶ ηὔχοντο ὅπως καὶ αὐτοὶ τῆς ἐκ τοῦ θεοῦ ἰάσεως διὰ τοῦ ἁγίου μάρτυρος ταχέως ἐπιτύχωσιν". τί πρὸς ταῦτα λέγεις, ὦ Ἰουδαίων ἔθνος; ὃν διαφημίζεις Χριστὸν κλαπέντα τοῦ μνήματος καὶ ἀγνοεῖν προσποιεῖ ἐγερθέντα αὐτὸν καὶ ἀναληφθέντα εἰς τοὺς οὐρανούς, πῶς ὀνομαζόμενος διὰ τοῦ ἁγίου αὐτοῦ μάρτυρος κάτω φυγαδεύει πάθη δυσίατα; εἰπέ, τί σοι δοκεῖ πρὸς τοῦτο· ἰδού, καὶ ἃ δέδωκας ἀργύρια, ἀπώλεσας, καὶ οὓς ἐνόθευ-

1 ἐννοοῦντον C || χλανησ C 2 κατόκεῖ C 4 ἀυτωμάτωσ C 9 θάρσι C 10 et 15 σκατζύ C скажи D 11 πυλαιόνων C 15 ἴασατόσσε C 16 ἡύρεν C || παραυτήκα C 17 στρομνῆσ ἐισιν C 21 ἐκτετυπομένω C 22 ἴδον C || ὀψὲακήνϊτον C 23 ὀδυρῶμενον C 24 ἔκραζων C 28 ἀγνωὴν C 30 πάθει C || δωκεῖ C



σας διαφημίζειν αὐτὸν νεκρόν, τὸν ἀεὶ ζῶντα, αὐτοί σε γελῶσιν, ἵνα τὰ ἐπὶ Ἰούδα ἀργύρια μὴ ἐνέγκω εἰς μέσον, ἅπερ ἀνέλαβες καὶ δέδωκας εἰς τιμὴν τοῦ ἀγροῦ τοῦ κεραμέως· τὰ γὰρ ὑπὸ σοῦ καὶ Ἰούδα τότε ῥηθέντα παρατρέχω, σκληροκάρδιε. τί δὲ καὶ σύ, ὦ Ἄρειε, ὑπολαμβάνεις εἶναι τὰ διὰ τοῦ ἁγίου μάρτυρος Ἀρτεμίου γινόμενα θαύματα; Χριστὸν ὀνομάζει καὶ πάθη φρίττοντα δραπετεύουσιν. μὴ ψιλὸς ὁ Χριστός; εἰ ψιλὸς ἄνθρωπός ἐστιν, ὡς σὺ λέγεις, πῶς διὰ στόματος ἐπικαλούμενος τοῦ ἀγαπητοῦ αὐτοῦ Ἀρτεμίου Χριστὸς ἰᾶται ποικίλας νόσους; ἐσύλησας πρὸς σὲ Εὐνόμιον, ἀπετύφωσας καὶ Νεστόριον· Εὐτυχῇ καὶ Διοσκόρῳ γέγονας ὁδὸς ἀπωλείας καὶ πᾶσι τοῖς μετὰ σὲ παραπλήσια τῆς σῆς φρενοβλαβείας φρονήσασι. τί καὶ ὑμεῖς οἱ ἐν τοῖς εἰδώλοις ἐγκαυχώμενοι καὶ ἄψυχα ξόανα θεοὺς προσαγορεύοντες, οἵτινες τοὺς σέβοντας Χριστόν, τὸν ὄντως ὄντα ἀληθινὸν θεὸν ἡμῶν, κολαστηρίοις παραδεδωκότες ἐξαφανίσαι ἠλπίσατε; ἰδοὺ Ἀρτέμιος μετὰ τοὺς ἐξ ὑμῶν ἐπενεχθέντας αὐτῷ αἰκισμούς, μετὰ τὸ ξεσθῆναι τὸ σῶμα, μετὰ τὸ ἐν πλαξὶ μέσον ἐναποτεθῆναι καὶ ἀποσφιγχθῆναι, μετὰ τὸ ἐκπεπηδηκέναι τὰ ὄμματα αὐτοῦ τῇ βίᾳ τῶν πετρῶν, μετὰ τὸ σφαγιασθῆναι, μετὰ τὸ ἐνταφιασθῆναι, Ἀρτέμιος Χριστὸν ὀνομάζων πάθη ἰᾶται. φράσατε ἡμῖν οἱ τῆς πολυθείας ἐρασταί, πῶς ταῦτα Ἀρτέμιος μετὰ θάνατον ζῶν ἐκτελεῖ, πῶς ὁ σκολοπισθεὶς ὑφ' ὑμῶν δι' αὐτῶν τῶν ἐξ ὑμῶν ἐπενεχθέντων τῷ τοῦ Χριστοῦ ἀγωνιστῇ Ἀρτεμίῳ ἀνεχαλκεύθη, πῶς ἀσινὴς ηὕρηται, πῶς παρὰ Χριστῷ Ἀρτέμιος ζῇ, πῶς πᾶσι τοῖς νοσοῦσι παθῶν ἐλευθερίαν δωρεῖται τῇ τοῦ Χριστοῦ ὀνομασίᾳ. ποῦ εἰσιν καὶ οἱ τὰς μετεμψυχώσεις πλάττοντες καὶ εἰς κτῆνος μεταβαίνειν τὴν ψυχὴν μετὰ τὴν ἐκ τοῦ σώματος ἀποδημίαν λέγειν οὐκ αἰσχυνόμενοι; καταπεπάτηκεν Ἀρτέμιος θαυματουργῶν Βουδδᾶν καὶ τὸν

1 ἀυτοῖσ ἐγελῶσιν C 5 ἄρειε C Аристѣ D 6 ὀνομάζει C именуютъ D 7 μὴ ψιλὸς ὁ Χριστὸς om D 8 διὰσστόματοσ C 9 ποικήλασ νόσσουσ C 10 νεστωρίον C 11 ἀπολεῖασ C || φραινοβλαβείασ C 12 ἐγκαυχόμενοι C 13 ζώαναθεοὺσ πρὸσ ἀγωρεύοντεσ C 14 ἀληθεινὸν C 15 ἐξαφανήσαι ἤλπ̈:πίσαται C 16 τοξεσθεῖναι C 17 ἐμπλαξὶ C 18 ἐκπεπηδηκαίναι C 19 μετὰ τὸ ἐνταφιασθῆναι om D 20 φράσαται C || ῾αιρασταῖ C 22 ὑφ' *: ἀφ' C 23 ἀνεχαλκεύθη *: ἀνεχακεύθη C утвердися D 26 εἰσκκτηνοσ C 28 βουδδὰν C вудида D

αὐτοῦ μαθητὴν Μάνην καὶ πάντας τοὺς μετ' ἐκείνους, οὓς οὐδὲ ὀνομάζειν δέον ἐστίν. ἡμεῖς οὖν, τῷ διὰ τοῦ μάρτυρος θαυματουργοῦντι Χριστῷ δόξαν ἀναπέμποντες διαπαντός, ἐπὶ τὰς ῥεούσας πηγὰς τῶν ἰαμάτων τοῦ ἁγίου ἐπειχθῶμεν τὴν ἐκεῖθεν ὠφέλειαν ἀρυσόμενοι.

⟨*Θαῦμα*⟩ $\overline{\lambda\gamma}$. ⟨Τ⟩ὶς ὀνόματι Θεόδωρος, ἔχων υἱὸν καταβαρῆ καὶ ὀδυνώμενον πικρῶς, ἀκούσας περὶ τῶν τοῦ ἁγίου Ἀρτεμίου θαυμάτων λέγει τῷ ἀγαπητῷ αὐτοῦ ὀνόματι Θεογνίῳ, οἰκοῦντι πλησίον τοῦ σεπτοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· " Ἄγαγέ με εἰς τὸν ἅγιον Ἀρτέμιον, ὅτι δεινοπαθεῖ τὸ παιδίον μου ἐκ τῶν διδύμων αὐτοῦ ἀσθενοῦν ". ὁ δὲ ἐπέδωκεν ἑαυτόν. ἀπέρχονται ἀμφότεροι ἐν τῷ ῥηθέντι ναῷ ἅμα τῷ ἀσθενοῦντι παιδίῳ. ποιοῦσι τὰ ἐν ἔθει γινόμενα ἐν ὀνόματι τοῦ παιδίου. παραμένουσιν ἀμφότεροι, ὅ τε πατὴρ τοῦ παιδίου μετὰ τοῦ τέκνου καὶ ὁ ῥηθεὶς Θεόγνιος. ὁ οὖν Θεόγνιος ἐνόσει ἐκ τοῦ ⟨θώρακος αὐτοῦ⟩ καὶ τὸ βήχιον δεινῶς αὐτὸν διεσπάραττεν. ὑπεισέρχεται αὐτῷ λογισμὸς καὶ λέγει κατὰ νοῦν πρὸς ἑαυτόν· " Ὁ δοὺς τῷ ἁγίῳ μάρτυρι δωρεὰν ἰαμάτων, ἰᾶσθαι τοὺς καταβαρεῖς, δύναται αὐτὸς δι' αὐτοῦ καὶ τὴν ἐμὴν τοῦ θώρακος ἀσθένειαν ἰᾶσθαι ". καὶ ἅμα τῷ λογίσασθαι αὐτὸν ταῦτα, ῥίπτει ἑαυτὸν ἐν τῇ ἁγίᾳ αὐτοῦ σορῷ, τῇ μολιβδίνῃ, ἔνθα τὸ ζῶν αὐτοῦ λείψανον τεθησαύρισται, ἔνθα ἡ τῶν ἰαμάτων ἀναβλύζει χάρις, ἔνθα ἐναπόκεινται τὰ τῶν νοσούντων ἰατρεῖα τοῦ ἁγίου μεγαλομάρτυρος Ἀρτεμίου, σὺν δάκρυσιν εἰπών· " Ἅγιε Ἀρτέμιε, ἴασαί με τῆς συνεχούσης με τοῦ θώρακος νόσου καὶ τῆς τοῦ βηχίου φονιώδους ἐπιμονῆς. ἦν δὲ Σάββατον, Κυριακῆς ἐπιφωσκούσης, τῆς πνευματικῆς παννυχίδος ἐπιτελουμένης, καὶ γενομένου τοῦ καθίσματος, μετὰ τὰ τρία ἀντίφωνα τὰ ἑσπερινά, ἀναστὰς ἀνέπεσεν ἐν τῇ στρωμνῇ μετὰ τοῦ παιδίου τοῦ καταβα-

1 μάνην C марʼнін D  2 δέων C  4 ἐπιχθῶμεν C || ὀφέλειάναρυσόμενοι C  6 κατοβαρὴ C  7 ὀδυνόμενον C  8 τῶ C τινὶ D || ἀγαπιτῶ C  9 σεπτοῦ προφητείου τοῦ ἁγίου προφήτου D || ἀγάγαγέ C  10 δινοπάθει C  15 θώρακος αὐτοῦ e D om C || βιχίον δινῶσ C  16 λειγει C  17 δωραιὰν C  18 κατοβαρεῖσ C  19 θώρακωσ ἀσθένϊαν C  22 ἐναπόκινται C || ϊατρία C  24 ἰάσεμαι C || θώρακωσ C  25 τουβϊχίου φωνϊῶδουσ C  28 στρομνῆ C στρωμνῇ αὐτοῦ D || κατὸβαροὺσ C



ροῦς ὄντος καὶ αὐτοῦ τοῦ πατρὸς τοῦ παιδός· καὶ ἐτράπη εἰς ὕπνον καὶ ὁρᾷ τὸν σύντομον πρὸς βοήθειαν, τὸν ἔνδοξον τοῦ Χριστοῦ θεράποντα Ἀρτέμιον λέγοντα αὐτῷ· " Ἀνάστηθι, καὶ ἐκ τῆς γενομένης κηρωτῆς λαβὼν ἄλειψαί σου τὸ στῆθος καὶ φάγε ἐξ αὐτῆς· ἄλειψον δὲ καὶ τοὺς διδύμους τοῦ σὺν σοὶ ἀνακειμένου παιδίου, καὶ καλῶς ἕξετε ". διηγεῖτο τοίνυν μετὰ τὴν θαυματουργίαν ὁ ἀνήρ, ὅτι " Εὐθὺς σὺν τῷ λόγῳ τοῦ ἁγίου διυπνίσθην. ἦν δὲ ἡ ὥρα λοιπὸν τοῦ πληρωθῆναι τὰ μεσονυκτικὰ καὶ ὁ καιρὸς τοῦ δίδοσθαι τὴν ἁγίαν κηρωτὴν τῇ προσκυνήσει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. ἠγέρθην οὖν εὐθέως τῇ χαρᾷ τῆς ὀπτασίας, καὶ τῆς ἐπαγγελίας τοῦ θεοτιμήτου ἁγίου Ἀρτεμίου συνωθούσης με. ἐξήγειρα δὲ καὶ τοὺς μετ' ἐμοῦ ἀνακειμένους, καὶ προσκυνήσαντες τὸν ζωοποιὸν σταυρὸν καὶ λαβόντες ἀμφότεροι τῆς ἁγίας κηρωτῆς ἤλειψα τὸ ἴδιόν μου στῆθος καὶ ἔφαγον ἐξ αὐτῆς κατὰ τὴν κέλευσιν τοῦ ἁγίου· ἤλειψα δέ, ὡς ἐπετράπην, καὶ τοὺς διδύμους τοῦ παιδὸς καὶ ἀμφότεροι ὑγιεῖς ἀπεκατέστημεν. μετὰ ταῦτα, ἐν ὑγείᾳ γενομένων ἡμῶν, ἀφηγησάμην τῷ σὺν ἐμοὶ ὄντι περὶ ὧν κατὰ νοῦν ἐλογισάμην καὶ περὶ ὧν ᾔτησα τὸν μάρτυρα, καὶ περὶ τῆς γενομένης μοι ὑπὸ τοῦ ἁγίου Ἀρτεμίου ὀπτασίας κατὰ τὰ προρρηθέντα, καὶ ἐδοξάσαμεν τὸν δόντα αὐτῷ τοιαύτην χάριν, Χριστὸν τὸν θεὸν ἡμῶν, ἐπὶ τῶν ἰάσεων ".

⟨*Θαῦμα*⟩ $\overline{\lambda\delta}$. Γυνή τις ὀνόματι Ἄννα, ἡ τὸ ἐπίκλην Τὰς ἀγάπας· αὕτη ἐκ γονικῆς παραδόσεως ἧπτεν κανδήλαν ἐξ ἰδίας αὐτῆς ὑποστάσεως ἔμπροσθεν τῆς εἰκόνος τοῦ ἁγίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῆς εἰς τὴν τροπικὴν ἑστώσης κατὰ τὴν πόλιν τοῦ ὄντος μεσιαύλου ἐν τῷ ναῷ τοῦ Προδρόμου, ἔνθα καὶ τὰ γραδίλιά εἰσιν· ἐν ᾧ τόπῳ τοῖς τότε καιροῖς ἦν καὶ ἱστορία τῆς ἀθλήσεως τοῦ ἁγίου θαυματουργοῦ Ἀρτεμίου. αὕτη εἶχεν συγγειτνιῶσαν γυναῖκα, δυσώνυμον

1 ἐτράπει C  2 βοήθιαν C  3 ἀνάστηθη C  4 γαινομένησ C  5 αὐτῆς *: αὐτοῦ C  6 ἔξαιται C  7 ὁ ἀνὴρ om D  8 μεσωνύκτινᾶ C  9 τῇ *: τὴν C  10 καὶ ζωοποιοῦ om D  11 ἐπαγγελέιασ C  14/15 κατὰ— ἁγίου om D  16 ὑγιῆσ C || ἀπεκατέστημεν pro ἀποκατέστημεν  17 ὑγία C  18 ἐλογησάμην C  20 αὐτῷ *: ἀυτουτῶ C  23 τὰς ἀγάπασ C любве D  25 εἰς τὴν τροπικὴν om D  26 τὴν οὖσαν ἐν τῷ ναῷ D  27 γραδήλια C om D  29 συνγιτϊῶςάν γ. δεισόνυμον C

οὖσαν, Ἰωαννίαν τὴν καὶ Μαξίμαν. αὕτη εἶχεν θυγατέρα ὀνόματι Εὐφημίαν, οὖσαν ἐτῶν δώδεκα· καὶ ταῖς πολλαῖς, τῆς Ἄννης ἐνασχολουμένης εἰς οἰκιακὰς αὐτῆς ἀποκρίσεις, παρεκάλει τὴν λεχθεῖσαν Εὐφημίαν ἀρτύειν καὶ ἅπτειν τὴν κανδήλαν τοῦ Προδρόμου καὶ πλύνειν αὐτήν, ὅτε χρεία. συνέβη οὖν ἐν τοῖς χρόνοις τῆς βασιλείας τοῦ τῆς θείας λήξεως Ἡρακλείου γενέσθαι φθορὰν θανατηφόρον καὶ αἴφνης ἡρπάζοντο οἱ ἄνθρωποι. ἔτυχεν οὖν τότε τὴν ῥηθεῖσαν Εὐφημίαν θανατηφόρῳ περιπεσεῖν ἀσθενείᾳ, βουβῶνος κατὰ τῆς μασχάλης αὐτῆς ἀναφυέντος, καὶ ἐπιθανατίως νοσεῖν· ἥτις Εὐφημία δύο ἡμέρας ἐποίησεν μείνασα ἄφωνος, ἄλαλος, μήτε στόμα μήτε βλέμμα ἀνοίξασα, μήτε λόγον ἀναδοῦσα (ἀνεφύησαν γὰρ κατὰ παντὸς τοῦ σώματος αὐτῆς τὰ μηνύοντα θάνατον, παραπλήσια λοιμικῆς, τὰ λεγόμενα μαῦρα· οἱ πολλοὶ δὲ καλοῦσιν αὐτὰ εὐλογίαν), καὶ τῆς ψυχῆς αὐτῆς καμνούσης, οἱ γονεῖς τὰ ἐπιτάφια εἶχον εὐτρεπῆ, ὁμοίως καὶ τὸ θερμὸν ὕδωρ, πρὸς τὸ καταπλῦναι αὐτήν. περὶ δὲ πένθους γοεροῦ καὶ θρήνων ὀλολυγμοῦ, οἷα τοῖς τεκοῦσιν ἐγγίνονται, ἴσμεν ἅπαντες, πῶς κατακαιόμενα τὰ τῶν γεγεννηκότων σπλάγχνα ἐξανάπτουσι καὶ γείτονας συνθρηνεῖν τοῖς πενθοῦσιν. αὐτὴ ⟨δὲ ἡ⟩ Εὐφημία, περὶ ἧς ὁ λόγος, ἐν τῷ γονικῷ αὐτῆς οἴκῳ κατακειμένη, ἐν ταῖς δυσὶν ἡμέραις κατενεχθεῖσα, καθὼς ἀνανήψασα διηγήσατο, ἑώρακεν, ὡς ἔφη, ἀγγέλους τοῦ λαβεῖν αὐτὴν καὶ τὸν ἅγιον Ἀρτέμιον ἐλθόντα καὶ τῇ δεξιᾷ αὐτοῦ χειρὶ ἐπιλαβόμενον τῆς παιδὸς καὶ εἰπόντα τοῖς ἐπειγομένοις ἆραι αὐτήν· "Τί ποιεῖτε; οὐκ ἐπαίρετε αὐτήν· ἐάσατέ μοι αὐτήν, ἐγὼ γὰρ αὐτὴν ἀνεδεξάμην καὶ ἐμή ἐστιν". καὶ σὺν τῷ λόγῳ ἐπιλαβόμενος αὐτῆς ὁ ἅγιος Ἀρτέμιος, ὁ μάρτυς τοῦ θεοῦ, εἰσάγει αὐτὴν ἐν τῷ ναῷ καὶ κατάγει αὐτὴν ὡσανεὶ ἐν τῇ ἁγίᾳ αὐτοῦ σορῷ· καὶ ἀνοίξας τὰς θύρας, ὡς ὑπέδειξεν, ἁπλοῖ αὐτὴν εἰς τὸ ἔδαφος ὑποκάτω τῆς μολιβδίνης θήκης, ἔνθα τὰ ἅγια αὐτοῦ ἀπόκεινται λείψανα· καὶ ἐάσας

5 πλοίνην C || συνέβει C 6 τῆς βασιλείας om D 7 θανατιφόρον C || ἔφνης C 8 θανατιφόρω C 9 ἀσθένεια. βουβόνοσ C 10 μῖνασα C 11 ἄλαλος D ἄλλοσ C 13 μυνύοντα 16 καταπλοίναι C || γωεροῦ C 17 θρίνων ὀλολοιγμοῦ C || εγγενῶνται εἰσμὲν C 18 γεγενηκώτων C 19 γίτονασ C || αὐτὴν C 24 ἐπειγομένοις *: ἐπηγονμένοισ C || ποιῆται C 25 ἐπέρεται C || ἐάσαταί C 28 ἀνύξασ C 29 καὶ ἀπλοῖ C 30 ἐάσασα C



αὐτὴν ἐκεῖσε ἠσφαλίσατο, βαλὼν ὡσανεὶ καὶ τὸ κλείδωμα· ὅπερ ἰδόντες οἱ ἐλθόντες, μηδὲν εἰρηκότες ἀνεχώρησαν. καὶ ἐξελθόντες ὡσανεὶ τῆς ἐκκλησίας τοῦ Προδρόμου εἴχοντο τῆς ὁδοῦ αὐτῶν ὡς ἐπὶ τὸ λεγόμενον Κανδηλάριν. ταῦτα ἐδείχθη τῇ κόρῃ οὐχ ὡς τοῦ θείου προστάγματος ἀντιταξαμένου τοῦ μάρτυρος (μὴ γένοιτο), ἀλλ' ἵνα γινώσκῃ, ὅτι αὐτῷ ταύτην ὁ τῆς ζωῆς κύριος ἐχαρίσατο πάλαι καὶ τὸ μὴ νομίζειν αὐτὴν εἰς κενὸν τὴν ἀδιάλειπτον ἐκείνην ἀφὴν λογισθῆναι τοῖς ἁγίοις. πληρωθείσης οὖν τῆς δευτέρας ἡμέρας καὶ ἐπιλαβομένης τῆς τρίτης, ἡ προσδοκωμένη ἐνταφιασθῆναι τοῖς παρεστῶσιν καὶ κοπτομένοις δι' αὐτὴν ἔδωκεν φωνὴν εἰρηκυῖα· "Δότε μοι ἂς φάγω, δότε μοι ἂς πίω, ὅτι πεινῶ καὶ διψῶ". οἱ δὲ τῆς χαρᾶς πλησθέντες καὶ τοῦ θρήνου παυσάμενοι παρευθὺ ἔδωκαν αὐτῇ φαγεῖν καὶ πιεῖν, καὶ ἀνένηψεν καὶ ἦλθεν εἰς ἑαυτήν. ἤρξαντο δὲ ἀναγγέλλειν αὐτῇ περὶ τῶν θρήνων αὐτῶν καὶ τῆς ἀποστελλούσης αὐτὴν ἅπτειν τὴν κανδήλαν, λέγουσαι "Πόσας ἐθρήνησεν ἡ Τὰς ἀγάπας, ἡ φίλη σου, ἀποκαλοῦσα ὅτι Τίς μοι ἔχει λοιπὸν ἅπτειν τὴν κανδήλαν τοῦ Προδρόμου"; τότε λέγει αὐτοῖς πάντα, ὅσα εἶδεν ἐν τῇ ὀπτασίᾳ κατὰ τὴν προαφηγηθεῖσαν διήγησιν, περί τε τῶν ἐλθόντων λαβεῖν αὐτὴν ἑτοίμην καὶ περὶ τοῦ ἁγίου Ἀρτεμίου, καθὼς προδεδήλωται. ἡ δὲ μήτηρ τῆς ἀνανηψάσης παιδὸς λέγει τῇ παιδί· "Εἶδες, κυρία μου, ἀγγέλους"; ἔφη ἡ παῖς· "Ναί, ὄντως εἶδον". λέγει αὐτῇ ἡ μήτηρ· "Ποίῳ σχήματί εἰσιν"; ἡ δὲ παῖς ὑπέδειξεν αὐτῇ ἐν εἰκόνι γεγραμμένους ἀγγέλους ἑστῶτας ἐν τῷ αὐτῷ ναῷ, εἰς ὃν ἐστιν μέσος ὁ κύριος. πάλιν ἐρωτῶσιν αὐτήν· "Τὸν ἅγιον Ἀρτέμιον ποίῳ τρόπῳ ὄντα ἑώρακας"; ἡ δὲ εἶπεν αὐτῇ· "Ὅμοιος ἦν τῆς ἑστώσης εἰκόνος ἐν τῷ εὐωνύμῳ μέρει τοῦ αὐτοῦ ναοῦ, ἐν τῷ τέμπλῳ τοῦ θυσιαστηρίου, ἔνθα μέσον ἐστὶν τὸ λαβδάριν, ἐν ᾧ γέγραπται ὁ κύριος, καὶ εἰς τὸ δεξιὸν εἰκὼν τοῦ Προδρόμου. καὶ ταῦτα ἀκηκοότες καὶ τὸ ἀσφαλὲς διδαχθέντες ἐδόξαζον

1 αὐτὴν *: σαυτὴν C || κλίδωμα C 2 εἰδόντεσ C || εἰρηκώτεσ C 3 ἤχοντο C 4 ἐδείχθει C 6 γινώσκει C 7 καινὸν C 8 πληρωθεῖσισ C 9 προσδοκομένη C 11 εἰρηκοία C 12 πινῶ C 14 ἤρξατο δὲ ἀναγγέλειν ἀύτη C 17 ἄπτην C 19 προάφηγηθήσαν C 20 ἐτίμην C 21 παιδὴ. ἴδεσ C 22 ὄντοσ ἴδον C 24 ενὲικόνγεραμμένουσ C 30 ταυτὰ C || διδαγέντεσ C

τὸν θεόν, τὸν διὰ τοῦ ἁγίου αὐτοῦ μάρτυρος παράδοξα ἐργαζόμενον καὶ ζῶσαν χαρισάμενον τοῖς γονεῦσιν τὴν σχεδὸν νεκρωθεῖσαν. ἴδετε, φιλήκοοι, θαύματα· πόσοις ὁ Χριστὸς στεφάνοις στεφανοῖ τοὺς δι' αὐτὸν ἠθληκότας, πόσαις δόξαις καλλωπίζει Ἀρτέμιον τὸν αὐτοῦ θεράποντα, ἕως καὶ τοὺς τάφους αὐτῷ ζωῆς ταμεῖα ἀπεργάζεται. τί οὖν καλέσω τὸν τοῦ Προδρόμου ἅγιον οἶκον; ἢ τί ὀνομάσω τὴν ἁγίαν θήκην τῶν τιμίων λειψάνων Ἀρτεμίου τοῦ μάρτυρος; πηγὴν πολύφλεβον; ναί, ἔστιν πηγή, πηγὴ οὐχ ἁπλῶς οὐδὲ παραμέσως, ἀλλ' ἣν ἐγεώργησεν ὁ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ βαπτιστὴς Ἰωάννης καὶ ἐν τῷ οἰκείῳ ναῷ μετωχέτευσεν καὶ μετερρύθμισεν ἀοράτως ἀβιάστως ἐκ τῶν τοῦ Ἰορδάνου ῥείθρων, καὶ ἐπιπολάζει ἐν τῇ τοῦ ἀθλοφόρου σορῷ. αὕτη ἡ πηγὴ ἐκ τῆς τοῦ Ἰορδάνου εὐλογίας, ἧς μετέχει ἐκ τοῦ ἐν αὐτῷ βαπτισθέντος Χριστοῦ, ηὐλόγηται καὶ πᾶσιν τοῖς χρήζουσιν μεταδίδωσιν εὐλογίαν. αὕτη ἡ πηγὴ τῷ τοῦ Ἰορδάνου ἁγιασμῷ ἡγίασται καὶ ἐξ οὗ ἐμπέπλησται ἁγιασμοῦ ἑκάστῳ δεομένῳ καὶ αὐτῇ προσερχομένῳ τὸν ἁγιασμὸν χορηγεῖ. αὕτη ἡ πηγὴ ἐκ τῆς δόξης, ἧς ἐδοξάσθη ὁ Ἰορδάνης καὶ ὁ Ἰωάννης, δεδόξασται καὶ ἧς κατηξίωνται δόξης, τοὺς εἰς αὐτὴν προσπελάζοντας ἀντιδοξάζει τὰ μέγιστα, καὶ πᾶς ὁ πίστει ἐξ αὐτῆς ὑδρευόμενος παντοίων κακῶν ἐλευθερίαν ἀρύεται. οὐ λιμπάνει, οὐ πτωχεύει, οὐκ ἐπέχεται ὑπό τινος, οὐκ ἐγκρατεῖται ὑπὸ βίας τινός, οὐ κωλύεται ὑπὸ τυράννων ἀπηνῶν, οὐκ ἐμφράττεται λίθοις ἀσεβῶν, οὐ θολοῦται ὑπὸ αἱρετικῆς θολότητος, οὐκ ἀποδιώκεται ἀπὸ Ἰουδαϊκῆς παρανομίας. αὕτη ἡ πηγὴ χρησιμεύει χριστιανικῷ λαῷ, καὶ ἕως ἂν τις ἐξ αὐτῆς ἀντλεῖ, οὐκ ἐξαντλεῖται, ἀλλὰ μᾶλλον ἐκβλύζει καὶ ἄρδει μυριοπλασίως. καὶ τὸ ξένον αὐτῆς, ἀγαπητοί, ὃ καὶ ἀγγέλους ἐκπλήττει καὶ ἀνθρώπους καὶ ταύτην μειζόνως εὐφημεῖν διεγείρει· ἀντὶ γὰρ ναμάτων βρύει ἰάματα, ἀντὶ ὑδάτων λιμνάζει θαύματα. αὕτη ἡ πηγὴ βυθίζει νοσήματα, ἀπονεκροῖ πάθη, δραπετεύει δαίμονας χαλεπωτάτους, ἀποσοβεῖ πᾶσαν ἔριδα, ἐκδιώκει φθόνον, φυγαδεύει ἄλογον μῖσος, ζωοποιεῖ τοὺς ἐπιθανατίως ἔχοντας, ἀνιστᾷ πεπτωκότας. αὕτη οὐ μόνον ἐστὶν πηγή, ἀλλὰ καὶ θησαυρός, ἐν ᾧ τεθησαύρισται ἡ τῶν νοσούντων ῥῶσις, ἥτις ἐστὶν παντὸς πλούτου τιμιωτέρα. ὑπάρχει καὶ λάρναξ ἔχων ἔνδον ἀθλητικῶν ἀγωνισμάτων Ἀρτεμίου τοῦ μάρτυρος μέλη τίμια ἰάσεις χορηγοῦντα· πέφυκε δὲ καὶ τάφος ἀψευδής, διακατέχων ὀστᾶ Ἀρτεμίου τοῦ μάρτυρος, τοῦ συντρίψαντος τὴν τοῦ ὄφεως κεφαλήν, Ἀρτεμίου τοῦ μετὰ θάνατον παντὶ ᾀδομένου καὶ ἀνυμνουμένου καὶ τοῖς πέρασι γνωριζομένου διὰ τοῦ ἐνισχύοντος αὐτὸν Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν.

3 πόσσοι C  4 πόσσαισ C || καλοπίζει C  9 ἁπλὸσ C || παραμέσοσ C  12 ρίθρων καὶ ἐπιπολαζῆ C  15 μεταδίδοσιν C || αὕτη ἡ *: αὐτὴν C || ἡγίαστε  17 αὕτη ἡ *: αὐτήν C  21 ἀρύεται *: ἄρευται C || λειμπάνει C  23 ἀπινῶν C  24 ἀπωδιώκεται C  28 ἐκπλῖττει C || μειζώνοσ C  30 βοθείζει C



1 χαλαιποτάτουσ. ἀποσωβεῖ C  2 φθώνον C  4 ρώσησ C  7 χωρηγοῦντα C  9 ἀρτειμίου C

(Θαῦμα) λε´. (Γ)εώργιός τις ὀνόματι, τῷ γένει Ῥόδιος καὶ ἐν αὐτῇ τῇ Ῥόδῳ κτῆσιν κεκτημένος, ὧν καὶ ναύκληρος ἰδίου πλοίου, ἔχων καὶ δύο υἱούς· οὗτος ἐκ χρόνων ἱκανῶν ἦν καταβαρής, πάσχων τοὺς δύο αὐτοῦ διδύμους. καταπλεύσαντος δὲ αὐτοῦ ἐν τῇ πανευδαίμονι μετὰ τῶν αὐτοῦ δύο τέκνων, ἦλθεν εἰς τὰς ἀκοὰς αὐτοῦ περὶ τῶν θαυμάτων τοῦ ἁγίου μάρτυρος Ἀρτεμίου, καὶ μετὰ τὸ ἐκβαλέσθαι αὐτὸν λέγει τοῖς υἱοῖς αὐτοῦ· "Φέρετέ μοι σιταρχίαν τὴν ἀρκοῦσάν μοι εἰς τὸν ἅγιον Ἀρτέμιον, τοῦ προσπαραμεῖναι, καὶ ὑμεῖς ἐκπορίσατε". καὶ ποιήσαντες τὸν πατέρα ἀνέπλευσαν εἰς τὰ ἴδια. χρόνου δὲ διαδραμόντος, ἐμβαλόμενοι πάλιν κατέπλευσαν καὶ ἀπῆλθον πρὸς τὸν πατέρα αὐτῶν καὶ ηὗρον αὐτὸν οὕτως ἐν τῇ ταὐτότητι. ἐκβαλόμενοι δὲ καὶ εὐτρεπῆ ποιήσαντες εἰς τὸ ἀποπλεῦσαι, λέγουσιν τῷ πατρί· "Τί σοι παρίσταται; ἀναπλέεις μεθ' ἡμῶν"; ὁ δὲ λέγει αὐτοῖς· "Φέρετέ μοι δαπάνας· ὧδε γὰρ θέλω εἶναι, ὅπως ὁ θεὸς διὰ τοῦ ἁγίου αὐτοῦ μάρτυρος ἰάσηταί με· ὑμεῖς δὲ ἀναπλεύσατε τὸν θεὸν ἔχοντες βοηθόν". εἶτα ἀπέπλευσαν δύο καὶ τρεῖς καθόδους καὶ κατέπλευσαν. ταῦτα ἐπὶ δύο ἔτη. λέγουσιν αὐτῷ τῇ τρίτῃ καθόδῳ· "Ἀναπλέεις, πάτερ, ἢ ὧδε μένεις"; ὁ δὲ λέγει αὐτοῖς· "Τέκνα μου, αἱ ἁμαρτίαι μου

13 καὶκέκτημένοσ, ὧν C  14 κατοβαρῆσ C  18 φερεταί C  20 ἐκπορίσαται C  21 ἐμβαλλόμενοι C  22 αὐτῶν *: αὐτὸν C  23 τηταυτό.ν.τητι. ἐκβαλλόμενοι C  24 τίσ ὁι C  25 φερεταί C  27 ἀναπλεύσαται C  28 δεὶσ καὶ τρεῖσ C

ἐμποδοί μου γίνονται καὶ οὐκ εἰμὶ ἄξιος ὑγείας τυχεῖν πρὸς τὰς πράξεις μου· ἀλλ' ἐπειδὴ ἐκεφαλάργησα τοὺς ἁγίους καὶ τὸν ναὸν τοῦτον ἐμόλυνα καὶ τὸν κλῆρον ἐσίανα, φέρετέ μοι τὰ πρὸς τὴν χρείαν, ἵνα ποιήσω μετὰ πάντων αὐτῶν ἀγάπην, καὶ ἐκπορίζω μεθ' ὑμῶν". ἐστοιχημένων τούτων, γέγονεν τὸ ἄριστον. προτρέπονται τὸν κλῆρον πάντες κατάστυγνοι, ὅτι ὁ νοσῶν ναύκληρος ἄπρακτος ἀναχωρεῖ. ὁ κλῆρος τί εἰπεῖν ἠμηχάνει· ἀριστούντων τε αὐτῶν, παρῄνει ὁ κλῆρος μὴ ῥαθυμῆσαι αὐτόν· ἱκανοὺς γὰρ ὁ ἅγιος μετὰ τὸ χρονοτριβῆσαι καὶ ἀποδημῆσαι ἐπεσκέψατο κατὰ θάλασσαν καὶ εἰς τοὺς οἴκους αὐτῶν. τούτων λαλουμένων, μέσον τοῦ ἀρίστου ἔτυχεν τὸν νοσοῦντα νυχθέντα ἐκ τῆς γαστρὸς ἐπείγεσθαι καὶ καθίσαι εἰς χρείας· καὶ λέγει τοῖς συγκαθημένοις αὐτῷ· "Δέσποτα, συγγνώμην". καὶ ἀναστὰς ἐξῆλθεν εἰς τὰ κοινά· εἰσὶν δὲ ζοφώδη. καθεσθέντος οὖν αὐτοῦ, ηὗρεν ἐν αὐτοῖς καθήμενον ἄνδρα κατάστυγνον, ὃν ὑπελάμβανεν κατὰ τὸ δοκοῦν αὐτῷ ἕνα τινὰ εἶναι τῶν πρὸς τὸ ἰαθῆναι παραμενόντων, καὶ ἤρξαντο συντυχίαν ἐπιτείνειν πρὸς ἑαυτούς. ὁ δὲ εὑρεθεὶς ἐν ταῖς χρείαις λέγει τῷ ναυκλήρῳ· "Τί περισπᾶται ὁ λογισμός σου"; ὁ δὲ ἔφη, ὅτι "Δύο χρόνους ἔχω προσκαρτερήσας καὶ ἐκ τῶν ἁμαρτιῶν μου ἀπέρχομαι κατῃσχυμμένος". λέγει αὐτῷ· "Καὶ οὐχ ηὗρες διαφορὰν ἐν τοῖς δυσὶν χρόνοις"; λέγει ὁ ναύκληρος· "Οὐχί, ἀλλ' ὡς ἦλθον, οὕτως ἀναχωρῶ καὶ ἀπέρχομαι". ὁ δὲ λέγει αὐτῷ· "Κἀγὼ πρὸ ὀλίγου τινὸς ἦλθον ὧδε· ὅμως ἄφες ἴδω τοὺς διδύμους σου, εἰ εἰσὶν μείζω τῶν ἐμῶν ἢ ἧττον· ἀλλὰ μὴ αἰδεσθῇς με". ὁ οὖν τόπος, ἐν ᾧ εἰσιν αἱ χρεῖαι, ὑποσκότεινός ἐστιν. λέγει ὁ ναύκληρος τῷ σὺν αὐτῷ καθημένῳ· "Ἐπίδος μοι τὴν χεῖρά σου καὶ ψηλάφησον, μόνον εὐφυῶς, ὅτι ὀδυνῶμαι αὐτούς". κρατήσας οὖν ὁ ναύκληρος τῇ ἑαυτοῦ χειρὶ τῆς χειρὸς τοῦ σὺν αὐτῷ, ὁδηγεῖ αὐτὴν κατὰ τῶν διδύμων αὐτοῦ· ὁ δὲ ἔπηξεν τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, ὥστε πονέσαντα τὸν ναύκληρον μεγάλῃ τῇ φωνῇ ἀνακράξαι ⟨καὶ⟩ εἰπεῖν· "Ὦ ἄνθρωπε, τί ἐποίησας; ἐφόνευσάς με καὶ

1 ὑγίας C 2 ἀλλεπιδὴ ἐκεφαλἄργισα C 3 φερεταίμοτὰ C 4 χρίαν C 10 τούτων *: τοὺς τῶν C 11 ἐπίγεσθαι C 17 ἐπιτίνειν C || ταισχρίαισ C 20 οὐκ ἦρε C 22 οὗτος C 24 μῖζω C || ἐδεσθεισμαι C 25 ὑποσκότινος C 26 χεῖραν C 27 εὐφυῶς (cf. p. 66,15)*: ἀφυῶς C 28 ὀδηγῆ C 31 καὶ pr. inserui



τοῖς ὄνυξίν σου ἔπληξάς με. οὐαί μοι τῷ παναθλίῳ· οὐκ ἤρκει μοι τὸ ἕν, ἀλλὰ καὶ δύο κακὰ ἐπῆλθόν μοι· ἐπὶ ἐμοῦ πληροῦται. ἐπάνω τῆς κήλης καὶ ἐνδοσθίων τίς σοι ἦν χρεία σφίγξαι σου τὴν χεῖρα καὶ πῆξαι οὕτως ἀγρίως, ἵνα ὀδυνήσῃς μοι"; καὶ ταῦτα λέγων καὶ ὑπολαβὼν ὅτι ἐπλήχθη κατὰ ἀλήθειαν, ἐγείρεται τομῶς οἰμώζων καὶ ἔστη εἰς τὸ φῶς καὶ κατενόει ἰδεῖν τὴν πλῆξιν καὶ τὰ αἰδοῖα αὐτοῦ, ἐν ποίοις εἰσίν, καὶ βλέπει ἑαυτὸν ὑγιῆ ὡς μηδεν ἐσχηκότα κακόν ποτε. καὶ ὡς ἀνθυποστρέφει ἰδεῖν αὐτόν, οὐδένα ηὗρεν καθήμενον. τότε ἐπιγνοὺς τοῦ θαύματος τὸ μυστήριον, ὅτι ὁ ἅγιος Ἀρτέμιος ἦν ὁ ταῦτα πεπραχώς, ἀπὸ τῶν χρειῶν τοῦ τόπου μέχρι τῆς ἁγίου σοροῦ τρέχων ἔκραζεν· "Δόξα σοι, ὁ θεὸς τοῦ ἁγίου Ἀρτεμίου". οἱ οὖν ἀναμένοντες αὐτὸν ἀριστηταὶ ἀκηκοότες τὴν κραυγὴν ἐῶσιν τὴν τράπεζαν καὶ ἔδραμον πρὸς αὐτόν· καὶ ἐρωτώντων αὐτῶν δι' ἣν αἰτίαν κράζει, ἀπήγγειλεν αὐτοῖς ὁ ἰαθεὶς ναύκληρος κατὰ τὰ προρρηθέντα πάντα, καὶ ἦν λοιπὸν τὸ συμπόσιον αὐτῶν ἑορτὴ πεπληρωμένη θαυμάτων. τῇ οὖν ἐπαύριον ποιήσας λειτουργίαν πρὸς τὸ δυνατὸν αὐτῷ προσήγαγε τῷ μάρτυρι, καὶ συνεστιαθεὶς τῷ ἱερῷ κλήρῳ, ἀπάρας τῶν ἐκεῖσε, ἀνέπλευσεν σὺν τοῖς δυσὶν αὐτοῦ υἱοῖς εἰς τὰ ἴδια χαίρων καὶ ἀγαλλιώμενος καὶ τὰ παράδοξα, ἃ ποιεῖ ὁ Χριστὸς διὰ τοῦ ἀγαπητοῦ αὐτοῦ μάρτυρος Ἀρτεμίου, πᾶσιν ἐξηγούμενος, τὸ συμπαθητικὸν αὐτοῦ, τὸ μετριοπαθές, τὸ συγκαταβατικόν, δοξάζων τὸν δοξάσαντα αὐτὸν Χριστὸν τὸν θεὸν ἡμῶν, τὸν ἐν ἐλέει πλούσιον καὶ ἀγαθὸν πρὸς τὸ οἰκτείρειν καὶ σῴζειν πάντας τοὺς ἐπικαλουμένους αὐτόν.

⟨*Θαῦμα*⟩ λς̅. Τὶς γυνὴ ὀνόματι Σοφία ἔσχεν υἱὸν ὡς ἐτῶν ἐννέα ὀνόματι Ἀλέξανδρον, ὃν ἔτυχεν αἴφνης καταβαρῆ γενέσθαι· καὶ πασχούσης αὐτῆς τὰ σπλάγχνα διὰ τὸ τέκνον, προξενεῖται αὐτῇ τις ἰατρὸς λέγων αὐτῇ· "Τί θέλεις μοι δοῦναι, καὶ ἀποκαθιστῶ ὑγιῆ τὸν υἱόν σου". ἡ δὲ λέγει· "Ταπεινή εἰμι, ὅμως πρὸς

3 ἐνδοσθίων *: ὀδοθίων C || τίσοιἦνχρία C 5 ὑμώζων C || 6 ἔστη *: ἔέτη C || καὶ κατενόει *: καίτενόει C 7 αἰδύα C || εμποίοισ C 8 ἐσχηκωτα C || ὡς ἀνθυποστρέφει *: ωσαν τύποσ τρέφη C 9 ἐπιγνοὺς *: ἐπιγουσ C 13 ἀκηκωῶτεσ C 19 δυνσιν C 22 συνκαταβατικὸν C 23 ἡμῶν ἡμῶν C 24 οἰκτηρειν C 27 εφνήσ κατοβαρεῖ C 28 προξενῆται C 30 ταπινῇ C

τὸ δυνατόν μοι ἃς δώσω". ὁ δὲ ἐζήτει παρ' αὐτῆς δεκαδύο νομίσματα· ἡ δὲ διὰ τὴν ἀπορίαν ἀπεπέμψατο αὐτόν. προστρίβεται αὐτῇ ἕτερος ζητῶν ὀκτὼ νομίσματα, βεβαιούμενος καὶ αὐτὸς ἀποκαθιστᾶν αὐτὸν ὑγιῆ. τῆς δὲ μεθ' ὅρκων φρικωδεστάτων ἐξομνυμένης αὐτῷ, μὴ ἔχειν χρυσικὴν εἰκόνα ἢ εἶδος ἀργυρίου ἵνα δῷ, ἀνεχώρησεν. τινὲς οὖν ὑποτίθενται αὐτῇ περὶ τοῦ ἁγίου Ἀρτεμίου καὶ τῶν αὐτοῦ θαυμάτων· τῆς δὲ ἐπερωτησάσης τὸν τόπον, διερμηνεύουσιν αὐτῇ τὸ πολυθαύμαστον τοῦ Προδρόμου προφητεῖον, ἔνθα ⟨τὰ⟩ τοῦ ἁγίου πανσέπτου ⟨μάρτυρος⟩ κατάκειται λείψανα. ἀπέρχεται οὖν μετὰ τοῦ παιδός, ποιεῖ τὰ ἐν ἔθει, προσπαραμένει τῷ ἁγίῳ. ὅστις παῖς Ἀλέξανδρος ἐν τῷ διάγειν αὐτὸν ἐκεῖσε ἐπὶ τῷ ἰαθῆναι ἱκανῶς ὑπούργησεν ἐν τῷ καιρῷ τῆς συνάξεως ἤγουν ἑορτῆς τοῦ ἁγίου μάρτυρος εἴς τε τὸ κρεμάσαι κανδήλας καὶ ὕδωρ ἐπιδοῦναι καὶ ἑτέρας χρείας. ἐν μιᾷ οὖν τῶν νυκτῶν φαίνεται αὐτῇ ὁ ἅγιος καὶ λέγει αὐτῇ· "Οἱ ἰατροὶ ἀπὸ δώδεκα καὶ ὀκτὼ νομίσματα ἐζήτουν σοι, ἵνα ἰατρεύσουσιν τὸ παιδίον σου· σὺ δὲ τί μοι θέλεις δοῦναι, ἵνα ὑγιάνῃ ὁ υἱός σου"; ἡ δὲ ἐν αὐτῷ τῷ ὕπνῳ ἀπελογήσατο μὴ εὐπορεῖν, λέγουσα "Οἰκτρὰ πραγματίδια ἔχω· πωλῶ αὐτὰ καὶ πρὸς ὃ ἰσχύω δίδωμι· μόνον ὑγιάνῃ, ὅτι μονογενής μοί ἐστιν καί εἰμι χήρα". ὁ δὲ ἔφη αὐτῇ· "Οὐδὲν θέλω παρὰ σοῦ, εἰ μὴ μόνον, ἐὰν ἔχῃ καλῶς ὁ υἱός σου, σύχνασον ἐν τῇ ἐνταῦθα ἐκτελουμένῃ παννυχίδι". ἡ δὲ ἐν αὐτῷ τῷ ὀνείρῳ ἐδόκει αὐτῷ ὀμνύειν μέχρι βίου αὐτῆς μὴ ἀπαναχωρῆσαι τῆς ὑμνῳδίας τοῦ Προδρόμου. καὶ μετὰ ταῦτα λαβόμενος τοῦ παιδὸς ὁ φαινόμενος αὐτῇ ἀνὴρ καὶ κουφίσας ἅπερ ἐνεδιδύσκετο ἱμάτια, ἐπιτιθεῖ τὴν χεῖρα αὐτοῦ κατὰ τῶν διδύμων αὐτοῦ καὶ ἐπιδοὺς αὐτὸν εἰς τὰς χεῖρας αὐτῆς εἴρηκεν αὐτῇ· "Ὁ πατὴρ τῶν ὀρφανῶν καὶ κριτὴς τῶν χηρῶν Χριστὸς ὁ θεὸς ἡμῶν, αὐτὸς αὐτὸν ἰᾶται· ἔχε αὐτόν· κεχαρισμένος σοί ἐστιν". ἡ δὲ διυπνισθεῖσα καὶ τὰ

---

1 ἀσδόσω C 5 ἔχην C ‖ ἢ, εἰδὸσ C 6 ἀνεχώρισεν C 8 προφητίον C 9 τὰ inserui ‖ πανσέπτου C, cf. p. 10 9 ‖ μάρτυρος inserui ‖ ἀ'πέρχαιοῦν C 10 πρὸσπαραμένειν C 11 ἐκεῖσαι C 12 εἰκανῶσ ὑπούργεισεν C 13 κραιμάσαι C 18 ἀπελογήσατω C 19 πολῶ C ‖ πρὸσωϊσχύω δῖδομη C ‖ μόνογενεῖσ C 20 χέιρα C 21 εἰμὶ C ‖ ἔχει 22 ὀνήρω ἐδώκει C 23 υμνοδῖασ C 25 κουφήσασ C 28 χειρῶν C 29 ἔχεέ C



τοῦ ὀνείρου καθ' ἑαυτὴν συμβαλοῦσα ψηλαφᾷ τὸ τέκνον καὶ ηὗρεν αὐτὸ ὑγιὲς ὡς ἀπὸ γεννητῆς, εὐχαριστοῦσα τῷ θεῷ καὶ τῷ μάρτυρι· καὶ πρὸς τὸ δυνατὸν αὐτὴ προσαγαγοῦσα τῇ ἐκκλησίᾳ, κατὰ τὴν τοῦ ἁγίου ἐπιτροπὴν κατέταξεν ἑαυτὴν ἐν τῇ ἐκεῖσε παννυχίδι, ἥτις καὶ περίεστιν· καὶ ὁ υἱὸς αὐτῆς γέγονεν μοναχὸς καὶ ἀποκρισιάριος τῆς μονῆς τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας Θεοτόκου τῆς ἐν τῇ Πηγῇ, καὶ εὐχαριστῶν δοξάζει τὸν πολυέλεον θεόν, τὸν διὰ τοῦ ἁγίου αὐτοῦ μάρτυρος ποιοῦντα θαύματα.

⟨Θαῦμα⟩ λζ. Ἄλλος τις ἀνὴρ ὀνόματι Ἀνδρέας, ὢν ὡς ἐτῶν τεσσαράκοντα, ἐξ ἁπαλῶν ὀνύχων ἀνατεθραμμένος ὑπὸ τὴν χεῖρα Ἰωάννου τοῦ θεοτιμήτου ἡγουμένου τοῦ πανσέπτου οἴκου τῆς ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου, τοῦ ὄντος ἐν τῇ Πηγῇ· οὗτος ὁ ῥηθεὶς Ἀνδρέας αἴφνης γέγονεν καταβαρὴς καὶ ἐθλίβετο ὁ ἡγούμενος περὶ αὐτοῦ, ὅτι ἦν αὐτῷ ἀναγκαῖος περὶ πάντα· ὅστις καὶ διὰ τὴν ἱκανότητα ἔντιμος αὐτῷ ἦν. ὁ οὖν ἡγούμενος ἐκ πολλῶν ἀκούσας περὶ τῶν θαυμάτων τοῦ ἁγίου, λοιπὸν δὲ καὶ πιστοφορηθεὶς ὑπὸ τοῦ προρρηθέντος Ἀλεξάνδρου τοῦ θεοφιλεστάτου διακόνου καὶ ἀποκρισιαρίου τοῦ αὐτοῦ σεπτοῦ οἴκου τῆς Θεοτόκου, τοῦ ὄντος ἐν τῇ Πηγῇ, ὅτε ἐνηπίαζεν, ἅπερ ἐθαυματούργησεν εἰς αὐτὸν ὁ ἅγιος, λέγει τῷ νοσοῦντι Ἀνδρέᾳ ὁ θεοφιλὴς ἡγούμενος· "Ἄπελθε εἰς τὸν ἅγιον Ἀρτέμιον καὶ αὐτός σε ἰᾶται· μεγάλη γάρ ἐστιν ἡ χάρις αὐτοῦ". ὁ δὲ ἔφη· "Οὐκ οἶδα, ποῦ ἀπελθεῖν". εἶχεν οὖν ὁ ἡγούμενος ἀνεψιὸν ἑαυτοῦ σύγκελλον, ὅστις ἐστὶν καὶ ἀποκρισιάριος τῆς αὐτῆς μονῆς καὶ διάκων, Πέτρος ὀνόματι, ἐν ἀληθείᾳ ὢν μοναχὸς καὶ περὶ τὰ θεῖα πνευματικός. ἐν μιᾷ οὖν αὐτοῦ τοῦ Πέτρου καὶ τοῦ ἡγουμένου καὶ Ἀνδρέου τοῦ νοσοῦντος τὰ αἰδοῖα δειπνούντων ἐν ὁμάδι, λέγει πάλιν τῷ Ἀνδρέᾳ· "Ἄπελθε εἰς τὸν ἅγιον Ἀρτέμιον καὶ εὐχαριστῆσαι ἔχεις τῷ θεῷ καὶ τῷ μάρτυρι". ὁ δὲ ἔφη μὴ γινώσκειν ποῦ ἀπελθεῖν. λέγει οὖν ὁ ἡγούμενος τῷ προσγενεῖ αὐτοῦ Πέτρῳ· "Ἀπάγαγε αὐτόν, ἀδελφέ, εἰς τὸν ἅγιον Ἀρτέμιον". ὁ δὲ χεῖλος πρὸς χεῖ-

---

1 ὀνήρου C 2 αὐτῶ ὑγιῆ C 10 ἐξαπαλλῶν C 11 θεοτιμῖτου C 13 ἔφνησ C ‖ κατὸβαρῆσ C ‖ ἔθλιβε τὸ C 15 εἰκανώτητα ἔντῆμος C 20 θεοφηλῆσ C 24 διακον C, an διάκονος? cf. l. 17 27 αἰδύα διπνοῦντων ἐνομαδῖ C 31 χῖλοσ πρὸσ χῖλοσ C

λος συνάψας καὶ τὰ ὄμματα μύσας καὶ τὴν κεφαλὴν δονήσας ἔμεινεν σιγερός, μηδὲν ἀποκριθείς. ὁ οὖν ἡγούμενος ἰδὼν αὐτὸν οὕτως σχηματιζόμενον καὶ μηδὲν ἀποκρινόμενον, ἐγνωκὼς τὸν διαλογισμὸν αὐτοῦ ἐκ τῶν σχημάτων ὧν εἶδεν αὐτὸν πεποιηκότα, ἐδειλίασεν, μήπως τι συμβῇ αὐτῷ πάσχειν ὅμοια τῷ νοσοῦντι. λέγει αὐτῷ· "Ἔνδος, μὴ μωρὰ λογίζου καὶ ἔξηχα πράγματα· εὐλογητὸς κύριος, σὺ αὐτὸν ἀπάγεις εἰς τὸν ἅγιον Ἀρτέμιον". ὁ δὲ διὰ τὴν εὐλογίαν τοῦ ἡγουμένου, ἣν ἐσφράγισεν, ἄρας τὸν τὰ αἰδοῖα ἀλγοῦντα καὶ τὰ πρὸς τὴν χρείαν ἀπῆλθεν σὺν αὐτῷ ἐν τῷ τοῦ Προδρόμου ναῷ. ἦν δὲ ἡμέρα τῆς ἀθλήσεως τοῦ ἁγίου καὶ θαυματουργοῦ Ἀρτεμίου. ποιοῦσιν τα ἐν ἔθει γινόμενα τῷ τόπῳ. τίθησιν τὴν στρωμνὴν αὐτοῦ ἐν τῷ βαπτιστηρίῳ, ὄχλου ὄντος ἐν τῷ ναῷ· καὶ ὁ μὲν ῥηθεὶς Πέτρος τὴν παννύχιον νύκτα ἀγρύπνως διετέλεσεν, ὁ δὲ νοσῶν Ἀνδρέας ἐν τῇ ἰδίᾳ στρωμνῇ ἀνακείμενος ἐτράπη εἰς ὕπνον καὶ ὁρᾷ τὸν ἅγιον κατ' ὄναρ ἐν σχήματι συγκλητικοῦ, ὡς τοῦ παλατίου, ὃν ἐδόκει ἀγαπητὸν εἶναι φίλον τοῦ ἡγουμένου αὐτοῦ, λέγοντα οὕτως αὐτῷ· "Σὺ ὧδε τί ποιεῖς; εἴασας τὴν τοιαύτην θεόρρυτον πηγὴν καὶ τὴν ἐν αὐτῇ πηγάζουσαν πάντων τὰς ἰάσεις Θεομήτορα καὶ ὧδε κοιμᾶσαι"; ὁ δὲ ἐν αὐτῷ τῷ ὕπνῳ ἐδόκει ἀπολογεῖσθαι αὐτῷ καὶ λέγειν· "Ὁ φίλος σου, δέσποτα, ὁ ἡγούμενος, αὐτός με ἔπεμψεν ὧδε, ἵνα παραμείνω εἰς τὸν ἅγιον Ἀρτέμιον, ὅτι κινδυνεύω εἰς τὰ αἰδοῖά μου". καὶ λέγει αὐτῷ ὁ ἅγιος· "Κούφισον τὰ ἱμάτιά σου ἄνω· ἄφες ἴδω ὁποῖοί εἰσιν οἱ δίδυμοί σου". τοῦ δὲ ποιήσαντος οὕτως, ἥψατο αὐτῶν ὁ ἅγιος τῇ ἰδίᾳ χειρὶ εἰπών· "Ὁ ἐκ τῆς Θεοτόκου τεχθεὶς Χριστὸς ὁ θεὸς ἡμῶν, αὐτὸς ἰάσεταί σε". καὶ σὺν τῷ λόγῳ διυπνίσθη. ὁ οὖν Πέτρος ὁ σὺν αὐτῷ, μετὰ τὸ πληρῶσαι τὴν πάννυχον ὑμνῳδίαν, ἔθηκεν ἑαυτὸν πλησίον αὐτοῦ καὶ ἀπεκοιμήθη. ὁ οὖν Ἀνδρέας πρὸς τὴν ὀπτασίαν, ἣν εἶδεν, συνέβαλλεν ἑαυτῷ ἀνακρίνων τὰ τοῦ ὁράματος, καὶ ἐν τῷ λογίζεσθαι αὐτὸν ἐπιρρίπτει τὴν χεῖρα αὐτοῦ καὶ εὑρίσκει αὐτὰ ὑγιῆ, καὶ ἔγνω ὅτι ὁ ἅγιος αὐτῷ

2 σιγερὸς pro σιγηρός 3 σχϊματιζόμενον C 4 ἴδεν α. πεποικῶτα C 5 συμβεῖ C 9 χρίαν C 16 συγκλητηκοῦ, ὅσ C 17 οὔτ αὐτὸν C 18 θεόρυτον C 20 ἐδώκει ἀπὸ λογίσθαι C 21 ἔπεμψεν *: ἔμψεν C || παραμίνω εἰ C 22 κηνδυνεύω C 23 κούφησον C 29 ἴδεν C 30 ἐπιρίπτει C



ὡράθη καὶ ἐπεσκέψατο αὐτόν, καὶ ἀνακείμενος ἐδόξαζεν τὸν θεόν, τὸν δόντα τῷ ἁγίῳ αὐτοῦ τὴν τῶν ἰάσεων χάριν. ὁ οὖν μετ' αὐτοῦ Πέτρος διυπνισθεὶς οἴμωζεν ὀδυνώμενος τὰ αἰδοῖα, αὐτοῦ ⟨τοῦ⟩ Ἀνδρέα ἱλαρῶς εὐχομένου· καὶ λέγει αὐτῷ· "Τί ὁμιλεῖς καθ' ἑαυτόν; πῶς ἔχεις; πῶς βλέπεις ἑαυτόν"; ὁ δὲ ἔφη· "Ἐν ὀνόματι τοῦ θεοῦ καὶ τοῦ ἁγίου αὐτοῦ μάρτυρος Ἀρτεμίου καλῶς ἔχω". καὶ ἀφηγεῖται αὐτῷ τὰ τῆς ὀπτασίας. ὁ δὲ εἶπεν· "⟨Ναὶ μὰ⟩ τὸν θεόν, ἀλήθειαν λέγεις". εἶπεν δὲ αὐτῷ ὁ πρὶν ἀσθενής· "Ναὶ μὰ τὸν θεόν, καλῶς ἔχω". ὁ δὲ θέλων πιστωθῆναι ἔφη· "Ἄς ἴδω τοὺς διδύμους σου". καὶ δείκνυσιν αὐτῷ, καὶ ἰδὼν ἐξέστη. δείκνυσιν αὐτῷ κἀκεῖνος τὰ ἴδια καὶ ἦσαν ὄγκωσιν ἔχοντα. κατεπλάγη ἐπὶ τῇ οὕτως ἀθρόᾳ τῶν ἀμφοτέρων μεταβολῇ, καὶ παραχρῆμα ἀναμνησθεὶς τῆς ἀμφιβολίας ἧς ἔσχεν ἐν τῷ δείπνῳ παρὰ τῷ ἡγουμένῳ, πρὶν ἐλθεῖν αὐτοὺς πρὸς τὸν ἅγιον, ἐγείρεται τομῶς ἐξ ἧς ἀνέκειτο στρωμνῆς, καὶ ἀπὸ τοῦ ἁγίου φωτιστηρίου μέχρι τῆς ἁγίας σοροῦ τοῦ μάρτυρος ὀξέως βαίνων ἥπλωσεν ἑαυτὸν εἰς τὸ ἔδαφος ἐξομολογούμενος τῷ ἁγίῳ σὺν δάκρυσιν καὶ λέγων· "Ἥμαρτον, δέσποτα, ⟨εἰς⟩ τὸν θεόν, τὸν δεδωκότα σοι τὴν χάριν τῶν ἰαμάτων, ἔπαρον ἀπ' ἐμοῦ τὸ γέλοιον τοῦτο". ἐπὶ ἱκανὴν οὖν ὥραν κείμενος καὶ αἰτῶν τὸν ἅγιον, ἀναστὰς ἐκ θείας τινὸς προνοίας ἤλειψεν τὰ αἰδοῖα αὐτοῦ ἐκ τῶν ἀπτουσῶν ἐν τῇ σορῷ κανδηλῶν, καὶ παραυτίκα ἐδραπέτευσεν η πᾶσα τῶν διδύμων αὐτοῦ φλεγμονὴ καὶ ἀπεκατέστη ὑγιής· καὶ ἄμφω τὰ τοῦ ἁγίου θαύματα μεγαλύνοντες ἀπῆλθον, εὐχαριστοῦντες τῷ θεῷ καὶ τῇ τοῦ ἁγίου μάρτυρος θαυματουργίᾳ, πᾶσιν ἀναγγέλλοντες τὴν εὐκατάνυκτον μετριοπάθειαν, ἣν ἐπιδείκνυται τοῖς εἰς αὐτὸν καταφεύγουσιν.

*Θαῦμα λη.* Παῖς τις ὡς ἐτῶν ἐννέα ἀναγνώστης γεγονὼς τοῦ πολλάκις εἰρημένου ναοῦ τοῦ ἁγίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου τῆς Ὀξείας, ὀνόματι Γεώργιος, τὸ ἐπίκλην Κουτάλης,

1 ὁράθη C 3 ὕμωζεν C || αἰδύα C || τοῦ inserui 4 ἰλαρὸσ C || ὁμηλεῖσ C 5 ἔφυ C 7 ἀφηγῆται C || Ναὶ μὰ inserui; cf. l. 8/9 8 ἀσθενεῖσ C 10 δίκνυσιν C 11 ἠσανώγκωσιν C 12 ἀθρώα C 13 δίπνω C 15 φωτηστηρίου C 16 μέχρη C 18 εἰς add. Kurtz 20 ἐπιεῖκανῆν C 22 κανδήλων C || παρ'αυτήκα C 23 ἀπεκατέστη pro ἀποκατέστη 26 ἐπειδείκνυται C 30 ὀξίασ C

ἔχων γονεῖς διὰ τοῦ χρυσοκαταλλακτικοῦ καὶ σημαδαρικοῦ πόρου μετερχομένους, ἐξεπαιδεύετο παρ' αὐτῶν τὴν τοιαύτην πραγματείαν καταμαθεῖν, τῶν τε ζυγίων καὶ ἐξαγίων τὴν ἀκρίβειαν καὶ ὅση ἐν τούτοις τεχνικὴ ἐπινενόηται αὐτοῖς μέθοδος. οὗτος οὖν, εἰ καὶ παῖς ἐτύγχανεν, ἀλλ' οὖν γηραλέῳ τῷ φρονήματι ἐγνωκὼς τὴν ματαίαν αὐτῶν αἰσχροκέρδειαν καὶ τὴν τῶν ζυγίων βαρυσταθμίαν καὶ τὴν τῶν τόκων ἀπληστίαν καὶ τὴν τῶν ἐνεχύρων ἀδιάκριτον πολυτοκίαν ὑπεχώρησεν ἡσύχως ἐκ τῆς τῶν γονέων ψυχοβλαβοῦς παιδαγωγίας καὶ ἦν προσπελάζων τῷ ναῷ τοῦ Προδρόμου. πολλῆς οὖν κινήσεως γενομένης ἐκ τῶν γονέων, ἴσχυσαν βίᾳ σχεδὸν ἀπαγάγαι αὐτὸν εἰς τὰ ἴδια· καὶ μετ' ὀλίγας ἡμέρας περιπίπτει εἰς ἀσθένειαν ὁ αὐτὸς Γεώργιος, ὥστε καὶ τὰ αἰδοῖα αὐτοῦ ὀγκωθῆναι καὶ θανάτῳ προσομιλῆσαι. ἄγουσιν αὐτὸν οἱ γονεῖς ἐν τῷ ναῷ τοῦ Προδρόμου παραμεῖναι τοῖς ἁγίοις, καὶ ποιήσαντες τὰ ⟨ἐν⟩ ἔθει, ἀφέντες αὐτὸν ἀνεχώρησαν, καταλιπόντες αὐτὸν ἐκεῖσε τεσσαράκοντα ἡμέρας. ὁ οὖν φιλάνθρωπος θεός, ὁ τὰ βάθη τῶν καρδιῶν ἐπιστάμενος, ἐπένευσεν ἐπ' αὐτῷ· καὶ τῇ τριακοστῇ καὶ ὀγδόῃ ἡμέρᾳ, κοιμωμένου αὐτοῦ ἐν τῷ ἀριστερῷ ἐμβόλῳ, ὁρᾷ ἐν τῷ ὕπνῳ αὐτοῦ ὥσπερ ἐξιόντα ἐκ τοῦ θυσιαστηρίου τὸν ἅγιον Ἀρτέμιον καὶ ὄπισθεν αὐτοῦ τὸν Πρόδρομον μηλωτὴν ἐνδεδυμένον· καὶ κατόπισθεν ἀμφοτέρων ὡς ἀπὸ βημάτων τριῶν τὴν ἁγίαν Φεβρωνίαν καὶ ὡς πρὸς τιμὴν τοῦ Προδρόμου προηγούμενον ἔμπροσθεν τὸν ἅγιον Ἀρτέμιον ὡς ἀπὸ ἑνὸς βήματος. καὶ ὡς ἐξῆλθον τὰ κάγκελλα, τὰ πλησίον τοῦ σκευοφυλακίου, καὶ διήρχοντο τὸν ἔμβολον, ἔνθα οἱ νοσοῦντες ἀνέκειντο, παριὼν ὁ Πρόδρομος τὸ βλέμμα αὐτοῦ πρὸς ἕκαστον ἔπεμπεν. ὅτε δὲ συνεπλησίασεν τῇ στρωμνῇ, ἐφ' ἧς ὁ ῥηθεὶς κατέκειτο Γεώργιος, ἔστη· ὁμοίως καὶ ἡ τὰ μοναχικὰ φοροῦσα ἀπέστη τοῖς αὐτοῖς τρισὶ βήμασιν ἑστῶσα· καὶ τοῦ ἁγίου προκύψαντος ἐκ τοῦ τόπου, οὗ ἦν ὁ Πρόδρομος ἑστηκώς, ἐφώνησεν τὸν ἅγιον, " Ἴθι ὧδε, ἀδελφὲ Ἀρτέ-

1 χρυσοκαταλλακτηκοῦ C 2 ἐξεπεδέυετο C 4 ούτωσ ὀῦνει C 5 γηραλαίω C 6 ἀισχροκέρδίαν C 7 τόκον C 10 κεινήσεως C || ἴσχυσα C 12 ασθένϊαν C 13 ὤγκωθῆναι C || προσωμϊλῆσαι C 15 ταἔθει C || καταλειπόντεσ C 16 τεσσαράκον C 17 ἐπιένευσεν C 18 ὀγδώη C 28 ταμοναχηκὰ C 29 προκύψαντος*: προκόψαντος C 30 ἐφώνϊσεν C



μιε ", εἰπών· ὁ δὲ ὀξέως ἐπλησίασεν αὐτῷ καὶ λέγει αὐτῷ· " Περὶ τούτου ἦν ἡμῖν ὁ λόγος· ἄξιός ἐστιν ἐλέους τυχεῖν ". καὶ ἐκτείνας ὁ ἅγιος τὴν χεῖρα αὐτοῦ καὶ ἀρξάμενος ἀπὸ τῆς κεφαλῆς αὐτοῦ τοῦ νοσοῦντος μέχρι τῶν ὀνύχων τῶν ποδῶν αὐτοῦ ἐποίησεν τὸν τίμιον σταυρὸν καὶ εἶπεν· " Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ἀληθινὸς θεὸς ἡμῶν, αὐτὸς ἰᾶται αὐτὸν ταῖς εὐχαῖς ἡμῶν ". καὶ ἐπὶ τούτοις ἀποβηματίσαντες κατῄεσαν ὡς ἐπὶ τὸν νάρθηκα. ἔξυπνος δὲ γενόμενος ὁ νοσῶν Γεώργιος καὶ πρὸς τὸν ὄνειρον ἐν ἑαυτῷ γενόμενος ψηλαφᾷ ἑαυτὸν καὶ ηὗρεν ὅλον τὸ σῶμα αὐτοῦ ὑγιῆ ὄντα· ἦν δὲ ἰδεῖν τὸν ἀκίνητον ἐξαλλόμενον καὶ ἀποτρέχοντα καὶ τῷ σωτῆρι Χριστῷ εὐχαριστοῦντα καὶ τοῖς αὐτοῦ ἁγίοις, ὡς τοιαύτης καὶ τοσαύτης χάριτος καὶ θείας ἐπισκέψεως ἠξιωμένος. τί ἐρεῖς, ὦ Ἰουδαίων ἔθνος, ὁ σταυρὸν Χριστῷ τεκτονεύσας, ὁ ἐμμανῶς παρὰ Πιλάτῳ κράξας " Ἆρον, ἆρον, σταύρωσον αὐτόν "; ὃν σὺ ἐτεκτόνευσας σταυρὸν ἐπὶ τῷ ὀλέσκειν, αὐτὸς ὑπὸ Ἀρτεμίου ἐντυπούμενος ζωοποιεῖ. πῶς, ἀσπιδόγονε, δι' ὃν ἔκραξας Πιλάτῳ " Ἆρον, ἆρον, σταύρωσον αὐτόν ", αὐτὸς ὑπὸ Ἀρτεμίου ἐπικικλησκόμενος ἀνθρώπους τάφῳ γειτνιῶντας ἀνιστᾷ; πῶς ὁ Χριστοῦ βαπτιστὴς καὶ ὁ θαυματουργὸς Ἀρτέμιος ἅμα τῇ καλλινίκῳ μάρτυρι Φεβρωνίᾳ τῇ τοῦ Χριστοῦ προσηγορίᾳ ἐκ θανάτου ἀποσπῶσι τοὺς ὑπὸ Ἅδου κατεχομένους; οὐ φέρεις εἰπεῖν αἰσχύνῃ καλυπτόμενος; Ἀρτέμιος ἀνακαλύπτει τὰ σὰ καὶ διὰ τῶν σῶν σὲ μυκτηριεῖ, σὲ ἐδαφιεῖ, σὲ μαστιγοῖ ἀδηλώτοις μάστιξιν, σὲ κατατιτρώσκει· καὶ οὐκ αἰσθάνει. ἀλλ' Ἰουδαίους οἰμώζειν ἐάσαντες ἐπὶ τὰ τοῦ μάρτυρος ἀναδράμωμεν.

*Θαῦμα λθ.* Ὁ αὐτός, ὁ προρρηθεὶς Γεώργιος, ἡνίκα τῆς τῶν ἁγίων ἔτυχεν ἐπισκέψεως, συνεχρωτίζετό τινι μοναχῷ διάγοντι εἰς τὴν Πλατεῖαν νῆσον, ⟨ἐν ᾗ⟩ τιμᾶται ἡ δέσποινα ἡμῶν ἡ Θεοτόκος καὶ οἱ ἅγιοι Τεσσαράκοντα Μάρτυρες. τούτῳ θαρρεῖ τὰ περὶ αὐτὸν Γεώργιος καὶ τὰ περὶ τῶν τεκόντων, καὶ ᾔτει ἐλευθερῶσαι

6 ἀληθεινὸσ C 6 ὑμῶν C 7 ἀποβηματήσαντεσ. κατίσαν C || τὸνἄρθηκα C 8 ονήρον C 12 ἐέξιωμενοσ C 13 ἐρεῖ C 14 σταυροσον C 15 ὠλέσκειν C 17 σταυροσο᾽ C 18 γιτνϊόντασ C 23 μοικτιριῆ,σὲέδαφιν C || μαστηγοῖ C || ἀδηλωτοῖσ μαστηξιν C || κατὰ τιτρόσκει C 24 ὑμώζειν C 26 προρηθεῖσ C 27 συνεχρωτίζετο *: συνεχρώτασἔντινι C 28 πλατίαν C || ἐν ᾗ inserui 29 θαρεῖ C 30 ἦτι C

αὐτὸν ἐκ τῶν βιωτικῶν· ὁ δὲ γνοὺς τὸν λογισμὸν αὐτοῦ καὶ ἑωρακὼς σεμνῶς αὐτὸν διάγοντα ἐρασμίως τε ἔχοντα μονάσαι, ἔλαβεν αὐτὸν ἐν τῇ νήσῳ εἰς τὰ ἴδια. οἱ οὖν γονεῖς περιεσπῶντο ζητοῦντες καὶ οὐχ ηὕρισκον αὐτόν. γνόντες δέ ποθεν τὸ ποῦ διάγει, περῶσιν πρὸς τὸ ἀφελεῖν αὐτὸν ὡς ἐν τῇ τοῦ Προδρόμου ἐκκλησίᾳ νηπιόθεν κατατεταγμένον· πολλά τε καὶ μυρία εἰπόντες αὐτῷ, τὸν παῖδα τῆς γνώμης οὐκ ἀνέκοψαν· ὥστε ἡττηθέντες εἴασαν αὐτὸν ἐν τούτῳ καὶ ἀνεχώρησαν. τοῦτον αὐτὸν ⟨τὸν⟩ Γεώργιον ὁ ἀνοσίᾳ τῇ μνήμῃ Σέργιος, ὁ ἐν τῷ ἀποστολικῷ θρόνῳ διατρίψας, πρόεδρος γεγονὼς ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως, χειροτονεῖ πρεσβύτερον, ὄντα ἐτῶν εἴκοσι δύο. οὗτος ⟨ὁ⟩ Γεώργιος, περὶ οὗ ὁ λόγος, ἠσθένησεν αἴφνης, περιπεσὼν πολλοῖς καὶ χαλεποῖς νοσήμασιν· καὶ πολλῶν ἀναγκαζόντων ἀποκομίσαι αὐτὸν ἐν τῇ πανευδαίμονι πόλει πρὸς τὸ παρὰ τῶν ἐκεῖσε ἰατρῶν ἐπιμελείας τυχεῖν, οὐχ εἵλετο, αἱρούμενος οὕτω μᾶλλον τεθνάναι ἐν τῇ νήσῳ ἤπερ ὑπέρ τινος ἀνθρωπίνης βοηθείας ἰατρείαν ὑπομεῖναι· μόνην δὲ τὴν τοῦ θεοῦ καὶ τοῦ ἁγίου μάρτυρος Ἀρτεμίου βοήθειαν ἐπὶ στόματος περιέφερεν, ἐκεῖ ἔχων τὰς ἐλπίδας. ὁ οὖν γινώσκων τῶν καρδιῶν τὰς ἐνθυμήσεις ἀποστέλλει πρὸς αὐτὸν τὸν αὐτοῦ θεράποντα Ἀρτέμιον· ὃς ἐλθὼν ἐν αὐτῇ τῇ νήσῳ, τῆς ἐπιλυχνίου ὑμνῳδίας τῇ ὥρᾳ ὤφθη τῷ νοσοῦντι ὀφθαλμοφανῶς ἐπιστὰς τῷ τόπῳ, ἐν ᾧ κατέκειτο, καὶ ἔφη αὐτῷ· "Ὑγίαινε". ὁ δὲ ἀντέφη· "Καλῶς ἤλθετε, δεσπόται", ὑπολαβὼν ἕνα αὐτὸν εἶναι τῆς ἱερᾶς συγκλήτου· καὶ ἐπηρώτα αὐτόν, πότε ἀνέβαλεν· ὁ δέ φησιν· "Τῇ ὥρᾳ εὐχῆς χάριν ἦλθον· ὅμως τί ἔχεις; τί ἀλγεῖς"; καὶ ὁ νοσῶν ἀπήγγειλεν αὐτῷ τὰ τῆς ἰδίας νόσου. εἴρηκεν δὲ αὐτῷ ὁ ὁραθεὶς αὐτῷ· "Ἄφες ἴδω τὰ σπλάγχνα σου· ἀκροθιγῶς γὰρ ἐπίσταμαι τὴν ἰατρικὴν καὶ βασιλικὸς ἰατρὸς ἀναγορεύομαι". καὶ ταῦτα λέγων σηκοῖ τὰ τοῦ νοσοῦντος ἱμάτια· ψηλαφῶν τε τὰ

---

2 ἀιρασμίωσ C   3 περιέσπόντων C   4 γνώντεσ C   6 νηπιωθέν C ‖ μοιρία C   7 εἴασαν *: ἔίσαν C   8 τὸν inserui   10 βασιλέιδοσ C   12 ἔφνησ C ‖ χαλαιποῖσ C   13 ἀποχομήσαι C   14 πανευδαιμονη C ‖ τῷ παρατῶνέκείσαι C   15 ὀυχἷλετο C   16 ἱατρίαν C   19 ἐνθυμείσεισ C   21 ὑμνοδίασ C   22 κατέκειτω C ‖ ὑγίενε C   24 πότε *: τότε C ‖ ἀνέβαλλεν C   25 ἤλθων C   26 νοσὸν C   27 ἀκροθηγῶσ C   28 βασιλειχὸσ C ‖ ἀναγορεύωμαι C



σπλάγχνα αὐτοῦ καὶ τὴν κοιλίαν φησίν· "Μηδὲν ῥαθυμήσῃς· ἐλπίζωμεν, ὅτι Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, εἰς ὃν ἀποβλέπεις, αὐτός σε ἰᾶται". καὶ ἐν τῷ ταῦτα φθέγξασθαι αὐτὸν ὥρμησεν εἰσιέναι ἐν τῇ ἐκκλησίᾳ· καὶ λέγει αὐτῷ ὁ νοσῶν· "Δέσποτα, ἂς ποιήσωμεν ἀγάπην". ἀντέφη ἐκεῖνος· "Ὧδε εἰμί· εἰσέρχομαι εὔξασθαι". εἰσερχομένου δὲ αὐτοῦ, προσκαλεσάμενος ὁ νοσῶν ἕνα τῶν σὺν αὐτῷ φησί· "Κάτελθε καὶ προσόρμισον τὸν κάραβον τοῦ ἀνθρώπου ἀσφαλῶς, καὶ φέρε μετὰ σοῦ τοὺς σὺν αὐτῷ συμπλεύσαντας". τοῦ δὲ ἀπερχομένου, τοῖς λοιποῖς ἀδελφοῖς εἴρηκεν· "Ποιήσατε ἐν εὐτρεπεῖ ἃ ἐχορήγησεν ὁ κύριος, ὅπως ἀγαλλιαθῶμεν μετὰ τῶν ἀνθρώπων τῶν προσβαλόντων ἡμῖν· ἐπειδή, πιστεύσατέ μοι, ἀδελφοί μου, πρόσπεινος ἐγενόμην". τῶν δὲ ἑτοιμαζομένων, κατέλαβεν ὁ πεμφθεὶς λέγων μηδένα εὑρηκέναι, οὐκ ἄνθρωπον, οὐ κάραβον. καὶ ὡς διερευνῶσιν ἰδεῖν οἱ πάντες τὸν εἰσελθόντα εὔξασθαι ἐν τῇ ἐκκλησίᾳ, ὑπὸ θείας προνοίας ἐξηγέρθη ὁ ἀκίνητος ὢν ἐρρωμένος κατόπισθεν αὐτῶν καὶ αὐτὸς διερευνῆσαι· καὶ ὡς πολλὰ ζητήσαντες οὐδένα ηὗρον, ἔγνωσαν οἱ πάντες ἐκ τῶν μυστηρίων τῶν θαυμάτων, ὅτι ὁ ἅγιος Ἀρτέμιος ἦν ὁ ὁραθεὶς αὐτοῖς· καὶ παρευθὺς σημάναντες τὸ ξύλον ἐποίησαν τὴν ἐπιλύχνιον δοξολογίαν, ἑορτάζοντες καὶ εὐχαριστοῦντες τῷ σωτῆρι τῶν ὅλων Χριστῷ ἐπὶ τοῖς θαύμασιν, οἷς διὰ τοῦ αὐτοῦ μάρτυρος Ἀρτεμίου εἰργάσατο καὶ ἐργάζεται παραδόξως.

***Θαῦμα μ.*** Ὁ αὐτὸς Γεώργιος μετὰ χρόνους δεκαοκτὼ διάκονος ὢν καὶ διαμένων ἐν τῇ νήσῳ τῇ λεγομένῃ Πλατείᾳ, ἔτυχεν αὐτόν, οἷα ἔθος ἐστὶν τοῖς μοναχοῖς, διακονεῖν περί τε ὑπουργίαν τῶν μοναζόντων, μάλιστα οἱ νέοι, ἔν τε κήποις καὶ οἰκοδομαῖς, λίθων παραγωγαῖς καὶ μαγειρίαις. συνέβη τοῦτον παρακομίζοντα λίθους μετὰ καὶ ἑτέρων μοναχῶν ἐν τῷ σηκῶσαι αὐτὸν λίθον καὶ ἐπιθεῖναι τὰ ἐντὸς αὐτοῦ* καὶ γενέσθαι ἐν αὐτοῖς μέγαν κτύπον καὶ ψόφον, ὥστε καὶ τοὺς παρόντας ἀκοῦσαι. ὀλι-

---

1 κοιλίαν *: κολῖαν C ‖ ραθυμεισησ C   4 εισῖναι C   7 πρόσὅρμησον C   9 συνπλεύσαντασ C   10 ποιήσαται ἐνευτρεπῆ ἃ ἐχωρήγησεν C   12 πιστεύσαταί C ‖ πρόσπινοσ C   13 ἐυρηκαίναι C   16 ἐρρομένοσ C   20 ἐωρτάζοντεσ C   22 ἠργάσατο C   24 πλατία C   25 ὁ ἰαωσέθοσ C ‖ διακονεῖ C   27 μαγηρίαισ C   29 ἐπιθῆναι C ‖ ἐντῶσ C   29 post αὐτοῦ aliquid excidit; an ταραχθῆναι?

χωρήσαντος δὲ αὐτοῦ καὶ πεσόντος κατὰ γῆς, βασταγμῷ ἀπήγαγον αὐτὸν ἐν τῇ μονῇ ἡμιθανῆ τυγχάνοντα. ἐκ γὰρ τῆς βίας καὶ ὁ ἀριστερὸς αὐτοῦ δίδυμος ἐξωγκώθη καὶ ἤλγει αὐτὸν ὀδυνηρῶς, καὶ ἦν ἐπὶ ἱκανὸν καιρὸν μένων ἄφωνος· καὶ ἦσαν οἱ ἐν τῇ μονῇ πρὸς ⟨τὸ⟩ ἐνταφιάσαι αὐτὸν εὐτρεπεῖς. καὶ δὴ ὀψέ ποτε ἀνανήψας καὶ οἰκτρᾶς τροφῆς μεταλαβὼν ἐτράπη εἰς ὕπνον καὶ ὁρᾷ τὸν ἅγιον Ἀρτέμιον ἐν σχήματι εὐειδοῦς ἀνδρός, νεοφανοῦς ἰδιωμένον τάξιν ὄντως ἰατροῦ καὶ ἐγγίσαντα τῇ κλίνῃ αὐτοῦ, ἐν ᾗ κατέκειτο, λέγοντα αὐτῷ· "Τί ἔχεις, διάκονε"; ὁ δὲ λέγει αὐτῷ· "Ἤθελον ἀπελθεῖν εἰς τὴν ἐκκλησίαν τοῦ ἁγίου Ἰωάννου ἐν τῇ Ὀξείᾳ καὶ προσκαρτερῆσαι τῷ ἁγίῳ Ἀρτεμίῳ, καὶ οὐ δύναμαι". καὶ ἀπεκρίθη ὁ ἐν σχήματι εὐειδοῦς ἀνδρὸς ὁρώμενος αὐτῷ· "Ἐγὼ ἐκεῖθεν ἦλθον δρόμῳ διὰ σέ· ὅμως ἄνω τὰ ἱμάτιά σου· ἄς ἴδω, τί ἔχεις". καὶ βαλὼν τὴν δεξιὰν αὐτοῦ χεῖρα ἔν τε τῇ κοιλίᾳ καὶ τῷ διδύμῳ, ᾧ ἤλγει, ὤθησεν εὐφυῶς ἐπὶ τὰ ἄνω τὸν ἀλγοῦντα αὐτοῦ δίδυμον καὶ ἐποίησεν ἐν αὐτῷ τὸν τίμιον σταυρόν, ὁμοίως καὶ ἐν τῷ ὑπογαστρίῳ αὐτοῦ. καὶ λέγει αὐτῷ· "Κἂν αὐτὸς οὐκ ἐδήλωσάς μοι, ὅτι νοσεῖς, ἀλλὰ οὖν ἐγὼ δι' ἑαυτοῦ ἦλθον πρὸς σέ". καὶ ἐδόκει ὁ νοσῶν προτρέπεσθαι αὐτὸν εἰς τὸ ποιῆσαι ἀγάπην καὶ λειτουργίαν, καθὼς ἔθος τοῖς μονάζουσιν. ὁ δὲ λέγει αὐτῷ· "Ἄρτι λειτουργῆσαι ἢ ποιῆσαι ἀγάπην οὐ δύναμαι, ὅτι πολλῇ σπουδῇ ἦλθον πρὸς σέ". τοῦ δὲ μοναχοῦ παραβιαζομένου αὐτὸν τοῦ μεῖναι, ἀπεκρίθη αὐτῷ λέγων· "Εὐωχία μεγάλη ἐστὶν σήμερον ἐν τῷ οἴκῳ τοῦ Προδρόμου· συναθροισμὸς πολὺς ἑορταζόντων καὶ οὐ δύναμαι μεῖναι, ἐπειδὴ καὶ τὸ ἀκάτιον, ἐν ᾧ ἔπλευσα καὶ ἦλθον ὧδε, ἀναμένει με". καὶ ταῦτα αὐτοῦ εἰρηκότος, ὥρμησεν μὲν αὐτὸς τοῦ ἐξιέναι, ὁ δὲ νοσῶν διυπνισθεὶς λέγει τοῖς ἀδελφοῖς, τοῖς πλησίον αὐτοῦ καθεύδουσιν· "Ἐγείρεσθε, κράξατέ μοι τὸν νεώτερον, τὸν ἐξελθόντα ἰατρόν, πρὸ τοῦ εἰσελθεῖν αὐτὸν ἐν τῷ ἀκατίῳ καὶ μέλλειν αὐτὸν ἀποπλεῖν". τῶν δὲ λεγόντων

1 ὀλιγωρήσαντοσ C  2 ἡμΐθανει C  3 ἐξ'όγκώθη C ‖ ὀδυνηρῶσ C  4 ἐπιέικανῶν καὶ ρὸν C  5 τὸ inserui ‖ ἀνανῖψας C  7 ἰδιωμένον con. Kurtz, ἰδρωμένον C  8 ἐγγήσαντα τῆ κλήνη C  10 ὀξία C  12 ὁρώμενάυτῶ C  15 ὤθεισέν C  19 προτρέπαισθαι C  25 μεῖναι, ἐπειδὴ *: μῖέπειδῆ C  26 ἀναμένε C ‖ εἰρηκώτοσ C  28 ἐγείρεσθαι κράξαται C  29 πρὸ τοῦ *: πρὸστου C  30 μέλειν C



"Οὐδεὶς εἰσῆλθεν ὧδε", αὐτὸς ἐπέτρεπεν ὀργίλως λέγων· "Δράμετε πρὸ τοῦ ἀποπλεῦσαι τὸ ἀκάτιον". τῶν δὲ δραμόντων ἕως τοῦ παραθαλασσίου, ηὗρον τὰς πόρτας ἀσφαλισμένας· ἀνοίξαντές τε αὐτάς, ἐξελθόντες οὐδένα εὗρον κατατυχεῖν ἐν αὐτῷ τῷ τόπῳ· ὡς ἀπὸ ὀλίγου δὲ διαστήματος ἁλιεῖς ἐθήρευον· οὓς ἐπηρώτων, εἰ εἶδον ἀνελθὸν ἀκάτιον ἢ ἐξελθόν· καὶ εἰρήκασι μηδένα ἑωρακέναι. οἵτινες ὑποστρέψαντες ἀπήγγειλαν ταῦτα αὐτὰ τῷ νοσοῦντι· ὁ δὲ νοσῶν κατὰ διάνοιαν λογισμῷ παλαίσας ἔγνω τὴν ἐπιστασίαν ἐν αὐτῷ γεγενῆσθαι τοῦ ἁγίου μεγαλομάρτυρος καὶ θαυματουργοῦ Ἀρτεμίου· καὶ ἱλαρὸς γεγονὼς καὶ γεγηθὼς ἐποίησεν λειτουργίαν· καὶ περὶ ὥραν πέμπτην ἐτράπη εἰς ὕπνον ὁ νοσῶν καὶ πάλιν ὁρᾷ τὸν αὐτὸν ἄνδρα κατὰ τὴν αὐτὴν ὁμοίωσιν, οἵαν τὸ πρώην, λέγοντα αὐτῷ· "Πῶς ἔχεις"; ὁ δὲ ἐδόκει λέγειν αὐτῷ· "Διὰ τῶν πρεσβειῶν τοῦ ἁγίου μάρτυρος Ἀρτεμίου εἰς τὸ κάλλιον ἔχω". καὶ ἔλεγεν αὐτῷ· "Ἀνεχώρησας, δέσποτα, καὶ οὐκ ἠνέσχου μεῖναι τὴν πρώτην κάθοδον". ὁ δὲ ἔφη αὐτῷ· "Οὐκ ἠδυνάμην μεῖναι, ὅτι σύναξις ἦν καὶ συνδρομὴ μεγάλη τοῦ ἁγίου Ἀρτεμίου, καὶ ἀνάγκη μοι ἦν πᾶσιν τρόποις ἐκεῖσε εὑρεθῆναι". καὶ τοῦτο εἰπὼν πάλιν ἐσφράγισεν αὐτὸν κατὰ τὴν προτέραν τάξιν τῷ τιμίῳ σταυρῷ· καὶ διυπνισθεὶς ηὗρεν ἑαυτὸν ὁλοτελῶς ὑγιῆ ὄντα, καὶ ἐπυνθάνετο παρὰ τῶν ἀδελφῶν, ὁποία ἡμέρα ἐστίν. καὶ ψηλαφήσαντες τὸ συναξογράφιν ηὗραν, ὅτι ἡμέρα τῆς ἀθλήσεως τοῦ ἁγίου Ἀρτεμίου, εἰκὰς τοῦ Ὀκτωβρίου μηνὸς ἦν· καὶ ἔγνω, ὅτι ὁ ἅγιος Ἀρτέμιος ἐπεσκέψατο αὐτόν, καὶ ηὔχετο λέγων· "Ὁ θεὸς τοῦ ἁγίου Ἀρτεμίου, ἀξίωσόν με καὶ τὰ ἅγια αὐτοῦ ἀσπάσασθαι λείψανα· καὶ ἤθελον δυνάμεως ἔχειν τοῦ μυρίσαι αὐτά". καὶ ταῦτα αὐτοῦ λογιζομένου, ὁρᾷ αὐτῇ τῇ νυκτὶ τὸν ἅγιον Ἀρτέμιον λέγοντα αὐτῷ· "Τί θέλεις ἰδεῖν τὰ ὀστᾶ μου καὶ δυσπιστίᾳ συνέχῃ; εἰ ἰδέσθαι αὐτὰ θέλεις, ἐλθὲ ὅπου κεκληρωμένος εἶ, καὶ θεωρεῖς αὐτά". ὁ δὲ ἔρχεται ἐν τῇ αὐτῇ ἑβδομάδι ἐν τῷ ναῷ τοῦ Προδρόμου.

1 ὀργήλωσ C ‖ δράμεται C  3 ἀσφαλισμένας pro ἠσφαλισμένας  5 ἐπειρώτον ἐι ἴδον C  6 ἑωρακαίναι C  8 παλέσασ C  9 γεγενεῖσθαι C  12 οἱαντῶ C  15 ἐνεχώρησασ C ‖ μίναι C  16 ὀυκὴ δυνήμῆν μῆναι C  19 εσφράγησεν C  21 ἐδελφῶν C  22 συνάξογράφην ἤραν C  23 ἡκὸστοῦ C  26 μυρῆσαι C  28 δυσπιστεία συνέχει, εἶ, ἴδεσθαι C  29 καὶ κληρομένοσ C  30 ἑβδομάδη C

ἦν οὖν παννυχίς, καὶ ἐν τῷ καθέζεσθαι αὐτὸν ἐν τῷ ἱερατείῳ ἀπεκοιμήθη καὶ ὁρᾷ δύο ἱερεῖς, οὓς ἐδόκει εἶναι τοῦ αὐτοῦ ναοῦ, ἐπιδόντας αὐτῷ κλειδὶν καὶ εἰπόντας· "Λάβε καὶ κάτελθε· ἄνοιξον, ὡς ἐπετράπημεν, καὶ ποίησον ὃ θέλεις εἰς τὰ λείψανα τοῦ μάρτυρος". ὁ δὲ λέγει· "Ἀπομυρίσαι αὐτὰ ἤθελον". καὶ ἐδόκει ἐν τῷ ὕπνῳ ἀνοίγειν τὴν σορὸν τοῦ ἁγίου Ἀρτεμίου· καὶ ἀνοίξας, ὡς ἐπιλαμβάνεται μυρίζειν, ὁρᾷ τὸν αὐτὸν ἄνδρα, ὃν ἐν τῇ νήσῳ ἦν ἑωρακώς (ὃς καὶ ἐπεσκέψατο αὐτόν), ἀνακείμενον καὶ ἀνακαθίσαντα, ὥστε τὸν ποτὲ νοσοῦντα θεασάμενον ἐκστῆναι καὶ εἰπεῖν αὐτῷ· "Τί ἓν κῦρι; πῶς ἦλθες ὧδε; οὐκ εἶ αὐτὸς ὁ ἰατρεύσας με ἐν τῇ νήσῳ"; καὶ εἶπεν· "Ναί· τοῦτο δὲ ἐποίησα, ἵνα πεισθῇς, ὅτι ἐνθάδε εἰμὶ καὶ ὧδε τὰς οἰκήσεις ποιοῦμαι".

*Θαῦμα μα.* Ἕτερος παῖς ὀνόματι Πολυχρόνιος, ὁ καὶ Στέφανος, ὢν ἐτῶν δεκαοκτώ, ἤλγησεν τὸν ἀριστερὸν αὐτοῦ δίδυμον ἐξαπίνης· καὶ περιφρονήσας ἑαυτοῦ, βαρήματα βαστάζων, χεῖρον ἔσχεν, ὥστε ὀγκωθῆναι τὸ αἰδοῖον αὐτοῦ πλείω. θαμβηθεὶς οὗτος, ὑπό τινων εἰσηγηθείς, ἀπῆλθεν ἐν τῷ προδηλουμένῳ τοῦ Προδρόμου ναῷ παραμεῖναι τῷ ἁγίῳ· ποιήσας τε τὰ ἐν ἔθει ἐν αὐτῇ τῇ ἡμέρᾳ περὶ ὥραν δεκάτην τῆς ἡμέρας ὠδυνήθη τὸν δίδυμον αὐτοῦ, ὥστε καὶ φωνὰς θρήνων ἀφιέναι αὐτόν, ἐξαιτούμενον τὸν ἅγιον ἐπισκέψασθαι αὐτόν. τούτου τὰς ὀδύνας ἀκούων ὁ προσμονάριος ἔφη αὐτῷ· "Ἐπὶ τὸ μέρος, ὃ ὀδυνᾶσαι, θὲς ἑαυτόν· ἴσως ὁ πόνος θραύει". ὁ δὲ οὕτως ποιήσας ᾔσθετο βραχέος πόνου, ὅτι ἐκουφίσθη. καὶ τῇ δευτέρᾳ νυκτί, κοιμωμένου αὐτοῦ πλησίον τῶν τοῦ σκευοφυλακίου θυρῶν, ὁρᾷ ἐν τῷ ὕπνῳ αὐτοῦ τὸν ἅγιον Ἀρτέμιον ἑστῶτα εἰς τὸ θυσιαστήριον ἔμπροσθεν τῆς ἁγίας τραπέζης, κατέχοντα ἐν τῇ δεξιᾷ αὐτοῦ χειρὶ ἰατρικὴν σμίλην χρυσῆν καὶ προσκυνήσαντα τὴν αὐτὴν ἁγίαν τράπεζαν καὶ (ὅτε ἀνένευσεν προσκυνήσας) ἐπιτεθεικότα ἣν ἐκράτει σμίλην ἐν τῇ αὐτῇ ἁγίᾳ τραπέζῃ καὶ πάλιν ἐπάραντα αὐτὴν καὶ ἐξελθόντα τό τε ἅγιον θυσιαστήριον καὶ τὸ κάγκελλον, τὸ πλησίον ὂν τοῦ

1 παννυχεῖσ C || ἱερατίω C  3 ἐπιδόταο C || κληδῆν C  5 ἀπὸ μυρῆσαι C  6 σωρῶν C  8 ἀνακαθήσαντα C  10 τὴνένκυρι C  11 πισθεὶσ C  16 ἔσχεν *: ἔχεν C  17 ὑποτινῶν C  19 ὀδυνήθη C  20 ἀφειέναι C  23 βραχέωσ C  29 ἐπειτεθηκῶτα ἦν C  30 τραπέζει C || ἐπαρόντα C



σκευοφυλακίου, ἔνθα καὶ κατέκειτο ὁ νοσῶν, καὶ ἀποστάντα ἐκεῖσε καὶ ὅτι ἐσήκωσεν τὰ ἱμάτια αὐτοῦ τοῦ νοσοῦντος, καὶ τῇ σμίλῃ τῇ χρυσῇ, ἣν ἐκράτει, γυρεύσαντα κατὰ πάσης τῆς σαρκὸς τοῦ διδύμου, οὗ ἠσθένει, εὐστρογγύλως ὡς ἐπὶ τοῦ γράμματος, ὡς ἄν τις ποιήσῃ Ο, ἑβδομήκοντα· καὶ τῷ σχήματι τούτῳ τρίτον τὴν σμίλην ἐπιτεθεικότος τοῦ ἁγίου, ἤκουσεν αὐτοῦ εἰρηκότος· "Ἡ ἁγία Τριάς, ἡ τὰ πάντα συστησαμένη τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, ἡ τοὺς πάντας περιποιουμένη καὶ τοὺς νοσοῦντας ἐπισκεπτομένη, αὐτή σε ἰᾶται". καὶ ἐν τῷ λέγειν τὸν ἅγιον ταῦτα ὁ νοσῶν διυπνίσθη, καὶ ἀνακρίνων ὃ ἑώρακεν ἐπιρρίπτει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν δίδυμον, ὃν ἤλγει, καὶ ηὗρεν αὐτὸν ὑγιῆ καὶ δόξαν ἔδωκεν τῷ θεῷ καὶ τῷ ἁγίῳ μάρτυρι. ἔθετο δὲ παρ' ἑαυτῷ ὁλόκληρον παραμεῖναι τὴν ἑβδομάδα ἐκείνην. καταλαβούσης οὖν τῆς ἑσπέρας τοῦ Σαββάτου, ἐπιφωσκούσης τῆς ἁγίας Κυριακῆς, τινῶν συμβουλίᾳ ἔθηκεν ἑαυτὸν κάτω ἐν τῇ ἁγίᾳ σορῷ· καὶ ἀνακειμένου αὐτοῦ, καθ' ἑαυτὸν συνέβαλλεν ἐν τῷ ἰδίῳ λογισμῷ περὶ τοῦ ὀνείρου καὶ ἐψηλάφα τῇ χειρὶ συνεχῶς τὸν δίδυμον αὐτοῦ, καὶ ἐδόκει ὅτι ἀκμὴν ἐνόσει τὸν δίδυμον αὐτοῦ. ταῦτα αὐτοῦ διαλογιζομένου καὶ τῆς παννυχίου δοξολογίας ἐκτελουμένης, τρέπεται εἰς ὕπνον, κατέχων τὴν χεῖρα αὐτοῦ ἐπάνω τοῦ διδύμου αὐτοῦ, ἐφ' οὗ πρώην ἤλγει· καὶ ὁρᾷ ἐν τῷ ὕπνῳ αὐτοῦ τὸν ἅγιον ὡς ἐκ τῶν χορῶν τῶν παννυχευόντων ἐρχόμενον καὶ κατιόντα τὰ τῆς ἁγίας σοροῦ γραδίλια καὶ ἐπιστάντα τῷ τόπῳ, ἐν ᾧ ἀνέκειτο, καὶ εἰρηκότα αὐτῷ· "Τί ἀναβάλλῃ καὶ ψηλαφᾷς τοὺς διδύμους σου καὶ ἄχθῃ καὶ δυσφορεῖς καὶ μένεις διακατέχων αὐτοὺς τῇ χειρί σου; ὑγίανας καὶ ὑγιὴς εἶ τῇ σφραγῖδι, ᾗ ἐσφραγίσθης, τῆς ἁγίας παντοδυνάμου Τριάδος". ὁ δὲ σὺν τῷ λόγῳ διυπνισθεὶς καὶ τὰ τοῦ θαύματος ἐννοῶν, καὶ ὅτι ἅπερ ἐνενόει κατὰ διάνοιαν γέγονεν τῷ ἁγίῳ καταφανέστατα, κατ' ἐξαίρετον τὰ τῆς χειρὸς καὶ τῶν αἰδοίων τὴν ψηλάφησιν, ἃ ἐν τῷ κρυπτῷ ποιεῖν ἐνόμι-

3 ἠέκρτει (ά above) C || πάσασ C  6 ἐπετεθηκώτοσ C || εἰρηκώτοσ C  9 αὐτῆσ ἐϊαται C  11 ἤλγη C  13 παραμῖναι C  14 συμβουλέια C  15 κατῶ C  16 ὀνήρου C  20 ὕπνον *: ὕμνον C  21 ἤλγη C  22 χωρῶν C  23 γραδήλια C  24 εἰρηκῶτα C || ἀναβάλλει C  25 ἀχθῆ C  26 υγιῆση τῆσ φραγῆδι ἤ C  30 αἰδύων C

ζεν, ἐξαναστὰς καὶ ῥίψας ἑαυτὸν εἰς τὸ ἔδαφος παρὰ τῇ ἁγίᾳ σορῷ δόξαν δέδωκεν τῷ θεῷ τῷ δοξάζοντι τοὺς ἁγίους αὐτοῦ μάρτυρας. ταῦτα ἐπράχθη τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας τοῦ θεοστηρίκτου ἡμῶν δεσπότου Κωνσταντίνου, υἱοῦ μὲν Κωνσταντίνου, ἐγγόνου δὲ Ἡρακλείου, μηνὶ Ὀκτωβρίῳ τετάρτῃ. πρὸς ταῦτα τί λέγετε οἱ τῇ Τριάδι μάχεσθαι μὴ αἰσχυνόμενοι; ἰδοὺ Ἀρτέμιος Τριάδος τύπῳ τοὺς νοσοῦντας σημειούμενος ἀνίστησιν αὐτοὺς καθιστῶν ὑγιεῖς. οἱ χωρίζοντες τὴν ἀχώριστον, οἱ μερίζοντες τὴν ἀμέριστον, οἱ τολμῶντες χρόνους τιθέναι τῇ ἀχρόνῳ, οἱ ἐλαττοῦντες τὸν ἴσον τοῦ πατρός, οἱ ἀνόμοιον λέγοντες τὸν ὅμοιον τοῦ πατρὸς κατὰ Εὐνόμιον καὶ ἀνόμοιον ἀγαθὸν καὶ πονηρὸν καὶ φαῦλον μὴ ναρκοῦντες λέγειν (Μαρκίων καὶ οἱ αὐτοῦ φιληταί) τὴν φύσει καὶ τῇ ἀληθείᾳ οὖσαν ὑπεράγαθον, φιλάνθρωπον καὶ εὔσπλαγχνον, εἰ, ὥς φατε λῆροι, ἀγαθὸν καὶ πονηρὸν καὶ φαῦλον εἶναι, πῶς διὰ τοῦ αὐτῆς ἀγαπητοῦ Ἀρτεμίου ἐγχαραττομένη ἡ ἁγία Τριὰς ἐπὶ τοῖς δεινοπαθοῦσιν τὸ ἔμφυτον τῆς ἀγαθότητος αὐτῆς ἐνδεικνυμένη φιλαγάθως τὸν νοσοῦντα ἀνέστησεν καὶ Ἀρτέμιον διὰ τοῦ θαύματος τῆς Τριάδος εἶναι δοῦλον παρέστησεν; τοῦτο λέγω ὑμῖν περὶ τῆς ἁγίας Τριάδος, ὃ λέγειν φευκτέον· ὅμως δι' ὑμᾶς τοὺς ταύτης χωριστὰς καὶ μεριστὰς λέξω καὶ εἴπατε· ὁ εἷς τῆς ἁγίας Τριάδος, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ θεὸς αὐτὸς εἴρηκεν· "Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς". ἄρτος ἐκ τριῶν συνίσταται, ἀλεύρου, ὕδατος καὶ ἅλατος. ταῦτα ζυμωθέντα ἀποτελοῦσιν ἄρτον ἕνα. οἱ οὖν τῇ Τριάδι ἀντοφθαλμοῦντες καὶ αὐτὴν ζυγοστατοῦντες χωρίσατέ μοι τὸν ἐκ τριῶν συνιστάμενον ἄρτον, τὸ ἄλευρον ἰδίᾳ καὶ τὸ ὕδωρ ἰδίᾳ καὶ τὸ ἅλας ἰδίᾳ. εἰ δὲ τοῦ ἑνὸς ἄρτου τὴν οὐσίαν ἀποχωρίσαι τῶν ἀδυνάτων ἐστίν, ὃ μετὰ χεῖρας ἔχεις καὶ ὄψει ὁρᾷς καὶ αὐτὸς δι' ἑαυτοῦ γέγονας ἀρτοποιός, πῶς τὴν ἀόρατον, πῶς τὴν ἀψηλάφητον, πῶς τὴν ἀκατάληπτον, πῶς τὴν ἀθάνατον, πῶς τὴν πρὸ αἰώνων προϋπάρχουσαν, πῶς τὴν τὰ πάντα συστησαμέ-

3 ἔτει=a. 659 6 λέγεται C 7 ἀνίστισιν C 8 καθίστον ὑγιῆς C 14 εἴωσφατε C 16 δινοπαθοῦσιν C 19 φευκταιον C 20 εἴπαται C 22 εἰρήκεν C ‖ cf. Iohan. VI, 35, 41 24 ἄλλατος C ‖ ἀποτέλλουσιν C 25 τριάδη C 26 τὸν] τῶν C ‖ τὸ] τῷ C 27 ἄλλας C ‖ ἀποχωρήσαι C



νην μερίζειν ἐπιχειρεῖς, ἀχώριστον οὖσαν καὶ ἀμέριστον καὶ ἀδιαίρετον; ὅρα Ἀρτέμιον τὸν ταύτης ὁμολογητήν, τὸν πλούσιον τῇ φρονήσει καὶ εὔπορον τῇ συνέσει, τὴν ἐν Τριάδι θεότητα προβαλλόμενον καὶ νόσους ἰώμενον. ἀλλ' ἐκεῖνοι φιμούσθωσαν καὶ ταῖς αὐτῶν ἀσεβείαις ἀπολέσθωσαν· δοξάζοντες δὲ ἡμεῖς τὴν ἁγίαν πανύμνητον Τριάδα, πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἐπὶ τὰ τοῦ ἁγίου μάρτυρος Ἀρτεμίου ἀναδράμωμεν θαύματα.

*Θαῦμα μβ*. Γυνή τις ἔσχεν υἱὸν νήπιον. οὗτος ἠσθένησεν τὸν δίδυμον αὐτοῦ τὸν ἀριστερόν, ὃς ἦν καὶ ἐξωγκωμένος, καὶ ὑπελάμβανεν ὅτι αὐτὸν μόνον ἐνόσει· ὁ δὲ τοὺς δύο ἤλγει διδύμους. προσκαρτερούσης δὲ αὐτῆς, ἤγουν τῆς μητρὸς αὐτοῦ τοῦ παιδός, ἐν τῷ ναῷ τοῦ Προδρόμου τῷ ἁγίῳ Ἀρτεμίῳ, θρήνους τε τοῦ παιδὸς ἀφορήτους ἐκ τῆς ὀδύνης ἀναπέμποντος, τῆς τε μητρὸς ὀδυνωμένης τὰ σπλάγχνα, ἐν μιᾷ τῶν νυκτῶν φαίνεται αὐτῇ ὁ ἅγιος καθ' ὕπνους ἐν σχήματι ἰατροῦ κατέχοντος ὡς οἷα θήκην τινὰ ἐργαλεῖα ἰατρικά· ἅτινα παρὰ τῇ στρωμνῇ, ἐν ᾗ ἀνέκειτο ἥ τε μήτηρ καὶ τὸ νήπιον, κενώσας ἔφη αὐτῇ· "Τί ἔχει τὸ παιδίον σου καὶ ὀδύρῃ σὺν αὐτῷ"; ἡ δὲ ἔφη· "Τὸ αἰδοῖον αὐτοῦ τὸ ἀριστερὸν νοσεῖ". λέγει αὐτῇ· "Ἀπογύμνωσον αὐτό, ἄφες ἴδω". τῆς δὲ οὕτως ποιησάσης, ὡς εἶδεν αὐτό, ἔφη αὐτῇ· "Τοὺς δύο νοσεῖ τὸ παιδίον σου διδύμους". καὶ λαβὼν τῇ χειρὶ ἓν τῶν παρακειμένων ἐργαλείων, ὡς ὁρμᾷ ἀπενέγκαι αὐτὸ ἐπὶ τὸν δίδυμον τοῦ παιδός, ἔκραξεν ἡ μήτηρ γοερῶς· "Ἐγὼ εἰς ἰατρὸν οὐκ ἠνεσχόμην δοῦναι τὸ παιδίον μου, ἀλλ' ἤγαγον αὐτὸ εἰς τὸν ἅγιον Ἀρτέμιον, ἵνα αὐτὸς αὐτὸ ἐπισκέψηται, καὶ σὺ τί ποιεῖς, ἄνθρωπε; φονεῦσαι ἦλθες τὸ παιδίον μου"; καὶ ταῦτα μὲν ἡ μήτηρ· ὁ δὲ τὸ ἐργαλεῖον προσήγγισεν τῷ διδύμῳ, πήξας ὡσάν τις ἁπλῆν θέλων δοῦναι. καὶ τὸ παιδίον ἠσθάνθη καὶ ἔκραζεν· ἡ δὲ μήτηρ τῇ φωνῇ τοῦ παιδὸς διυπνισθεῖσα καὶ πρὸς τὸν ὄνειρον τὸν φόβον ἔχουσα, ὑπολαβοῦσα χειρουργηθέντα αὐτὸν εὑρεῖν αὐτὸν ᾑμαγμένον, εἶδεν αὐτὸν ὄντα ὑγιῆ, μηδὲν κακὸν ἔχοντα, μηδὲ τὸν

3 τριαδη C 4 φημούσθωσαν C 9 ἐξ'ογκωμένος C 10 ἤλγη C 12 θρίνους C 14 ὀδυνομένης C 15 ὡσεία C 16 ἐργαλῖα C 18 ὀδύρει C ‖ αἰδόον C 19 ἄφεσῖ C 20 ὡσῖδεν αὐτῷ C 21 ἓν *: ἕνα C 22 παρακειμένω ἐργαλίων C 23 γωέρῶς C 24 οὐκηνεσχώμην C 27 ἐργαλῖον πρὸς ἤγγησεν C 28 ἐσθάνθη C 29 ὄνηρον C

οἱονδήποτε ἰχῶρα, ἢ πύου σπῖλον ἢ τομῆς· καὶ γνοῦσα τὴν τοῦ ἁγίου εἶναι θαυματουργίαν, δοξάζουσα τὸν θεόν, ἀπῆλθεν εἰς τὰ ἴδια χαίρουσα.

*Θαῦμα μγ.* Τῷ αὐτῷ τρόπῳ ἄλλης γυναικὸς παιδίον ἤλγει τὸν δίδυμον αὐτοῦ καὶ ἐκ τοῦ ἄλγους ἀσίγητον εἶχεν τὸν θρῆνον, καὶ ἣν σὺν τῷ τέκνῳ προσκαρτεροῦσα τῷ ἁγιωτάτῳ ναῷ τοῦ Προδρόμου. αὕτη ἑώρακεν τὸν ἅγιον μάρτυρα Ἀρτέμιον ἐν τῷ ὕπνῳ αὐτῆς ἐπιδεδωκότα αὐτῇ παστίλλιν πλακουνταρικὸν καὶ εἰρηκότα αὐτῇ· "Ἐπίθες αὐτὸ τῷ στόματι τοῦ παιδίου σου". τῆς δὲ δεξαμένης καὶ ὡς ἐρρέθη αὐτῇ ποιούσης, ἔχων ἕτερον ὁ δεδωκὼς αὐτῇ παστίλλιν, συνέτριψεν αὐτὸ ἐν τῇ ἰδίᾳ παλάμῃ καὶ ἐπέθηκεν αὐτὸ ἐπὶ τὸν δίδυμον, ὃν ἠσθένει τὸ παιδίον, δίκην ἐμπλάστρου, εἰρηκὼς τῇ γυναικί· "Οὐδὲν κακὸν ἔχει τὸ παιδίον σου, ἀλλ' ἐγερθεῖσα εὐχαρίστησον τῷ σωτῆρι ἡμῶν Χριστῷ, τῷ ἰασαμένῳ αὐτόν". καὶ σὺν τῷ λόγῳ διυπνίσθη, καὶ ἀνακαθίσασα, τόν τε ὄνειρον τῆς τοῦ ἁγίου ὀπτασίας καθ' ἑαυτὴν ἀκριβολογοῦσα, ψηλαφᾷ τὰ αἰδοῖα τοῦ παιδίου καὶ ηὗρεν ἐν τῷ ἀλγοῦντι διδύμῳ ἔμπλαστρον ἐπικείμενον ἀπὸ κηρωτῆς μετὰ ῥάκους· ἀνασηκώσασα δὲ αὐτὸ ηὗρεν τὸ παιδίον ὑγιές, ἱλαρῶς ἠρεμοῦν· ἐγερθεῖσά τε ἔρριψεν ἑαυτὴν σὺν τῷ τέκνῳ ἔμπροσθεν τῶν θυρῶν τοῦ σκευοφυλακίου, ἔνθα ἵσταται ἡ πάνσεπτος τοῦ Σωτῆρος εἰκών, εὐχαριστοῦσα τῇ αὐτοῦ ἀγαθότητι, τοῦ διὰ τοῦ μάρτυρος αὐτοῦ ποιοῦντος παράδοξα πράγματα.

*Θαῦμα μδ.* ⟨Τ⟩ὶς χαλκοτύπος ὀνόματι Γεώργιος, ὡς ἐτῶν τριάκοντα, ἠσθένησεν τὸν δεξιὸν αὐτοῦ δίδυμον, ἔχων αὐτὸν ἐξωγκωμένον, καὶ ταῖς ὀδύναις συνείχετο, ὀδυρμοῖς καὶ στεναγμοῖς καὶ θρήνοις συγκοπτόμενος, ἀνακείμενος εἰς τὸν ἴδιον οἶκον μένων καὶ μονώτατος. τινὲς οὖν συνῄνουν αὐτῷ δοῦναι ἑαυτὸν ἰατρῷ, ἐπὶ τῷ ἀποτεμεῖν ὃν ἠσθένει δίδυμον· ὁ δὲ ἐκ μόνης τῆς ἀκοῆς ναρκήσας ἀνέκραζεν· "Οὐαί μοι, ἐπὶ τὸ ἀποθανεῖν με προτρέπεσθε·

1 ἢ πύου *: ἢποιοῦ C   7 αὐτῇ C   8 πᾶστίλλην C ‖ εἰρηκῶτα C   11 πάστηλλον C   12 ἠσθέναιτο C   15 ἀνακαθέισασα C   16 ὄνηρον C   17 παιδέιου C   18 ἐπικήμενον C ‖ ῥάκκους C   19 ὑγιές *: ὑγιν C ‖ εἰλαρῶσ εἰρεμοῦντα C   25 ἐξόγκωμένον C   27 μένον C   28 μονότατοσ, τἰννέσοῦν C   29 ἀποτεμὴν C ‖ ἀκωῆσ C   30 προτρέπεσθαι C



ἱκανοὶ γὰρ ἠστόχησαν δόντες ἑαυτοὺς ἐπὶ τὸ κηλοτομεῖσθαι". ἄλλοι πάλιν πεῖραν ἔχοντες τοῦ ἁγίου Ἀρτεμίου συμβουλεύουσιν αὐτῷ ἀπελθεῖν καὶ προσπαραμεῖναι τῇ ἁγίᾳ αὐτοῦ σορῷ, ἀφηγησάμενοι αὐτῷ καὶ περὶ τῶν αὐτοῦ θαυμάτων· ὁ δὲ πίστει καὶ ἐλπίδι ῥωσθεὶς ἔρχεται ἐν τῷ πολλάκις εἰρημένῳ τοῦ Προδρόμου ναῷ, συνεχόμενος τοῖς πόνοις. ποιεῖ τὰ ἐν ἔθει γινόμενα τῷ τόπῳ, καὶ τῇ δευτέρᾳ ἡμέρᾳ καλέσας τὸν προσμονάριον λέγει αὐτῷ· "Καὶ ταῖς ὀδύναις συγκόπτομαι καὶ τὴν φροντίδα ἔχων τοῦ ὁσπιτίου μου τιμωροῦμαι, μήπως σῦλα ὑπομείνω, καὶ βουλῆς εἰμι ἀπελθεῖν εἰς τὸν οἶκόν μου· σιαίνω γὰρ καὶ τοὺς ἐνταῦθα κατακειμένους, μὴ ἠρεμῶν ἐκ τῶν συνεχόντων με πόνων". λέγει αὐτῷ ὁ προσμονάριος· "Ἐὰν ἀπέρχῃ, μὴ ἀπογνῷς τῆς ἑαυτοῦ σωτηρίας, ἀλλ' εἰς τὸν θεὸν καὶ τὸν ἅγιον Ἀρτέμιον ἔχε τὸν νοῦν σου καὶ αὐτὸς ἐπισκέπτεταί σε· ἱκανοὺς γὰρ παραμείναντας ἐπὶ καιροὺς καὶ ἀπράκτους ἀναχωρήσαντας εἰς τοὺς οἴκους αὐτῶν, ἐκεῖ αὐτοὺς ἐπεσκέψατο, καὶ ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Ἀφρικῇ καὶ ἐν Ῥόδῳ". καὶ διηγήσατο αὐτῷ, ὅσα κατέλαβεν εἰπεῖν, ὧν πεῖραν ἔσχεν. τούτοις πεισθεὶς ἀνεχώρησεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ τῇ νυκτὶ ἐκείνῃ φαίνεται αὐτῷ ὁ ἅγιος τοῦ Χριστοῦ θεράπων Ἀρτέμιος ἐν σχήματι ἰατροῦ, ὃν ὑπελάμβανεν εἶναι κηλοτόμον ἐπιφερόμενον ἐργαλεῖον ἰατρικὸν καὶ σφήκωμα· καὶ ἐν τῷ ὕπνῳ αὐτοῦ ἐθεώρει, ὅτι ἐδέσμει τῷ σφηκώματι τὸν βαστακτῆρα τοῦ ἀριστεροῦ διδύμου καὶ οὐχὶ τοῦ δεξιοῦ. λέγει οὖν αὐτῷ ὁ ἐν σχήματι ἰατροῦ φανεὶς αὐτῷ· "Κράτει τὴν μίαν ἀρχὴν τοῦ σφηκώματος". ὁ δὲ ἐπελάβετο καὶ ἐκράτει τὸ σφήκωμα. λέγει αὐτῷ· "Τὸν δεξιὸν δίδυμον πονῶ, δέσποτα, καὶ τὸν ἀριστερόν μου δεσμεῖς". ὁ δὲ ὁρώμενος αὐτῷ ἰατρὸς λέγει τῷ ἀσθενοῦντι· "Σῦρον τὴν μίαν ἀρχήν". λέγει αὐτῷ ὁ ἀσθενῶν· "Οὐαί μοι, ἀπολινῶσαί με ἔχεις καὶ ἐπὶ ἑπτὰ ἡμέρας οὐκ ἔνι λῦσαι τὴν ἀπολίνωσιν, ὡς μανθάνω, καὶ ὃ ἔφυγον δειλιῶν, εἰς αὐτὸ πάλιν". ὁ φαινόμενος ἰατρός· "Σῦρον

1 ἑικανοὶ C ‖ ἐπιτῶ κῆλοτομήσθαι C   3 πρόσπαραμίναι C   4 ἐλπίδει C   5 πολλάκεισ C   6 ταἐνάιθει C   8 συγκόπτωμαι C   9 ὑπομῖνω C   11 συνεχώντων C   12 ἀπέργει C   14 ἐπισκέπταιτέσαι,ἑικανοῦσ γ. παραμίναντασ C   16 ἐναλεξανδρία C   18 πισθεῖσ C   20 κηλότομον C   21 ἐργαλῖον C ‖ σφῖκομα C   22 σφικῶματι C   24 σφικῶματοσ C   25 σφῖκωμα C   28 με] μαι C   30 δειλειῶν, ἐισ αὐτῶ C

μόνον". καὶ ὡς ἔσυρεν ὁ νοσῶν τὴν μίαν ἀρχήν, κρατῶν ὁ ἅγιος Ἀρτέμιος τὴν μίαν ἀρχὴν ἔσυρεν καὶ ἔδοξεν ἀποτεμεῖν τὸν δίδυμον αὐτοῦ, καὶ ἐκ τοῦ πόνου διυπνίσθη ἀγωνιῶν· καὶ ἐλθὼν εἰς ἑαυτὸν καὶ ἀνακρίνων τὸν ὄνειρον ῥίπτει τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς δύο αὐτοῦ διδύμους, καὶ ψηλαφήσας αὐτοὺς εὗρεν ἑαυτὸν ὡς ἐκ γενετῆς ὑγιῆ καὶ τὸ σφήκωμα δεδεμένον ἐν ἀληθείᾳ εἰς τὸν ἀριστερὸν αὐτοῦ δίδυμον. καὶ ἐλθὼν ἔωθεν ηὐχαρίστησεν τῷ θεῷ καὶ τῷ ἁγίῳ αὐτοῦ μεγαλομάρτυρι καὶ θαυματουργῷ Ἀρτεμίῳ. ἴδετε, πηλίκη χάρις, ἀγαπητοί, δέδοται Ἀρτεμίῳ τῷ μεγαλομάρτυρι, χάρις ἡμῖν οὐδέποτε λήγουσα· Χριστὸς γάρ ἐστιν ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. αὕτη ἡ χάρις πατέρας καὶ προπάτορας ἐδόξασεν· αὕτη ἡ χάρις προφήτας προφητείας ἐνέπλησεν· αὕτη ἡ χάρις τοὺς ἀγραμμάτους ἁλιεῖς ἀσόφους τε καὶ ἀγλώττους ὄντας τῆς πάσης σοφίας ἐνέπλησεν καὶ τοῦ κόσμου διδασκάλους ἐποίησεν καὶ θαυμάσια λάμπειν ἠξίωσεν· αὕτη ἡ χάρις τοὺς μάρτυρας πρὸς ἀγῶνας ἤλειψεν καὶ στεφανίτας ἀπέδειξεν· αὕτη ἡ χάρις ἐν τῷ αὐτοῦ δούλῳ ἐνοικήσασα Ἀρτεμίῳ κηρύττεσθαι αὐτὸν ἐν ταῖς θαυματουργίαις ηὐδόκησεν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

*Θαῦμα με.* Ἑτέρα πάλιν γυνή τις ἔτεκεν τέκνον ἄρρεν, ὅπερ γεννηθὲν ηὑρέθη ἔχον τὸν δεξιὸν δίδυμον ἐξωγκωμένον· ὀδυνωμένου τε καὶ θρήνοις συγκοπτομένου, ἡ μήτηρ τοῖς μητρικοῖς σπλάγχνοις ἔπασχεν ὀδυνωμένη. πληρωσάσης οὖν αὐτῆς τῶν λοχίων τὰς τεσσαράκοντα ἡμέρας, τινῶν πεῖραν ἐχόντων τοῦ ἁγίου μάρτυρος Ἀρτεμίου καὶ τῶν αὐτοῦ θαυμάτων, συνεβούλευσαν αὐτῇ προσεδρεῦσαι τῇ σορῷ τοῦ ἁγίου. καὶ δὴ λαβοῦσα τὸ βρέφος ἔρχεται ἐν τῷ ναῷ τοῦ Προδρόμου καὶ ποιήσασα τὰ ἐν ἔθει γινόμενα ἔμενεν προσκαρτεροῦσα· καὶ μετὰ δύο ἡμέρας ὁρᾷ ἡ μήτηρ γυναῖκά τινα εὐοπτοτάτην μοναχικὴν στολὴν ἐστολισμένην· ὁ γὰρ μάρτυς τοῦ Χριστοῦ ἔστιν ὅτε, γυναικῶν προκειμένων, τὴν ἁγίαν Φεβρωνίαν ἐπιτρέπει ὑπουργῆσαι τὴν θαυματουργίαν. ὁρᾷ ἡ μήτηρ τοῦ καταβαροῦς βρέφους τινὰ γυναῖκα ἐπιδιδοῦσαν αὐτῇ τρία ζίνζυφα, ἅτινα δεξαμένη ἔφαγεν τὰ δύο καὶ ἔμεινεν τὸ ἓν κρατοῦσα ἐν τῇ χειρὶ αὐτῆς. καὶ ἅμα ἔφαγεν τὰ δύο ζίνζυφα, διυπνίσθη. ἔτυχεν δὲ τὸ βρέφος ἐπιζητῆσαι μαστόν, καὶ ἐν τῷ θηλάζειν αὐτὴν τὸ νήπιον ἀνεμνήσθη τοῦ ὀνείρου καὶ τῶν ἐπιδοθέντων αὐτῇ ζινζύφων· θεωρεῖ καὶ τὸ ἕτερον ἕν, ὅτι ἦν ἐν τῇ χειρὶ αὐτῆς. ἕως οὖν τὸ βρέφος ἦν ἐν τῷ μαστῷ αὐτῆς, ψηλαφᾷ τῇ χειρὶ τοὺς διδύμους αὐτοῦ καὶ ηὗρεν αὐτὸ σῶον καὶ ὑγιὲς καὶ ἠρεμοῦν καὶ ἐν ἰδιώματι ὄντας τοὺς διδύμους αὐτοῦ. καὶ τῆς ἡμέρας ἐπιφθασάσης, πᾶσιν τοῖς ἐν τῇ ἐκκλησίᾳ καὶ τοῖς πρὸς τὸ ἰαθῆναι παραμένουσιν ἔδειξεν τὸ ἓν ζίνζυφον, ὅπερ αὐτῇ κατ' ὄναρ ἀπέστειλεν ὁ ἅγιος θαυματουργὸς Ἀρτέμιος διὰ τῆς ἁγίας καλλινίκου μάρτυρος Φεβρωνίας. λαβοῦσα οὖν τὸ βρέφος κατῆλθεν ἐν τῇ ἁγίᾳ σορῷ τῶν ἁγίων λειψάνων καὶ ἔρριψεν ἑαυτὴν ἁπλωτὴν σὺν τῷ τέκνῳ εἰς τὸ ἔδαφος, εὐχαριστοῦσα τῷ θεῷ καὶ τῷ Προδρόμῳ καὶ τῷ ἁγίῳ μάρτυρι καὶ τῇ ἁγίᾳ Φεβρωνίᾳ. τίς πρὸς ταῦτα ἱκανοῖ ὅσον ὤφειλεν ἐγκωμιάσαι; πανταχοῦ ὁ μάρτυς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μιμεῖται· ἐλεεῖ, χαίρει, σῴζει, στέγει. ἀμήν.

3 διύπνίσθει C 4 ὄνηρον C 5 εὕρεν C 6 γεννητης C ‖ σφῖκωμα C ‖ ἀλειθέια C 10 οὐδέποτε *: δέποτε C ‖ λῖγουσα C 11 πρωπάτορασ C 15 θαυμασία C 16 στεφανήτασ C 20 ἔχων ἐξόγκωμένον C 21 θρίνοισ συνκοπτωμένου C ‖ ἡ δὲ μήτηρ C 22 πλάγχνοισ C ‖ πληρωσάσσησ C 26 ποιήσασ C 27 ἔμινεν C



2 ζίνζηφα C ‖ ἔμινεν C 3 ζήνζηφα C 5 ἀνεμνήσθην τοῦ ὀνήρουθήντουονήρου C 6 ζινζήφων C 7 ἕως con. Kurtz, ἥσωσ C 8 αὐτὸ σῶον*: αὐτὸσ ὁ ὢν C ‖ ὑγιῆ C 10 ἰαθεῖναι C 11 ζίνζηφον C 17 ἐικανεὶ C 18 μημῆται, ἐλέει C ‖ στέργει C

## II.

# ΕΚ ΤΩΝ ΘΑΥΜΑΤΩΝ

### ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΑΡΤΕΜΙΟΥ.

1. Οὗτος ὁ μακάριος Ἀρτέμιος δοὺξ καὶ αὐγουστάλιος Ἀλεξανδρείας γενόμενος καὶ πατρίκιος τιμηθεὶς ὑπὸ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως. τοῦ γοῦν ἀποστάτου Ἰουλιανοῦ δραξαμένου τῆς βασιλείας καὶ τοὺς χριστιανοὺς τιμωρουμένου ἐν Ἀντιοχείᾳ, αὐτόκλητος εἰς τὸν ἀγῶνα ὁ μακάριος ἔρχεται καὶ τὴν παρανομίαν αὐτοῦ διελέγξας τύπτεται βουνεύροις ὠμοῖς καὶ τριβόλοις ὀξέσι τὸν νῶτον ξέεται, καὶ ὀγκίνοις τὰς πλευρὰς καὶ τὰ βλέφαρα διαπείρεται, καὶ ὑπὸ λιθοξόων πέτρας μεγίστης διαιρεθείσης μέσον ἐμβάλλεται καὶ τῆς πέτρας μέσον ἀποληφθεὶς ὀφθαλμῶν στερεῖται· τὰ ἔγκατα τῇ γῇ συνελαύνονται καὶ τελευταῖον τὴν διὰ ξίφους δέχεται τελευτήν. ἀνεκομίσθη δὲ τὸ σῶμα αὐτοῦ τὸ τίμιον ἐν Κωνσταντινουπόλει παρά τινος Ἀρίστης διακόνου καὶ κατετέθη ἐν τῇ Ὀξείᾳ.

2. Ἀνὴρ δέ τις διδύμους ἔχων λίαν ἐξωγκωμένους καὶ ἐκ πάσης ἰατρικῆς μεθόδου λίαν ἀπηγορευμένους ἦλθε πρὸς τὸν ἅγιον κλαίων καὶ τὴν ὑγίειαν ἐπιζητῶν. ἔπεσεν οὖν ἐν στρωμνῇ μέσον τοῦ ναοῦ καὶ μικρὸν ἀφυπνώσας, λέγει πρὸς αὐτὸν ὁ ἅγιος· " Ὑπόδειξόν μοι τὸ πάθος σου ". ὁ δὲ ἐσχημάτισεν ἑαυτὸν εἰς ὑπόδειξιν, καὶ κύψας ὁ ἅγιος καὶ τοῦ ὄγκου τῶν διδύμων ταῖς ἀμφο-

Cod. Coislin. 304, s. xiv, f. 30. 10 cod. ὀγγίνοις 9 ἀπολειφθεὶς 12 Ἀρίστης] cf. *Delehaye*, Synax. Eccles. C/politanae, p. 152. 16 cod. στρομνῇ



τέραις χερσὶν εὐφυῶς περιδραξάμενος ἔσφιγξεν ὅσης δυνάμεως εἶχεν. ὁ δὲ ἀσθενῶν μεγάλως ὀδυνηθεὶς καὶ τὸ οὐαὶ ἀνακράξας, ἔξυπνος γενόμενος εὗρεν ἑαυτὸν ὑγιῆ, δοξάζων καὶ εὐλογῶν τὸν θεόν.

3. Ἄλλος δὲ πάλιν τρεῖς κήλας ἔχων ἐν τοῖς διδύμοις, ἐλθὼν πρὸς τὸν ἅγιον καὶ παννυχεύσας ἀνεκλίθη πρὸς ὕπνον· καὶ φανεὶς αὐτῷ ὁ ἅγιος καὶ τὸ πάθος γυμνώσας καὶ ψηλαφήσας ταῖς χερσὶν κατεσφράγισεν αὐτό, καὶ νύξας τὴν πλευρὰν αὐτοῦ ἀπῆλθεν ἀπ' αὐτοῦ. ὁ δὲ ἀσθενῶν ἔξυπνος γενόμενος εὗρεν ἑαυτὸν ὑγιῆ.

4. Ἕτερος δὲ πάλιν ὑδροκήλην ἔχων μεγάλην προσῆλθε τῷ ἁγίῳ, καὶ τούτου κατὰ τοὺς ὕπνους ὁ ἅγιος μετὰ ξίφους περισχίσας τὸ πάθος δυσωδίαν τοῦ ὑγροῦ οὐ μικρὰν ἐκκενωθέντος προσέφερεν. ἔξυπνος δὲ γενόμενος ὁ ἀσθενῶν εὗρε μὲν ἑαυτὸν ὑγιῆ, τοὺς δὲ χιτῶνας αὐτοῦ καὶ τὸ ἔδαφος δυσωδίας καὶ σήψεως καὶ πολλῆς ὑγρότητος γέμοντα.

5. Ἕτερος πάλιν νεωστὶ ἀπὸ Ἀφρικῆς ἐλθὼν καὶ τοῦ καταλόγου τῶν θαυμάτων ἀπό τινος διηγουμένου ἀκροασάμενος, ἐν τῇ Ἀφρικῇ συγγενῆ κεκτημένος βάρει τῶν διδύμων τὸ ζῆν ἀπολεγόμενον, ἀδιστάκτως πιστεύσας καὶ τὰ πρὸς παννυχίδα ἐπιτήδεια συλλέξας ἔδραμε πρὸς τὸν ἅγιον· καὶ πληρώσας τὴν παννυχίδα καὶ ἔλαιον ἐκ τῆς φωταγωγοῦ λαβὼν ὑπέστρεψεν, ἔνθα προσδεχθεὶς καταμένων ἦν. ὁ δὲ ἅγιος τῇ νυκτὶ ἐκείνῃ τὴν Ἀφρικὴν καταλαβὼν καὶ τῇ κλίνῃ τοῦ πάσχοντος ἐπιστάς φησι πρὸς αὐτόν· " Ἐπειδὴ ὁ σὸς συγγενὴς περὶ σοῦ ἐν τῷ Βυζαντίῳ ἠξίωσεν, ἔσο ἀπὸ τοῦ νῦν ὑγιής ". ὁ δὲ διυπνισθεὶς καὶ εὑρὼν αὐτὸν ἐν ἀληθείᾳ ὑγιῆ, δόξαν τῷ παντοκράτορι ἐδίδου θεῷ. μὴ γνοὺς δὲ παρά τίνος τὸ τοῦ θαύματος γέγονεν ἐξαίσιον, τὴν ἡμέραν σημειωσάμενος καὶ τῷ μηνυθέντι προσγενεῖ αὐτοῦ διὰ γραφῆς τὴν ἑαυτοῦ ὑγίειαν δηλώσας ἐξέπληξε τοῦτον ἀκούσαντα, ὅτι ἐν αὐτῇ τῇ νυκτί, ἐν ᾗ ἡ παννυχὶς ἐγένετο ἐν τῷ Βυζαντίῳ, ἐν Ἀφρικῇ ὁ ἅγιος τὸν νοσοῦντα ἰάσατο. καὶ δραμὼν πρὸς τὸν ἅγιον αὖθις ἀξίαν ἐδίδου τὴν εὐχαριστίαν, καὶ τοῖς παροῦσι τὸ θαῦμα ἐκδιηγούμενος

7 cod. ψηλαφίσας 27 ὑγιεῖ

γράφει παρευθὺ καὶ τῷ ἰαθέντι τήν τε ἀκολουθίαν τοῦ πράγματος καὶ τὸ τοῦ ἁγίου ὄνομα.

6. Ἕτερος πάλιν ἐν τοῖς αὐτοῖς παιδογόνοις βάρει οὐ φορητῷ πιεζόμενος καὶ προσμένων τῷ τοῦ ἁγίου ναῷ οὐ μικρῶς ὤχλει τὴν ἴασιν ἐπιζητῶν· ὁ δὲ ἅγιος φανεὶς λέγει πρὸς αὐτόν· " Ἄπελθε εἰς τὸν χαλκέα Ἰωάννην τὸν γειτονοῦντά σοι, καὶ τῆς κήλης σου τῷ ἄκμονι τούτου ἐπιτεθείσης, αὐτὸς ἐκπυρώσας σφύραν σιδηρᾶν καὶ δοὺς αὐτὴν μετὰ δυνάμεως εὐθέως ἰάσεταί σε ". τοῦ δὲ πάσχοντος πρὸς τὴν ὀπτασίαν μὴ βουλομένου τοῦτο ποιῆσαι, πρὸς δὲ καὶ ἔτι δυσχεραίνοντος, πάλιν φανεὶς ὁ ἅγιος τὰ αὐτὰ ὑποτίθεται ποιῆσαι· ὁ δὲ καταπειθὴς οὐκ ἦν. ἐκ τρίτου δὲ φανεὶς ὁ ἅγιος τὰ αὐτὰ ὑποτίθεται ποιῆσαι καὶ λέγει πρὸς αὐτόν· " Πίστευσον, ἀδελφέ, εἰ μὴ ποιήσεις ὅπερ σοι εἶπον, οὐκ ἄν ποτε ἰαθήσῃ ". ὁ δὲ καὶ μὴ θέλων προσῆλθεν ἐξ ἀνάγκης τῷ χαλκεῖ, καὶ τῆς κήλης ἐπιτεθείσης τῷ ἄκμονι, τῇ καταβάσει τῆς πεπυρωμένης σφύρας, ἐπεὶ καὶ συνεστάλη πρὸς ἑαυτόν ἀφανὲς τὸ πάθος γέγονεν, ἐφ' ᾧ τὸν ἄκμονα καὶ μόνον ὑπὸ τῆς σφύρας κρουσθῆναι· κἀκεῖνοι τὸ παράδοξον ἐκπλαγέντες τοῦ θαύματος δόξαν καὶ εὐχαριστίαν τῷ θεῷ τῷ δοξάσαντι τὸν μάρτυρα ἀνέπεμψαν.

7. Ἀλλὰ καὶ ἐκ πίστεώς τις κηροὺς λαβὼν καὶ ἔλαιον τὴν πρὸς τὸν ἅγιον διώδευε τρίβον, καὶ διερχόμενος ἠρωτήθη παρά του τῶν τὴν ῥαπτικὴν τέχνην μετερχομένων· " Ποῦ πορεύῃ, προσφίλτατέ μοι, κηροὺς φέρων καὶ ἔλαιον "; τοῦ δὲ περιπαθῶς φήσαντος, " Εἰς τὸν ἅγιον Ἀρτέμιον πορεύομαι λειτουργήσων ", μικρὸν ἐκείνου παρελθόντος, ἀνέκραξεν ὁ ῥάπτης γελοίως λέγων· " Ὁ δεῖνα ὑποστρέφων φέρε μοι κήλην ". ὁ δὲ ἀφικόμενος πρὸς τὸν ἅγιον καὶ τὴν θείαν ἐκτελέσας μυσταγωγίαν ὑπέστρεφεν οἴκαδε. ἐν ὅσῳ δὲ τὴν προκειμένην αὐτῷ τρίβον ὥδευε, καὶ οἱ δίδυμοι τούτου ὑποχαλᾶν κατ' ὀλίγον ἤρξαντο· καὶ διὰ τοῦ διαστήματος, δι' οὗ τὸν προσφιλῆ ῥάπτην καταλαβεῖν ἔμελλε, τούτων ἐξογκωθέντων, μόλις ἠδυνήθη πρὸς αὐτὸν ἀφικέσθαι. καὶ ἐπεὶ ἄφωνος καὶ σχεδὸν

6 cod. χαλκέαν 7 τούτο || σφαίραν 15 ἄκμωνι 16 σφαίρας 17 ἄκμωνα || σφαίρας 18 κἀκείνους....ἐκπλαγέντας 23 προσφίλτατε sic in codice 29 τρίβων ὥδευε



ἄπνους ἦν, καὶ εἰς λόγους καὶ μάχας ἄμφω τὰ μέρη γεγόνασιν, ἐξ αἰτίας χάριν, κήλην ἀποκομίσαι τῷ ῥάπτῃ, τοῦ παθόντος ἐνισταμένου τηλικούτῳ βάρει πάθους ὑποπεσεῖν καὶ διαβεβαιοῦντος μὴ ἄλλως παθεῖν, εἰ μὴ τὰ ληρώδη ἐκεῖνα καὶ γέλωτος ἄξια ἐξεφωνήθησαν ῥήματα. καὶ τούτων οὕτω διαμαχομένων καὶ τῶν παρευρεθέντων πυνθανομένων μαθεῖν περὶ τῆς διαμάχης, ὁ τοὺς διδύμους ἔχων βεβαρημένους διηγούμενος τὸν τρόπον καὶ τὴν αἰτίαν τοῦ πάθους, εἰς βεβαίωσιν τοῦ πάθους καὶ τῆς ἀληθείας κουφίσας ἃ ἐνεδέδυτο μετὰ θυμοῦ, πρὸς τὸ ὑποδειχθῆναι τοῖς ὁρῶσιν ἃ πέπονθε διὰ τῆς ἐπιλαλιᾶς τοῦ ῥάπτου, εὗρεν ἑαυτὸν ὑγιῆ· ὁ δὲ ἑταῖρος αὐτῷ ῥάπτης οὐαὶ ἀνακράξας ὑπέδειξε πᾶσι τὴν ἀθρόως ἐπελθοῦσαν ἐξόγκωσιν τῶν διδύμων. πάντες δὲ οἱ παρευρεθέντες τὴν ἀθρόαν ἐναλλαγὴν καὶ μετάστασιν ἰδόντες τοῦ πάθους ἔκθαμβοι γεγόνασι, καὶ τῷ μὲν θεῷ καὶ τῷ τούτου μάρτυρι δόξαν καὶ εὐχαριστίαν ἀνέπεμπον, τῷ δὲ πάθος ἀναδεξαμένῳ ῥάπτῃ " Θάρσει " ἔλεγον, " ἀδελφέ, καὶ μὴ λυποῦ· δικαία ἡ κρίσις τοῦ θεοῦ· ὃ γὰρ ἐζήτεις, ἔλαβες ". ὅτι τῷ θεῷ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

III.

## ΕΙΣ ΤΗΝ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑ ΤΟΥ ΧΡΙΣΤΟΥ

# ΛΟΥΚΙΑΝ

ΥΠΟΜΝΗΜΑ ΒΡΑΧΙΣΤΟΝ ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

1. Ἄλλαι μὲν ἄλλοις ἀβρύνονται θάλασσαι, νῆσοι καὶ ἤπειροι, οἷς ἑκάστη φυσικόν τι τιμαλφὲς εἴληχεν, εἴτουν τερατωδεστέρας γονῆς καὶ παρεκτρέχον τελεσφόρημα φύσεως, ὁποῖον τὸ Γαδειραῖον ἐστί, τὸ πεπηγός τε καὶ νεκρὸν καὶ κρόνιον πέλαγος, καὶ νῆσος ἡ Ἰνδικὴ Τεπροβάνη, ἡ Βρεττανῶν τε Οὐερνία καὶ Ἀλουβίων, ἡ χώρα τε ἡ Κελτῶν καὶ ἕτεραι χῶραι καὶ γαῖαι. ἑκάστη τούτων βρενθυομένη φιλοτιμήμασιν οἷσπερ εἴληχεν, ἡ μὲν ἀκαριαίῳ καὶ μονιαίῳ ἑνί, ἡ δὲ δυοῖν ἄλλοιν τυχόν, ἑτέρα δὲ τούτων πλείοσι, πᾶσαι δ' οὖν πολλοστοῖς. οὕτω μὲν αἱ λοιπαὶ θάλασσαι, νῆσοι καὶ ἤπειροι πολλοστοῖς τισιν ἢ ἐλαχίστοις ἀβρύνονται· σοὶ δέ, ὦ ἱερὰ Σικελία, πολλὰ μὲν τερπνὰ δωρήματα φύσεως, πολλὰ δὲ τὰ ξενίζοντα, πολλαὶ δὲ ἀνέκαθεν πράξεις ἡρωϊκαί, πολλὰ δὲ σεμνὰ διηγήματα· ὧν τὰ μὲν ἀρχαῖοι λόγοι γεγηρακότες ἐπτέρωσαν καὶ τῷ τοῦ μύθου κατεμελίτωσαν νέκταρι, τὰ

**A** = codex meus, membran. s. XIII, f. $11^{6}$—17, 20—21. **B** = codex Messanensis MB′, f. $156^{b}$—$160^{a}$.

Titulus in B: Ἰω̅ τοῦ τζέτζου ὑπόμνημα. εισ τὴν παρθένον μάρτυρα τοῦ χυ, λ′ λουκίαν τῆς σαρακούσης πο: ευο̅ περ′.

1 ἄλλοις A ἄλλαι B ‖ ἀμβρύνονται B ‖ νῆχαὶ B  2 ἤτουν B  3 παρεκτρέχον A ταρειστρέχον B  5 ἰνδικήτε προβάνη A ἰνδ. τὰ προβάνη B  8 ἐνῑ B  10 τισὶν ἢ καὶ ἠκίστους, ἢ ἐλαχίστοισ ἀμβρύνονται B  11 σὺ B ‖ μὲν <B  13 δὲ <B



δὲ αὐτοπροσώποις τοῖς φυσικοῖς διαλάμποντα κάλλεσιν ἡ τῆς ἀληθείας ἀνόθευτος ὡραιότης ὡράισεν· ὅλη γὰρ ὁλικῶς καὶ καθ' ὁλομέρειαν τεμμαχιζομμένη ἄκραις καὶ χώραις καὶ πόλεσι καὶ ποταμοῖς καὶ λίμναις καὶ ὄρεσι, λόγοις καὶ μύθοις καὶ ἔργοις καὶ διηγήμασι τοὺς φιλακροάμονας ἐκ τῶν ὤτων ἀρτᾷς χειρουμένη, τοὺς οἷς μὲν ἔργον ὁ λόγος τοῖς λόγοις, τοὺς οἷς δὲ φίλον οἱ μῦθοι τοῖς μύθοις, ἢ τοὺς οἷς ἔργον ὁ λόγος τοῖς μύθοις, τοὺς οἷς δὲ φίλον οἱ μῦθοι τοῖς λόγοις, καὶ τοῖς ἔργοις μὲν τοὺς πράξεων ζηλωτάς, διηγήσεσι δὲ καινῶν ἀκουστάς. αὐτίκα γὰρ ὅλην σε τῇ Περσεφόνῃ δοθῆναι παρὰ Διὸς ἀνακαλύπτριαν οἱ μῦθοι νεανιεύονται καὶ ἁρπαγὴν ἐντεῦθεν φασὶ Περσεφόνης παρὰ τοῦ Πλούτωνος καὶ Δήμητρος τῆς παιδὸς ἀναζήτησιν, καὶ Ἀνακληθρίδα πέτραν καὶ τὴν Ἀρόην, καὶ Κελεοῦ καὶ Μετανείρας ξενίαν καὶ κυκεῶνα, καὶ τῆς Ἰάμβης τὰ σκώμματα καὶ πρὸς Ἐλευσῖνα προέλευσιν Δήμητρος ταῖς ὑποθήκαις τοῦ Κελεοῦ· κἀκεῖθεν λευκόπωλος ἐξ ᾅδου τῆς Κόρης ἀναγωγὴ καὶ τελεταὶ Ἀθηναίων καὶ τὰ μυστήρια, καὶ νὺξ ἐς ἡμέραν μετασκευαζομένη τοῖς δᾳδουχήμασιν. ἀλλὰ ταῦτα μύθων ἠπατημένων σκιρτήματα τὰς φιλομύθους ἀκοὰς γαργαλίζοντα, κομμωτικοῖς πορνικοῖς ἐπεισάκτοις καὶ νόθοις τοῖς χρώμασι τὸν τῆς ἀληθείας ὡραϊσμὸν ἐπικρύπτοντα· δέον γὰρ οὕτω φανῶς καὶ διαρρήδην εἰπεῖν, ὡς πρώτως ἐξ ἁπασῶν τῶν γαιῶν παρὰ Σικελίᾳ σῖτος αὐτοματίζων εὑρέθη καὶ Ἀθηναῖοι τοῦτον μετακομίσαντες παρὰ Ἀρόην ἀροῦσι καὶ Ἐλευσῖνα καὶ σπείραντες λευκὸν τὸν στάχυν κομίζονται, οἱ δὲ ἄλλως δῶρά τε ἀνακαλυπτήρια τὴν Σικελίαν παρὰ Διὸς ἔφασαν καὶ ἁρπαγὰς ἐντεῦθεν τῆς Κόρης καὶ Δήμητρος ζήτησιν καὶ ὅσα φθάσας ὁ λόγος σκοτεινότερον διηγήσατο τῷ τοῦ μύθου καλύμματι.

2. Τοιαῦτα μὲν ὁλικῶς ὅσα σοι, Σικελία, σεμνὰ διηγήματα· τεμμαχιζομένη δ' εἰς τριτημόρια μῶν ἡ Πελωρὶς ἡ πρὸς ἄρκτους

1 φυσεωσκοῖσ (φυσικοῖσ) B  2 τε γὰρ B  3 τεμμαχιζομένη hic et infra AB  6 ἢ τοὺς, οἷσ B  11 πλάτωνοσ B  12 ἀνακλειθρίδα AB ‖ καὶ post. om B  13 ἀροὴν ἀροτρίασιν B ‖ κυκεῶνα A κυῶνα B  15 τεσ B  17 εἰσ B  18 ἠπατ. σκιρτήματα A ἠπατήματα B  19 ἐπισάκτοισ B  20 ἀλιθείασ B ‖ οὕτω A δύπω B  22 παρασικελίασ B  23 ἀθην. τοῦ μετα κομίσαντεσ B ‖ ἀροὴν B  25 ἔφθασαν A ἔφασαν B  27 σκοτινότερον B  28 τιάῦτα B ‖ ὅσασικελία B  29 δεῖστριττημ. B ‖ ἄρτουσ B

ἔχει μὲν καινὰ διηγήματα, Πελωρίδος δὲ οὐ πλέον ἡ Πάχυνος, ἡ πρὸς ἑῴαν κειμένη, ἐν ᾗ τὸ κενήριον τῆς Τρωϊκῆς ἐκείνης γραὸς καὶ ἡ ἐπὶ σκαιῷ κυβερνήτῃ Ὀδύσσειος ἄκρα, Παχύνου δὲ οὐ πολλῷ πλέον Λιλύβαιον, οὗ Αἰνειάδαι καὶ Λίβυες ἐφ' ὅλοις εἴκοσι καὶ τέσσαρσιν ἔτεσι μαχας ἀλλεπαλλήλους ῥηγνύντες μόλις ὀψέποτε τῷ πολέμῳ πέρας ἐπέθεντο, ὁποῖα καὶ ὅσα περὶ τὴν πολιορκίαν ἐξειργασμένοι καταστρατηγήματα; ἐῶ τὸ παρὰ σοὶ γένος Κιμμέριον, "οὓς οὐδέποτε ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν"· οὐ γάρ φημι τοὺς περὶ λίμνην Μαιῶτιν καὶ τοῦ Σκυθίου Ταύρου τοὺς πρόποδας, οἳ ὁτὲ μὲν ἡλιοθερεῖς, ὁτὲ δὲ ἀνήλιοι. ἐῶ λίμνην Σιάχαρ, ἧς τῇ τῶν ὑδάτων ἄκρᾳ οἶμαι λεπτότητι καὶ πᾶν καταπῖπτον δένδρου φύλλον καταβαπτίζεται. τὴν λίμνην ἀφίημι τὴν ὥσπερ ἀπό τινος μηχανῆς εἰς γῆν ἀκοντίζουσαν τοὺς λουομένους σφοῖς νάμασιν. ἀφίσταμαι τῶν ποταμῶν, τῶν ὀρῶν, τῶν ἑτέρων, ὅσοις τινὰ τοιαῦτα τελεσφορεῖται καινότατα· περιηγηταῖς ἀνδράσι καὶ χωρογράφοις καὶ οἷς σπουδὴ περὶ θαυμασίων συγγράφειν ταῦτα, παρίημι, ὁποῖος ἦν Ἐρατοσθένης καὶ Στράβων, Πυθέας, Μαρῖνος, Διόδωρος, Σωτίων, Ποσίδιππος, Ῥηγῖνοι, Σιμμίαι, Φιλοστέφανοι καὶ ὁ μυρίος τούτων ἐσμός, ἵνα μὴ κατάλογον συγγραφέων ποιῶμαι. μεταβατέον δ' ἡμῖν ἐπί τε Κατάνην καὶ τὴν Συράκουσαν· καλοῦσι γὰρ ἡμᾶς αἱ πόλεις πρὸς ἑαυτὰς λαμπρῷ τῷ κηρύγματι.

3. Κατάνη μὲν οὐχ ὅπως ἢ μυθικῶς ἢ φυσικῶς Αἰτναίοις κατατρυφήσαιμεν διηγήμασιν, ἢ τυφῶνα πυρούμενον ἐκεῖσε Διῒ ἀναπλάττοντες, ἢ κρατῆρας Ἡφαίστου, ἢ τὸν σοφὸν ἐκεῖνον τὸν ἐξ Ἀκράγαντος ῥιφῇ τῇ πρὸς τὸ πῦρ ἀναλούμενον, τὸν Κωλυσανέμαν τὸν χαλκοπέδιλον, ἢ (ἵνα τι καὶ περὶ τοῦ πυρὸς φανῶμεν φυσικευόμενοι) ὡς σηραγγώδης, ναφθώδης καὶ κισσηρώδης ἡ γῆ,

1 καὶ νὰ B ‖ πελωρῖδος A πελωρίδες B ‖ ἢ πάχινοσ B 2 κειμένϊ B ‖ ἐκένησ B 3 ἡ A ὃ B 4 λϊλίβαιον. οὗ B ‖ λέιυνεσ, ἐφολοισ B 5 ῥυγνῦντεσ B 6 ὁποῖ- καὶ B 7 ἐξειργασμένη καὶ κατὰ στρατιγίματα καὶ στρατηγικὰ διηγίματα B 8 cf. Odys. λ 15—16 ‖ φθαέθων B ‖ ἀκτίνεσιν B 9 λϊμνϊν μαιώτην κ. τοὺσκυθϊταῦρου B 10 ἡλιοφερεῖσ B ‖ σιάχαν B 11 ἄκραι B ‖ πᾶν om B 12 δένδρον B ‖ καταβαπτήζεται B ‖ ἀφίημι A παρίειμι B 15 τελεσφοροῖται καὶνότατα B 17 πάρειμι B ‖ τὲρατοσθένησ B ‖ πιθέασ B 18 πησίδιπποσ B ‖ ῥιγῖνοι A ῥιγγινοι B 19 μύριοσ B 20 ἡμῖν ἐστιν ἐπί B 26 κολυσανέμαν A κολύσανέμαν B 27 ἵνά τι A ἵνα τί B



πνεῦμα δὲ εἰς τὰ κενὰ καὶ κοῖλα ταύτης ἐγκαθειρχθὲν στενοπόροις αὐλῶσι πυροῦται βιαίως ὠθούμενον· — οὐ τούτων ἡμᾶς ἕκατι Κατάνη καλεῖ, οὐδὲ τὸ περὶ Ἀναπίαν καὶ τὸν Ἀμφίνομον θαῦμα πυρὸς διηγήσασθαι, ἀλλ' αὕτη μὲν Ἀγάθης μικρὸν ἐπιμνησθῆναι τῆς μάρτυρος, ἧς τοῖς θαύμασιν ὑπὲρ ἐπάλξεις καὶ πύργους πεπύργωται. Συράκουσα δὲ πόλις ἡ μεγαλόπολις οὐχ ὅπως μιν ὑμεναίοις Ἀρκαδικοῦ ποταμοῦ δᾳδουχήσαιμεν, διὰ πελάγους τοσούτου περῶντος ἀχράντου καὶ ἀμιγοῦς τῶν Ἀμφιτρίτης λεχέων πρὸς τὴν ἐρωμένην Ἀρέθουσαν λίμνην ἐκείνης ἐγχώριον, οὐδὲ Μαρκέλλου πολέμων τὰς συρραγὰς καὶ Ἀρχιμήδους ἐκείνου τὰς μηχανάς, αἷς τριήρεις μὲν αὔτανδροι ἀνασπώμεναι πρὸς τὸ τεῖχος τὸ Συρακούσιον, εἶτα μετέωροι ἐκριπτούμεναι, αἱ δὲ λίθοις ἄνωθεν ἑκάστῳ ἀνδρὶ ἁμαξιαίοις βαλλόμεναι, αἱ δ' ἔτι πορρώτερον ἐνορμίζουσαι ἀεροτόνοις σφενδόναις, αἱ δ' ἐπὶ πλέον ἀφεστηκυῖαι ἐν ἑξαγώνοις κατόπτροις ἡλιακαῖς ἀντανακλάσεσιν ἐκπυρούμεναι αὔτανδροι τῷ βυθῷ παρεπέμποντο· οὐκ ἐπὶ τούτοις ἡμᾶς οὐδὲ Συράκουσα μεταπέμπεται. Λουκία δὲ ἡ ἀθληφόρος, ἡ μεγαλόμαρτυς, ἡ καλλιπάρθενος, ἡ καλλίπαις, ἡ καλλίνικος, σφάξασα τὰ ἑαυτῆς θύματα, κρατῆρί τε τὸν ἑαυτῆς οἶνον κεράσασα, ἐν ὑψηλῷ τῷ κηρύγματι ἐκ τῆς ἑῴας, ἐκ νότου, ἀπὸ βορρᾶ καὶ δυσμῶν πρὸς πανδαισίαν καὶ πότον θυμήρη ἑόρτιον μετακαλεῖται τοὺς φιλομάρτυρας καί με τῆς παρούσης δημοθοινίας ποιεῖ δειπνοκλήτορα. μῶν ἄρτους λευκούς με οἴεσθε λέγειν καὶ βρώματα, βόας καὶ ὄϊς καὶ ὄρνις, ὁποῖοι οἱ ἐκ Παιόνων καὶ οἱ ἐκ Φάσιδος, τραγήματά τε καὶ μελίπηκτα καὶ ὡραῖα παντοῖα, οἶνόν τε Χῖον, ἢ Πράμνιον, ἢ ἀνθοσμίαν, ἢ Φάλερνον, ψυκτῆράς τε καὶ κανᾶ καὶ ῥυτὰ ἐμβάφια, ἐπαρυστρίδας καὶ κύπελλα, τὰ οἰνοχοοῦσι τρισὶ δακτύλοις εὐφυῶς ἐποχούμενα, ἃ τοῖς καθηδυπαθοῦσι καὶ μέχρι γαστρὸς τιθεμένοις τὰ τέρποντα μέγα τι δοκεῖ καὶ ἐράσμιον; οὐ τοιαύτην τὴν πανδαισίαν ἡ μάρ-

2 ἕκητι B 3 τὸ om B ‖ περὶ τὸν B ‖ ἀμφίνομο B ‖ θαῦμα om B 4 πυρὸς — μικρὸν om B ‖ ἀλλεπιμνησθῆναι B 6 μιν A ἡμῖν B 8 περῶντο B 8/9 τονερωμένην B 9 οὐδὲ A ὁ δὲ B 12 μεταίωροι ἐκριπτόμεναι B 13 ἑορμίζουσαι B 14 ἐπιπλέον AB 17 μεγαλόμαρτυς hic et ubique A, sed μεγαλομάρτυς B 18 ἢ καὶ καλλίνικοσ B 19 τῷ om B 22 δειπνοκλήτορασ B 24 παιόνων A ταώνωσ B 25 πράμνειον B 26 φαλορρον B ‖ ῥητὰ ἐμφάφια. ἐπαριστρίδασ B 28 καθυδυπ. B 29 ἄπαγε οὐ τοιαύτην B

τους ἡμῖν παρατίθεται· τράπεζαν ἱστᾷ νοουμένην, οὐκ αἰσθητήν· βρώματα ψυχικὰ καὶ οὐράνια ἀνθρώποις χαρίζεται· ἄρτον ἀγγέλων φαγεῖν δίδωσιν. ἴτε οὖν, ἴτε προθύμῳ ποδί, φιλομάρτυρες, τῇ μάρτυρι χαριζόμενοι καὶ ἀναπληροῦτε τὸν κῶμον τὸν ἱερὸν τουτονὶ τὸν ἑόρτιον. ἡ μάρτυς δέ, οὐ γὰρ τοσοῦτον ἐστὶ σμικρολόγος καὶ φειδωλός, τῆς συνδρομῆς ὑμῶν τῆς συντόνου τὸ χρέος ἀξίως ἀφοσιώσαιτο, αἰτησαμένη παρὰ τοῦ κρείττονος ψυχῆς λυσιτέλειαν.

4. Ἀλλὰ γὰρ ἤδη μοι λέγειν καιρός, τίς τε καὶ οἵα καὶ ὅθεν καὶ τίνων ἡ μάρτυς ἐγένετο. Συράκουσα πόλις ἡ περιώνυμος τῆς Σικελίας ἐστὶν ὀφθαλμός, θαλασσογείτων τε καὶ ἀλίρραντος, ἐν καλῷ γῆς, ἐν καλῷ ἀέρος κειμένη, εὔανδρος, εὔφορος, εὔκαρπος, πολλοῖς μὲν τερπνοῖς κομῶσα τοῖς διηγήμασι, πολλαῖς δὲ ἀνδρῶν πράξεσιν ἐνυαλίων τε καὶ οἷς τὰ σοφὰ μεμελέτηται, αὐτὴν τὴν προκειμένην Λουκίαν αὐχεῖ κυῆσαι μὲν καὶ ὠδινῆσαι καὶ θρέψαι μέχρις ἐς ἥβην ἀγωγῇ προσηκούσῃ. πρόγονοι καὶ πατέρες τῆς ἑκατέρας γονῆς ἐτέλουν τῇ μάρτυρι Κόδροι μὲν οὔκουν οὐδὲ Ἀλκμαίωνες, τῶν βαθυχαίων τινές, οὐδέ τινες τῶν ἐχόντων ἐλεφάντινον ὦμον ἢ λόγχην τὸ γνώρισμα, καθάπερ οἱ μῦθοι τοὺς Πελοπίδας νεανιεύονται, ὅσοι τε ἦσαν τῆς Κάδμου ῥίζης ἀναθηλάσαντες ὅρπηκες, ἄλλως δὲ ῥυηφενεῖς ἄνθρωποι πολέμοις καθεστηκότες ἀρίδηλοι καὶ εἰρηναίοις καιροῖς οὐκ ἀδόκιμοι πρόβολοι ἔμψυχοι, οὐκ ἐκ λίθων οὐδὲ ἀναίσθητοι Συρακούσης τῆς πόλεως. τοιᾶσδε ῥίζης, τοιῶνδε προγόνων καὶ γεννητόρων ὀσφύος ἡ παῖς ἡ καλλίπαις φυεῖσα ἔργον εἶχεν οὐκ ᾄσματα παιδικά, οὐ φενάκας κομῶσα οὐδὲ κοσμεῖν πρόσωπον, μᾶλλον δὲ ἀκοσμεῖν, ἐμφοιβουμένη καὶ ἐγχουσίζουσα. τὰ πρῶτα δὲ καὶ στοιχειώδη ἐκμελετήσασα γράμματα, κοσμίῳ τῇ οἰκουρίᾳ σὺν ἅμα θεραπαινίσι καὶ τῇ μητρὶ ταλασιουργιῶν ἐμεμέλητο, σεμναῖς παρθένοις ἀνηκουσῶν, καὶ οἴκῳ θεοῦ παραρριπτεῖσθαι ἑκάστοτε καὶ λόγων ἀκροᾶσθαι καὶ διηγήσεων ἱερῶν, καίπερ ὑποστολῇ καὶ λαθραίως κρύπτουσα τὴν εὐσέβειαν.

4 κῶμου B 6 τῆς συντόνου om B 7 ἀμφοσιώσαιτο B 8 λέγγην B 9 ἐγένvητο B 12 κωμῶσα B 13 μελέτηται. αὕτη B 14 ὠδυνῆσαι B 16 ἀλκμαίονεσ B 17 βαθυχάων AB || οὐδέ τινες om B || ὦμον om B 18 λόχαι B 19 ὅρπικεσ B 20 ἀρίδημοι B 22 τῆῶνδὲ B 24 φαίνακασ B 25 ἐμφηβουμένη κ. ἐγχοσίζουσα B 26 κοσμία (ω) A 27 θεραπαινῖσι A 28 ἀνήκουσα B 29 ἀκροᾶσθαι B



5. Διοκλητιανοῦ γὰρ καὶ Μαξιμιανοῦ τότε Ῥωμαίων κρατούντων, μέγας ἀναρρηγνύμενος ἦν ὁ κατὰ Χριστοῦ πόλεμος καὶ θάνατοι ποικίλοι καὶ πολυσχήμονες ἐπιτίμιον τοῖς ἀνακεκαλυμμένῳ προσώπῳ καὶ ἀδεεῖ χριστιανοὺς ἑαυτοὺς ὀνομάζουσι, καὶ τοῖς λαθραίως δὲ μετιοῦσιν εὐσέβειαν δεσμὰ καὶ στρέβλαι καὶ ὄργανα τιμωριῶν πανταχοῦ. εὐσεβούντων μεμεστωμένα ἦσαν τὰ δεσμωτήρια, αἱ εἱρκταί· θηρσὶν αἱμορρόφοις ἁγίων ἐρρίπτετο σώματα, αἱ σάρκες τῶν ὁσίων τοῖς πετεινοῖς τοῦ οὐρανοῦ· πλήρεις νεκρῶν σωμάτων αἱ ἀγυιαὶ καὶ οὐδεὶς ἦν ὁ θάπτων. εἴκασεν ἄν τις τότε τὰς πόλεις, τὰς χώρας, τὰς ἐπαρχίας βατοβάροις πεπορθημένας οὕτως ἀνηλεῶς ἔχειν ἀνῃρημένα τὰ σώματα κείμενα, ἢ ἀντὶ βουσφαγείων ὁρᾶν ἀνθρωποσφαγεῖα, ἢ καὶ τῷ ὄντι νεκρῶν πολυάνδρια. οὕτω θερμῶν καὶ ἀπαραιτήτων ἀγανακτήσεών τε καὶ κολάσεων τοῖς εὐσεβέσιν ἐπηρτημένων, ὅμως ἡ μεγαλόμαρτυς ἐκ πρώτης, ὅ φασι, τῆς τριχὸς καὶ λίκνου καὶ τῶν σπαργάνων ἐπρέσβευε τὴν εὐσέβειαν. γάμου δὲ γεγονυῖα ὡραία, τὸ κάλλος τε τῶν τότε παρθένων διαπρεπέστατον ἔχουσα, ὁπόσον τῆς ἀνεμώνης τὸ ῥόδον ὑπέρτερον, καὶ οὐδὲν αὐτῆς ὃ μὴ ἄν τις ἐθείασε θεατής, "οὐ δέμας οὐδὲ φυήν, οὔτ' ἂρ φρένας οὔτε τι ἔργα", πολλῶν ἐπισήμου τοῦ γένους καὶ ἀλλήλοις ὁμοίων σπευδόντων διακαέστερον τὴν τοιαύτης μνηστείαν, ἑνί τινι τῶν ἀπάντων προφερεστέρῳ μνηστεύεται. αἱμορροίᾳ δὲ κατασχέτου γεγονυίας τῆς γειναμένης καὶ τὰ εἰς περιουσίαν ἀναλωσάσης εἰς ἰατρούς, οὐδὲν δὲ τῶν πρὸς ὑγείαν ἐφευρισκούσης εἰς ἑαυτήν, ἡ μεγαλόμαρτυς αὐτῇ Λουκία "Ἄγε, ὦ τεκοῦσα", φησί, "ἀγαθῇ γεγονυίᾳ συμβούλῳ τῇ θυγατρὶ πείσθητι. ἀκούεις, ὡς ὁ ἐμὸς Ἰησοῦς ἀφῇ καὶ μόνῃ κρασπέδων τῆς ῥύσεως κατὰ σὲ ἰάσατο γύναιον· ἅψαι καὶ σὺ τῶν κρασπέδων τοῦ Ἰησοῦ καὶ δραπετεύσει τὸ νόσημα". ἡ δὲ "Γλυκύτατον τέκνον", φησί, "τριακόσιά που καὶ τριάκοντα ἔτη παρῳχήκεσαν εἰς ἐμέ, ἀφ' οὗ

1 διοκλιτιάνοῦ καὶ B 2 μέγα B 9 τὰς om 12 ἄνθρωποσφάγεια B || ἢ A οὖσ B || πολυἄνδρεια B 14 ἐκ πρώτης om B 15 καιλέικνου B 17 ὁπόσον τῆσ.ὁπόσον τῆς B 18 οὐδὲν ἦν B || οὐ δέμας om B 19 Il. A 115 20 τὴν ταύτησ B 21 ἑνὶ τινὶ AB || προφερεστέρων B 23 ἐφευρησκούσησ B 24 εἰς A πρὸς B || ἅυτη (τῇ) A αὕτη B 25 πίσθητι B 26 ὡς om B || κρασπέρων B 27 κατὰ— γύναιον om B 29 παρῳχήκεισαν B παρωχήκεισαν (εσαν) A

πρὸς οὐρανοὺς λέγεται ὁ Ἰησοῦς ἀνελθεῖν. πῶς δ' ἂν αὐτὸν εὕροιμι; πῶς δὲ ἀψαίμην αὐτοῦ τῶν κρασπέδων"; ἡ δὲ "Τὰ ὡς πρὸς τὴν Κατάνην ἕπου", φησί, "καὶ ὃ νῦν οἴει τῶν δυσχερῶν, ἐκ τοῦ παραχρῆμα τάχα φανεῖται τῶν εὐμαρῶν. Κατάνη πόλις ἐστὶ καὶ αὕτη Σικελικὴ καὶ ἀγχιγείτων· ἡμέριος τοῖς θαύμασιν ἐπεντρυφᾷ τῆς μεγαλομάρτυρος, ἐν τοῖς χρόνοις Δεκίου διανυσάσης τοῦ μαρτυρίου τὸν δίαυλον. ταύτης τὸ ἱερὸν τέμενος ἰατρεῖον ψυχῶν· ταύτης ἡ λάρναξ στάμνος τοῦ μάννα, Σίναιον ὄρος κεκαλυμμένον τῷ γνόφῳ, Μωσέως πέτρα βρύουσα θαύματα. τὸ σῶμα ταύτης τοῦ Ἰησοῦ κράσπεδον· ὅλον γὰρ αὐτὸς δι' ἐμὲ τὸν ἄνθρωπον ἐνεδύσατο, ἵν' ἀμφιάσῃ τὴν ἐξ Ἀδὰμ ἐπιγεγονυῖαν γύμνωσιν, μεταστοιχειώσῃ δὲ πρὸς ἀφθαρσίαν καὶ τὴν θνητότητα, πρὸς ἣν κατεσύρημεν. πάντων οὖν οὕτως ἁγίων τὰ σώματα κράσπεδα λέγοιντο ἂν καὶ εἶεν τοῦ Ἰησοῦ. δεῦρο οὖν εὖξαι καὶ ἅψαι τοῦ ἱεροῦ σώματος καὶ δραπετεύσει τὸ ἐνοχλοῦν".

6. Οὕτω τῇ μητρὶ μήτηρ εὐσύμβουλος ἡ παῖς γεγονυῖα, εὖ μάλα εὐπειθεστάτην ἐφεύρηκε, καὶ πρὸς τὴν Κατάνην ἀπαίρουσι. τῆς ἑορτῆς δ' ἐφεστηκυίας τῆς μάρτυρος, ἐπέρρεεν ἁπανταχόθεν τὰ ἔθνη τὰ ἀστυγείτονα, κήρυκος δίκην τοῖς θαύμασι συγκαλούμενα πρὸς τὸ τῆς μάρτυρος τέμενος, καὶ τὰς ἰαμάτων ἐκχύσεις ἠρύοντο. τῆς ἱερᾶς δὲ τελουμένης μυσταγωγίας, πλησίον τῆς ἱερᾶς λάρνακος, ἣ τὸ σῶμα τῆς μάρτυρος ἔφερε, μετ' ὀλοφυρμῶν εἰς γῆν ἑαυτὰς ἡ μήτηρ καὶ ἡ θυγάτηρ ἐπιρράξασαι, ἐθαλάττουν τοῖς δάκρυσι τὸ ἱερὸν ἔδαφος καὶ μετ' οἰμωγῶν ἱκετηρίας τῇ μάρτυρι ἔφερον ἐξαιτοῦσαι τὴν ἴασιν. ὕπνῳ δὲ ἡ Λουκία ἐκ τοῦ ἀλύειν τοῖς δάκρυσι κατάσχετος βραχὺ γεγονυῖα, πολλῇ προπομπῇ θεραπείας ὄναρ Ἀγάθην ὁρᾷ τὴν μάρτυρα λέγουσαν· "Τέκνον ἐμὸν Λουκία καὶ ἀδελφή, τῷ καθαρῷ σου τῆς καρδίας καὶ τῷ θερμῷ τῆς πίστεως ἴδε ἡ μήτηρ σου ὑγιὴς γέγονε· καὶ σοὶ δὲ τῇ τοῦ ἐμοῦ Χριστοῦ χάριτι προθεσπίζω τὰ συμβησόμενα· ὅσον οὐκ ἤδη τῷ μαρτυρικῷ στεφάνῳ στεφθήσῃ καὶ νύμφη γένῃ Χριστοῦ,

3 εἴει B 5 ἡμεράιώσ B 7 μαρτυρίου A μαρίου B 8 κεκαλυμμένω B 10 αὐτὸς om B 11 ἵνα B || ἐπιγεγ. μοι B 13 κατοσύρρημεν B 13/14 λέγονται B 22 λάρνακος ἱερᾶσ B 23 ἐπερράξασαι A ἀρράξασαι B 26 βραχεῖ A βρα-(υ)χεῖ B 27 ἀγάνθην B 29 καὶ ἡ B 31 γενήσῃ B



καὶ ὡς δι' ἐμοῦ τῇ αὐτοῦ χάριτι τὴν Καταναίων φρουρεῖ καὶ θαύμασι καταντλεῖ, οὕτω καὶ σὲ πρόβολον ἀρραγῆ τῇ Συρακουσίων ἑδράσειε καὶ διὰ σοῦ ποταμοὺς θαυμάτων πηγάσειε". Ταῦτα ὄναρ ἡ μάρτυς ὡς εἶδε, ταῦτα ὡς ἤκουσεν, ἀνίσταται χαίρουσα, τὸ μέλι τῶν ὀμμάτων τιναξαμένη, καὶ "Ἄγε", φησὶ τῇ μητρί, "μῆτερ γλυκεῖα, ἰδοὺ ὑγιὴς γέγονας, ὥς μοι δεδήλωται· ἀπιστεῖν γὰρ οὐκ ἔστι τῇ μάρτυρι. σὺ δ' ἂν ἄμεινον ἐμοῦ ἐξ ἔργων, οὐ λόγων, τοῦτο δεδάηκας. νείμωμεν τὸν πλοῦτον τοῖς πένησι· δῶμεν πτωχοῖς τὰ ὑπάρχοντα, καὶ σὺ μὲν χαρίσῃ τῷ ἰατρῷ, ἐγὼ δὲ νυμφεύσομαι τῷ Χριστῷ". ἡ δέ (καὶ τί γὰρ ἄλλο ἢ γύναιον θῆλυ καὶ χαῦνον καὶ τὴν πίστιν ἀντίρροπον καὶ βιωτικαῖς κατεχόμενον τύρβαισι;)· "Πῶς δ' ἂν τὸν σὸν μνηστῆρα διαδραίῃ τὰ δρώμενα; καὶ μὴ διαδράντα Πασχασίῳ κατάδηλα γένηται. καταδήλων γεγονότων, ἀνηλεεῖς τιμωρίαι· τιμωριῶν δ' ἀκόλουθος θάνατος. πέφρικα δὲ δεινῶς, ὦ τέκνον, τὸν θάνατον (τί γὰρ ἂν πρὸς σὲ τἀληθὲς ἀποκρύπτοιμι;), πέφρικα. εἰ μὲν γὰρ Πασχάσιος ἦν μὴ ἀπηνής, μὴ τύραννος, μὴ πικρός, μὴ ὑπερτρέχων θηρίων ὠμότητα, ἴσως ἂν ἔσχον τόλμαν τοῦ ἐγχειρήματος· ἐπεὶ δὲ Πασχάσιος οἷον αὐτὸν ὁ λόγος ὑπεζωγράφησε, τί κακὸν οὐκ ἐρεῖ; τί οὐ ποιήσει; ποίαν ὀργήν, ποῖον εἶδος βασάνων ἡμῖν οὐκ ἐπάξειε, ποῖον οὐχὶ πικρότατον θάνατον"; τοιαῦτα ἄττα καὶ ἕτερα ἡ μήτηρ ἐκείνη τῇ θαυμασίᾳ παιδί, τῇ περικαλλεῖ καὶ ὡραίᾳ, τῇ καθαρᾷ καὶ παρθένῳ καὶ μάρτυρι καὶ νύμφῃ τοῦ οὐρανῶν βασιλέως. ἡ δὲ φησίν· "Ἐμοὶ μελήσει καὶ λευκαῖς (ὅ φασι) κόραις". ὅμως οὖν καταλαβοῦσαι Συράκουσαν, ἐξαργυρισάμεναι τὸν ἑαυτῶν ἅπαντα κόσμον, τὸν ὅσος ἀνεῖται ταῖς γυναιξί, νοσοῦσι, ξένοις, ἀπόροις, πτωχοῖς, προσαίταις, τοῖς πένησι διανέμουσι. καὶ ἡ Λουκία ὅλην ἑαυτὴν τῷ ἐρωμένῳ θεῷ ἀνατίθησι, καὶ παραρριπτουμένη ἐν οἴκοις αὐτοῦ ἀγρυπνίαις χαμευνίαις νηστείαις ἀγγέλων βίον διέζη ἐν ἀνθρωπίνῳ παρθενικῷ σώματι, πλὴν καὶ τρυφερῷ καὶ οὕτω νεάζοντι καὶ διαρρύπῳ καὶ χαύνῳ.

1 δι'ἐμὲ B || κατανέων A 6 γληκεῖα B || ἀπειστεῖν B 7 ἂν ἀνάμεινον B 10 χαῦνον καὶ θῆλυ B 11 τύρβεσιν B 12 διαδραίῃ Kurtz, διαδρώῃ AB 14 ἀνειλεεῖσ B || τιμωρίαι om B 16 μὴ ἣν ἀπεινὴσ B 17 ὑπερέτρεχε B 18 αὐτὸν post λόγος in B 19 ὑπερζωγράφησεν B 22 παρθένασ B 25 ἐξαργυρησ. B || ἑαυτῶν om B 26 ἂν εἶται B 27 πένεσι B 28 ἀντίθησι B 30 σώματι om B 31 χαύνω τῶ σώματι B

7. Τί τὸ ἐντεῦθεν; τῆς φήμης τῶν πεπραγμένων διαδραμούσης καὶ τὰς ἀκοὰς τοῦ μνηστῆρος καταλαβούσης, ὡς τὴν αἰτίαν τοῦ πράγματος ἐπυνθάνετο, ἀκούει παρὰ τῆς ταύτης μητρός· "Νεανία, ἣν ἐμνηστεύσω παῖδα ἐμήν, οἰκονόμος οὖσα χρηστὴ καὶ σοὶ τῷ μνηστῆρι πιστή (οὐ γὰρ ἀποδέει φρενῶν τοῦ καθήκοντος), κόσμον ἅπαντα ἑαυτῆς καὶ τὰ βραχύπλεθρα καὶ ἀσυντελῆ τῶν χωρίων ἀπεμπολεῖ, ἀρίστου μέλλουσα δρᾶν χωρίου ἀντώνησιν, χιλίων χρυσίνων στατήρων ἐπετησίου φόρου τελοῦντος· ἐπὶ τῷ σῷ δὲ τοῦτο ὀνόματι, εἰ αἱρεῖσθε, ἐθέλει ὠνεῖσθαι". καὶ ὃς "Δίδωμι κἀγὼ τὴν ἡμίσειαν τῶν εἰς ὠνὴν τοῦ χωρίου" εἰπὼν ἀποτρέχει. ἡ δὲ Χριστοῦ μάρτυς ἡ καλλιπάρθενος διαδοῦσα τὰ πάντα καὶ πρὸς ἀξίαν νείμασα ἕκαστα, ἃ μὲν ὡς προσφορὰν εὐκτηρίοις θεοῦ, ἃ δὲ χρεοβαρέσι καὶ ὅσοις φθάσας ὁ λόγος ἐδήλωσε, τινὰ δὲ εἰς τὸ βλέπειν ἡμέραν ἐλεύθερον τοὺς ὅσοις τὰ ξίφη τὰ βάρβαρα ζεύγλην δουλείας ἐπέβαλον, προσέτι καὶ ποδὶ ἐλευθέρῳ, πᾶσαν αὐτῆς θεραπείαν ἀφεῖσα, βαδίζειν καὶ βλέπειν τὸν ἥλιον ἐλευθέροις τοῖς ὄμμασιν, ὅλην αὐτὴν ἀναθεμένη θεῷ συντονωτέρως τῆς εὐσεβείας τῶν πόνων ἐφήπτετο. ὡς αὖθις δ' ὁ μνηστευσάμενος ταύτην οὐκέτι σκιαῖς καὶ αἰνίγμασιν, ἀριδηλότερον δ' ἔγνω τὰ τῶν χριστιανῶν αὐτὴν σέβεσθαι διαπύρῳ τῷ ἔρωτι, τὸν πάντα δὲ πλοῦτον τοῖς οἷς ὁ λόγος εἰπεῖν ἔφθη διένειμεν, ἀνάγει ταῦτα τῷ Πασχασίῳ, ὃν προλαβὼν ὁ λόγος ἐδήλωσεν, ὃς Διοκλητιανῷ ἀπεστάλη κατὰ τὰ ὅσα τοῖς ἐπάρχοις ἀνεῖται τὴν νῆσον ἰθύνειν· ὃς θηρίων ὠμότερος ἦν καὶ τυραννούντων ἁπάντων τυραννικώτερος καὶ διαπύρῳ στοργῇ τῆς εἰδωλομανίας ἐχόμενος. ὅμως τὸ κερδαλέον τῆς γνώμης ὡς οἷ αἱρετὸν ἐπίκρυπτον δορᾷ προβάτου πεποιημένος, ὡς ἑαυτὸν μετακαλεῖται τὴν μάρτυρα, παρόντος οἷ καὶ τοῦ ταύτης μνηστῆρος καὶ τῆς ἐκεῖσε συγκλήτου βουλῆς.

8. Καὶ "Ὦ καλλίστη", φησί, "κόρη Λουκία, εὐγενοῦς βλάστημα ῥίζης, ἄγαλμα κλεινῆς Συρακούσης, ἀγλάϊσμα γένους τοῦ

3 τῇ ταύτῃ μητρὶ B    4 χρηστὶ B    7 ἀπεμπωλεῖ B    9 εἰ om B || ἠρῆσθαι θέλει ὠνεῖσαι B    10 δίδομι B || ἀποστρέχει B    11 καλϊπάρθενοσ B    13 χρεωβαρέσι B    14 βλέπειν ἡ πεῖν ἡμέραν B    15 ζεύγλας B || καὶ πρὸσέτι καὶ B    17 ὄμμασιν. καὶ βλέπειν τὸν ἥλιον ἐνανέσει. ὅλην B    18 ὡσδαῦθισ ὁ μνηστευμένος B    20 πάντα δὲ om B    23 τοῖς om B    24 ὃσ ὗσ, θηρίων B    25 εἰδωλομανείασ B    26 ἐπικρύπτων B    30 γένοσ B



σοῦ, οἶδα ἐγὼ ἀκριβῶς, ὡς οὐκ ἀποσεισαμένη τὸν μέγαν σέβεσθαι Δία καὶ Ἥραν καὶ Ἀθηνᾶν, τὸν γλυκερόν τε τοῦτον Φαέθοντα καὶ τοὺς λοιποὺς δὲ μεγαλοσθενεῖς σωτῆρας θεούς, τὰ χριστιανῶν πρεσβεύεις θρῃσκεύματα. ταυτὶ δὲ ἢ φθόνῳ τῶν ἐγχωρίων γυναικῶν οἴομαι ἀναπλάσματα, βασκαινουσῶν τοῦ γένους καὶ ὥρας καὶ κάλλους σοι, εἴτ' οὖν (ὡς ἔπεισί μοι εἰκάσαι) ταυτὶ ἐδεδράκεις καταβαπτισθεῖσα λύπης τῷ ὑπερβάλλοντι, μεγαλιζομένη τὸν σὲ μνηστευσάμενον, ἢ τοῦ γένους ἢ καὶ τοῦ εἴδους ὡς πολλῷ σου ἀποδέοντα. καὶ μὴν καλὸς μὲν ἰδεῖν ὁ νεανίας ἐστὶ καὶ οὐκ ἄχαρις, ἀριστεύει δὲ τὰ πολέμια καὶ γένους τῶν οὐκ ἀσήμων ἐστίν. εἰ δέ σοι οὗτος ἀπᾴδει, σὺ μὲν τὸ πατρῷον σέβας πρὸς τοὺς σωτῆρας τήρει θεούς, ἐμοὶ δὲ δηλωθήτω ᾧ ζυγῆναι ποθεῖς καὶ τὴν τούτων ἀνίκητον ὀμνύω σοι δεξιάν, ὁποίῳ ἂν ἐθέλῃς ταξιαρχοῦντι ἀνδρί σε συζεύξω· μόνον ὁ σοὶ ποθούμενος δηλωθήτω μοι". ἡ δὲ πρὸς αὐτόν· "Λαμπρότατε τῶν Διοκλητιανοῦ βασιλέως ἐπάρχων Πασχάσιε, οὐ μή σοι ἀποκρύψω ὅστις ἐμοί ἐστιν ὁ ποθούμενος, πρὸς ὃν διαπύρῳ τῷ πόθῳ καὶ ταχίστῳ ποδὶ ἐπείγομαι ἀπελθεῖν. Ἰησοῦς ἐστιν ὁ ἐμὸς ἐραστής, θεὸς αἰώνιος, ἀγέννητος, ἄκτιστος, ἄναρχος, ἄχρονος, δι' ἐμὲ κατ' ἐμὲ γεγονώς, ἵν' ἐμὲ ποιήσῃ ὅπερ αὐτός. πρὸς τοῦτον ἐρώμενον ὄντα μοι ἐρῶ ἐρωῆσαι, οὗ ἐρρωμένως ἐρῴην, μηδὲ θνητοῦ ἐραστοῦ ἐρωμένην ἔρως κατάσχῃ με· τοῦτ' ἀληθές σοι ἐρῶ ἐρωτῶντι. πέμπε οὖν τὴν ταχίστην με πρὸς αὐτὸν καὶ μὴ μέλλε, Πασχάσιε, πέμπε· οὐ γὰρ ὃς ἐρᾷ του ἐθέλει, εἰ μή πού τίς ἐστι δύσερως, ἐφ' οὕτω χρόνον μακρὸν τοῦ ἐρωμένου ἀφίστασθαι". Πρὸς ταῦτα φησὶν ὁ Πασχάσιος· "Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγορεύεις. ὅμως ἔτι μικρόν μοι ἀπόκριναι, ἅττα ἄν σε καὶ ἔρωμαι, ἵνα μᾶλλον αἰσχίων φανῇς καὶ οὐ συνιεῖσα ἅττα ληρεῖς. πῶς ὁ Ἰσραηλίτης ἐκεῖνος ἀνήρ, ὁ σὸς διάπυρος ἐραστὴς Ἰησοῦς, ὁ ἐκ γυναικὸς πενιχρᾶς ἐν φάτνῃ τε-

2 δίαν B    3 σ(ωτη)ρίασ B    4 γυναίων B    5 βασκενουσῶν B    6 ὡσ εἴπαιμι, εἰκάσασ B    9 ὀυκαχάρισ B    10 πολέμϊ B || ὀυκασίμων B    11 μὲν A δὲ B    12 τήρει A τήθει B    13 ἐθέλεις (η) A    14 ὅσσοι B    19 ἄνχρονοσ B || κατ' ἐμὲ om B    20 προτούτον B || ἐρωμένωσ B    21 ἐρωμένην A ἔρωνοσ B || κατάσχοι (η) A || μαι B    24 ἐφ' ὅτω χρόνω B    25 πάλιν φησὶ B    26 Ὠκύμορος —ἀγορεύεις] Il. Σ 95    27 ἀπόκρινε B || αἰσχυων B    28 συνεῖσα ἄτγα B

χθείς, τριακοσίων ἑξήκοντα καὶ τριῶν εἰς ἐμὲ μόλις παρῳχηκότων ἐνιαυτῶν, ὁ παρὰ τὰ Ἱεροσόλυμα ὄρη καὶ τὸ Ἱερὸν τὸ ἐν τούτοις ἐκδεδομένος Πιλάτῳ τοῖς ὁμοφύλοις Ἑβραίοις καὶ ὑποστὰς κακούργων διὰ σταυροῦ θάνατον καὶ ταφείς, πῶς θεὸς αἰώνιος καὶ ἀγέννητος; οὐ γὰρ ὃ γεννητὸν καὶ χθιζὸν αἰώνιον εἶναι ἐνὸν καὶ ἀθάνατον καὶ ἀγέννητον. ὁρᾷς, ἐς ὅσον φρενῶν μωρίας ἐλήλακας";

9. Ἡ μάρτυς δὲ φησὶ πρὸς αὐτόν· "Ἐγὼ γραμμάτων τὰ πρῶτα μόνα καὶ στοιχειώδη πεπαιδευμένη, Πασχάσιε, γραμματικῆς καὶ ῥητορικῆς εἰμὶ πάμπαν ἀμύητος. διαλεκτικῆς δὲ καὶ τῶν ἀριθμῶν, μουσικῆς τε καὶ ἄστρων κινήσεως, προσέτι δὲ γεωμετρίας καὶ ὀπτικῆς ἀποδέω τοσοῦτον, ὅσον ζωῆς θάνατος καὶ ὁπόσον στερήσεως μέτεστι τοῖς σοῖς δαίμοσιν ἀρετῆς. καὶ διαλέγεσθαι οὐκ ἐξόν μοι, ὅμως (κύριος γάρ φησι "σοφιεῖ τυφλοὺς καὶ συνετιεῖ νηπίους") χωρῶ πρὸς τὸν τυφῶνα καὶ τὴν ἐριώλην τοῦ λόγου, καὶ δὴ ἀποκριτέον ὡς οἷόν τε. Πασχάσιε δούξ, παίζεις ἢ σπεύδεις; εἰ μὲν παίζεις, οὐχ ὑπηρετητέαν ποιητέον ἐστὶ γλῶσσαν παρθένον τοῖς παίζουσιν· εἰ δὲ σπεύδεις καὶ θέλεις, μαθήσῃ. καὶ εἰ ἅμα δὲ καὶ παίζεις καὶ σπεύδεις, ἐμοὶ μὲν λεκτέον, σοὶ δὲ ἀκουστέον. καὶ μὲν "δή σε κακῶν ἐκλύσομαι ἠδὲ σαώσω. ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλω, ἣ πρὶν ἐπῆεν, ὄφρ' ἐὺ γινώσκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα"· ὃς θεὸς ὢν αἰώνιος, ἀγέννητος, ἄκτιστος, ἄχρονος, ἄναρχος, δι' ἐμὲ κατ' ἐμὲ γέγονεν, ἵν' ἐμὲ ποιήσῃ ὅπερ αὐτός, ὡς καὶ προλαβὼν ὁ λόγος ἐδήλωσε. σὺ δὲ καὶ δαιμόνων πλέον ἠναιδευμένε, ἐκείνων θεὸν ὁμολογούντων αὐτὸν τῷ κεκραγέναι τρανῶς, ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς· προφέρων τὴν ἐκ γυναικὸς γέννησιν ἐξαιρεῖς αὐτὸν τῆς θεότητος. ἀλλὰ μὴ οὕτω νόει· ὡς δ' οἱ ἀληθεῖς τοῦ λόγου προσκυνηταὶ καὶ τῆς οἰκονομίας θαυμάσεις ἂν τὴν ἄκραν φιλανθρωπίαν, ἢ μώμους ἐπιρρίψεις τῇ τῆς γεννήσεως ταπεινότητι. ἐκ γυναικὸς φῄς, ἀλλ'

6 εἰσ B 8 δὲ om B 10 καὶ post. om B 11 τὸν ἀριθμὸν B 12 ὀπτρικῆς A 13 σοῖ B 14 cf. Psalm. cxviii, 130 15 συνετίζει B || ἐριόλην B 17 ὑπηρετηταίαν B 19 εἰ A ἢ B 20 μὲν om B || δή σε — ἄνδρα] Od. κ 286. Il. E 127—128 21 εὖ AB || γινώσκεις A 25 δαιμόων B || ἠναιδευμένος B 29 καὶ θαυμάσησ B || εἰ μῶμον B



ὁποίας εἰπέ. παρθένου, κόρης ἁγνῆς, ἀμιάντου. συνελήφθη σύλληψιν οἵαν; μῶν ἐξ ἀνδρὸς σπέρματος ἐκυήθη μοι λέγεις; ἐκ καταμηνίων; ἐξ αἵματος; ἆρα τρεφόμενος, χρόνῳ διαπλαττόμενος καὶ συμμορφαζόμενος; πνεῦμα ἅγιον τὴν καθαρὰν ἐπεσκίασε κόρην, καθ' ὁλομέρειαν ὅλον ὡς ὅλον ἡ ἱερὰ μήτρα τὸ βρέφος ἐνεκυμόνησεν· ἐγεννήθη, ἀλλ' ἄνευ ὠδίνων. εἰ δὲ καὶ τὸ σπήλαιον καὶ τὴν φάτνην σύρειν ἐθέλεις ὡς εὐτελῆ μὲν οἰκίαν τὸ σπήλαιον, ὡς ταπεινὴν δὲ λικνείαν τὸ φάτνιον, ἀλλ' ἐκεῖ μὲν ἔχεις ἀγγέλους, ἐνταῦθα δὲ βλέπεις ποιμένας τοῦ θαύματος μάρτυρας. λαμπάδας ἔγνως ἀστέρος νεοφανοῦς, καὶ μάγους ὅρα Περσίδος νεογενεῖς· ταυτὶ δὲ ὑπὲρ φύσιν μακρὰν ἀφεστήκασι φύσεως. ἀλλὰ ταφὴν ἐπάγεις καὶ θάνατον; ἀλλ' ἀναστὰς ἐκ τάφου τριήμερος σκυλεύει θάνατον, τάφους ἀνοίγνυσι, ζωὴν πρυτανεύει. εἰ δέ μοι καὶ τοῦτο ἀνερωτᾷς χαριεντιζόμενος, τί μὴ μένων θεὸς ἄνωθεν ἀλλ' ἑαυτὸν κενώσας δούλου μορφῇ ταῦτα εἰργάσατο, ἐν μικροῖς τὰ μεγάλα λόγοις προδείξω σοι καὶ τὴν οἰκονομίαν πείσω θαυμάζειν σε. εἰ βασιλεὺς ἀγαθὸς καὶ ἀγαθὸς τὰ πολέμια τοὺς πολεμίους ὁρῶν μὴ τεθαρρηκότας μὲν τῷ ἑαυτοῦ προσβαλεῖν τάγματι, ἀδεῶς δὲ ἀναιροῦντας ἕτερον τάγμα βασιλικόν, αὐτὸς ἐκείνου τὴν πενιχρὰν πανοπλίαν ἀναδυσάμενος, τὴν βασιλικὴν δ' ἐκείνῳ τῷ ἀσθενεῖ τάγματι ἐπενδύσειε καὶ καταστρατηγήσει καὶ ἀναλώσει τὸν ἀνθιστάμενον, ὡς ἂν ὁ ἡττημένος αὐτὸς δοκοίη τὴν ἧτταν ἀνακαλέσασθαι, ἆρ' ἂν τῆς ἀρίστης ἐκείνης οἰκονομίας κακίζοιτο καὶ ταπεινώσεως ἔγκλημα φέροιτο, εἴτ' οὖν ὡς τῷ ὄντι στρατηγικὸς καὶ ἀγαθὸς βασιλεὺς αἰνοῖτό τε καὶ θαυμάζοιτο; εἰ δὲ βασιλεὺς τοιοῦτος τῆς οἰκονομίας αἰνοῖτο, πόσον ἡ τοῦ θεοῦ φιλανθρωπία οὐχὶ θαυμάζεσθαι δίκαιον, ὅτι τὸν ἡττημένον ἐποίησε τῷ δοκεῖν τὴν ἧτταν ἀνακαλέσασθαι";

10. Ταῦτα καὶ ἕτερα ἄττα τοιαῦτα εἰπούσης τῆς μάρτυρος, θυμῷ ὑπερζέοντι ἀγριάνας ὁ τύραννος εἴδη βασάνων καὶ κολα-

5 μνήστρα B || ἐνεγκυμόνησεν B 6 ἀνέυωδύνων B 8 λικνίαν B 9 δὲ om B 12 ἐπάγει B 14 ἄνθεν pro ἄνωθεν B 15 ἑαυτὸν — μορφῇ] cf. Phil. ii, 7 || μορφὴν B 16 πρόσδέιξω B 17 πολέμεια B 18 ἑάυτῶ B || ἀδεῶσ A ἀναιδῶσ B 19 αὖ ἐκείνοσ B 20 ἐκείνου B 22 ἥττωμενοσ B || δοκέιη B || ἀναπαλαίσασθαι B 23 ἂν τῆς A αἴτιοσ B || καὶπεινώσεωσ B 25 αἰνοῖτό usque ad βασιλεὺς om B 26 ἀινείτω B 28 ἀναπαλέσασθαι B 30 ἀγριάνασ A ἀγρυάνασ B

στηρίων ἠπείλει. ἡ δὲ ἁγία "Πνεῦμα θεοῦ" φησίν "ἐπ' ἐμὲ καὶ οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος". καὶ ὃς πρῶτα μὲν εἰς πορνεῖον ἐκέλευσεν αὐτὴν ἀπαχθῆναι καὶ ἀσελγέσι δοθῆναι ὡς πρὸς βιαίαν κύπριν καὶ ἄσεμνον· ὡς δὲ καὶ χεὶρ ὑπερενικᾶτο πᾶσα καὶ δύναμις μετακινεῖν ταύτην βιαζομένη, ἡ μάρτυς δὲ οὕτω στερρᾷ τῇ βάσει ἐνίδρυτο χειρὶ θεοῦ τοῦ ταύτην στηρίζοντος, ἐκέλευσε τοῦ λοιποῦ ζεύγη βοῶν καὶ τὰς πέντε τῆς γεωμετρίας ἀρχάς, τὰς πέντε δυνάμεις, ἀχθῆναι, σφῆνάς τε καὶ πολύσπαστα, κοχλίας καὶ ἄξονας καὶ τοὺς ἐν περιτροχίῳ δὲ ἄξονας, ὑφ' ὧν πᾶσα μηχανουργία τελεῖται καὶ πᾶν ἐφέλκεται βάρος, ὡς ἂν ἐκείνην κἂν βραχύ τι τέως μετακινήσωσιν. ὡς δ' εἰς κενὸν καὶ ταῦτα παρήχθη, ἀκαθαρσίαν παντοίων οὔρων, αἱμάτων, λυμάτων γαστρὸς ἐπερρίπτουν τῇ μάρτυρι φέροντες. ὡς δὲ τηνάλλως τὸ πᾶν ἐδρᾶτο μηχάνημα, πῦρ κύκλῳ αὐτῆς ὑπανάπτουσιν· ἡ δὲ μακαρία εἰς προσευχὴν τρεπομένη "Πάτερ", φησίν, "ὁ θεὸς τῶν πατέρων ἡμῶν, τοῦ Ἀβραάμ, Ἰσαάκ, Ἰακὼβ καὶ τῶν ἀπ' αἰῶνος τῷ σῷ ἁγίῳ εὐαρεστησάντων ὀνόματι, ὁ τοὺς τρεῖς παῖδας τῆς ἐν Βαβυλῶνι καμίνου ἀθιγεῖς διατηρήσας πυρός, φύλαξον καὶ νῦν ἀβλαβῆ πυρὸς καὶ ἀδιαλώβητον τὴν σὴν δούλην οὕτω παρθένον νέαν καὶ ἁπαλὴν τῷ σῷ τεθαρρηκυῖαν ὀνόματι, ἵνα μὴ ἄροιεν ὕψοῦ τὸν αὐχένα, ἵνα μὴ κατὰ σοῦ φρυάξαιντο οἱ ἐχθροί σου". ὡς δὲ ταῖς εὐχαῖς τῇ μακαρίᾳ τὸ πῦρ ὑπεχώρει πορρώτερον, ὡς τοῖς ἐν Χαλδαίᾳ παισίν, ὡς οἷά τις ὀλυμπιονίκης πενταθλονίκης τεθαρρηκότως τῷ Πασχασίῳ φησί· "Πασχάσιε, εἰδωλομανεῖς, εἰδωλολατρεῖς, δεισιδαιμονᾷς, μᾶλλον δὲ καὶ δαιμονᾷς καὶ θεομαχεῖς, οἰόμενος μετατρέπειν ἀνθρώπους τῆς πρὸς θεὸν ἀληθοῦς πίστεως, τοιούτων θαυμάτων ἠξιωμένους. οὐ παρὰ Βαβυλωνίοις μόνοις τοιοῦτον θεὸς ἐκαινούργησε θαῦμα

1 cf. Psalm. LV, 12    3 προσαχθῆναι B    4 ὑπερνικᾶτο B    7/8 γεωτριαρχίασ B    8 ἀρχὰς τὰς πέντε om B || πολύσπαστα * πολύσπατα AB    9 κοχλίας τὲ καὶ B    11 ἐκένην || B μετακινήσουσιν B    12 οὔρων A ἐύρῶν B    13 αἱμ. καὶ B || ἐπέρριπτον B    14 τὴν τὴν ἄλωσ B    16 ὁ θεὸς om B    18 τοὺς ἐν βαβυλωνίαια χαμίνω B    20 καὶ om B    21 ἄροι ἐνυψοῦ B    23 πορρότερον B || χαλδάδι B    23/24 ὁιά τισ ἤγουν γενναιότατοσ καὶ ἐν παλαίστρα στεφανωθεὶσ ὀλυμπιονίκησ B    25 δυσειδαιμονᾶσ B    26 μὲ τατρέπει B    27 ἠξιωμένη B    28 μόνοις om B || ἐκαινοτούργησε A



πυρός, ἀλλὰ μυρία μυριαχοῦ θεοῦ τὰ τεράστια· τοὺς γὰρ πρὸ νόμου καὶ μετὰ νόμον τεθαρρηκότας αὐτῷ, ἢ καὶ νόμων ἐχομένους πατρῴων καὶ δίκην σεβάσματος τηροῦντας, αὐτὸς παρὼν ἀοράτως καὶ πυρὸς ἐξαρπάζει καὶ δυσχερῶν τῶν ἑτέρων. ἐν Βαβυλῶνι, θεοστυγὲς ἄνθρωπε, τοὺς τρεῖς ἐκείνους παῖδας Ἰσραηλίτας φλογὸς πυρὸς ἐρρύσατο, ἀνθ' ὧν ἐτήρουν νόμους πατρῴους. Ἕλληνας δύο, καλοὺς νεανίας ἐκ τῆς Κατάνης τὸ γένος, τὸν Ἀναπίαν καὶ τὸν Ἀμφίνομον, εἴτε Καλλίαν καὶ τὸν Φιλόνομον, Αἰτναίου πυρὸς ποταμοῦ πατροστοργίας ἕνεκα σφᾶς καινοτέρως ἐξήρπασεν· ὀγδοηκοστῇ γὰρ καὶ πρώτῃ ὀλυμπιάδι Καταναίων πολλῶν ἐφευρημένων τῇ Αἴτνῃ, πρώτως τὸ πῦρ ποταμηδὸν τότε καταρραγὲν τοὺς ἐφευρημένους ὁμοῦ περιέσχεν· οἱ δὲ ῥηθέντες μοι νῦν καλοὶ νεανίαι τοὺς σφῶν πατέρας γεγηρακότας τοῖς ὤμοις ἀράμενοι μέσον τοῦ πυρὸς διεξέσῳζον. θεὸς δὲ τῷ τῆς πατροστοργίας τὸ πῦρ ἐκείνους αἰδεσθῆναι πεποίηκεν· εὐθὺς γὰρ ὥσπερ αἴσθησιν σχὸν ἐκείνοις μὲν ὑπολωφῆσαν καὶ εἶξαν ῥᾴως εὖ μάλα καὶ εὐμαρῶς τὴν διέξοδον δίδωσι, πιμπρᾷ δὲ τοὺς ἄλλους Γομόρρας πυρὸς οὐδὲν ἐλαττούμενον. οὗτος οὐχ Ἰσραηλίταις μόνοις, ὦ τύραννε, οὐδὲ μόνοις τῷ Ἀναπίᾳ καὶ Ἀμφινόμῳ τοῖς Καταναίοις, ἀλλά γε δὴ καὶ ἡμῖν καὶ πᾶσι τοῖς εἰς αὐτὸν πεποιθόσι σωτήριος γίνεται φυλακτὴρ καὶ συντήρησις πυρός, θαλάσσης, γῆς, στροφῶν, καταιγίδων".

11. Ὡς δὲ πρὸς παράκλησιν πάλιν ὁ τύραννος καὶ πρὸς θωπείας ἐτράπη τῆς μάρτυρος, "Σύγγνωθί μοι" λέγων, "ὦ τέκνον, νενικημένῳ θυμῷ καὶ τοσαῦτά σοι παροινήσαντι, καὶ θῦσον θεοῖς τοῖς σοῦ φεισαμένοις καὶ σὲ τοῦ πυρὸς διαρπάσασιν", — "Οὔ, μὰ τὰς ἀρετὰς τῶν ἐμῶν προγόνων", ἡ μάρτυς φησίν, "οὐ θύσω τοῖς δαιμονίοις, οὐκ ἀποστήσομαι ζῶντος θεοῦ· οὔ, μὰ τὰς ἀρετὰς τοῦ γένους καὶ τῶν ἐμῶν προγόνων, Πασχάσιε, οὗ οἵ λόγοις καὶ ἔργοις τῆς ἡμετέρας πατρίδος προεκινδύνευον. Συρακουσία τὸ γένος καθέστηκα· οὐκ αἰσχυνῶ τὴν πατρίδα, οὐκ αἰσχυνῶ τὸν χρη-

1 ἀλλά τε μυριάυχοῦτοσ θεοῦ B    3 δίκησ σέβασ A    6 δὲ δύο B    7 Ἀναπίαν * ἀπίαν AB; vide p. 83, 3    8 ἦτε B || φϊλώνυμον B    9 σφᾶς A φοὺσ B || ἐξήρπαζεν B    10 κατανέων AB    13 τοὺσφῶν B || τοῦ om B    14 τῶ A τὸ B || τὸ om B    17 οὐδὲνηλατ. B    18 οὕτωσ B    19 ἀπία A || κατανεοισ A    20 σωτήριον γ. φυλακὴ B    26 θύσω δαίμοσιν B    29 προεκινδύνευσαν B

σμὸν τῶν πινόντων ὕδωρ τὸ Ἀρεθούσιον, οὗ τοιοῦτός τις νοῦς. γαίης μὲν ἁπάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον, ἵπποι Θρηΐκιαι, Θετταλικαί, Λακεδαιμόνιαι δὲ γυναῖκες, ἄνδρες δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης. προπάτορα τὸν ἐμὸν Ἀρχιμήδην ἐκεῖνον αἰδοῦμαι, ὃς Μάρκελλον διά τε γῆς καὶ θαλάσσης τῇ Συρακούσῃ προσβάλλοντα ταῖς μηχαναῖς ἀπεκρούσατο, πῇ μὲν τὰς ὁλκάδας ἐκείνου πρὸς τὸ τεῖχος μετεωρότερον ἀναρτῶν μηχαναῖς καὶ οὕτω βυθῷ παραπέμπων, πῇ δὲ ἀκοντίζειν ποιῶν ἄνδρα ἕκαστον λίθους ἁμαξιαίους καὶ ταύτας ὑποβρυχίους ποιῶν, ἐξορμισάσας δ' αὐτὰς ἔτι πορρώτερον ταῖς ἀεροτόνοις τῶν μηχανῶν· εἰ δὲ καὶ τόξου βολὴν ἀποσταίησαν ἐκ τῶν τειχῶν πρὸς τὸ πέλαγος, ἐν ἑξαγώνοις κατόπτροις τετραπλουμένοις λαμπάδας ἡλίου δεχόμενος καὶ ταύτας φλέγων ἀντανακλάσεσιν. αἰσχύνομαι ποταμὸν τὸν Ἀρκάδα, ὃς εἰς τὴν παρ' ἡμᾶς λίμνην Ἀρέθουσαν ἐκ νήσου τοῦ Πέλοπος νυμφίος ὑγρὸς τοσοῦτον περαιούμενος πέλαγος ἀμιγὴς ἅλμης τῇ ἐρωμένῃ συνέρχεται. εἰμὶ κἀγὼ κατ' αὐτὸν ἀμιγὴς ἅλμης βιωτικῆς· χωρήσω πρὸς τὸν ἐμὸν ἐραστὴν καὶ πρὸς αὐτὸν τὰ τῆς ᾀσματιζούσης προσφθέγξομαι ῥήματα. οὐκ αἰσχυνῶ τούτων οὐδέν', οὐδ' ὑπ' αὐτῶν ὑποπεσοῦμαι τινὶ αἰτιάματι. γενήσομαι καὶ αὐτὴ Ἀρχιμήδης· βουλεύσομαι βούλευμα, ὃ πρὸς τὴν πρώτην καὶ ἄνω ἀρχὴν ἀναγάγῃ με. ἐκεῖνος ἀντετάξατο Μαρκέλλῳ τῷ αἰσθητῷ, ἐγὼ νῦν ἀντιτάξομαι Μαρκέλλῳ τῷ νοητῷ τῇ Συρακούσῃ προσβάλλοντι κατά τε γῆν καὶ τὴν θάλασσαν. θέλεις ἀκοῦσαι καὶ πῶς ἐστι Μάρκελλος οὗτος καὶ τίς ἡ Συράκουσα; Συράκουσα μὲν πόλις ἡμῶν φύσις καθέστηκεν, ἡ τοῖς διεφθορόσι καὶ δερματίνοις συρακωθεῖσα χιτῶσι, Μάρκελλος δὲ ὁ μαραίνειν πειρώμενος τῷ προσεγγίζειν καὶ κέλλειν ἡμᾶς τὰ νέα φυτά, ἢ ὁ διδοὺς μόρον ψυχῆς ἐν τῷ κέλλειν. πειρᾶται δὲ διὰ γῆς καὶ θαλάσσης, διά τε φόβων ἐπηρειῶν καὶ ἀπειλῶν τῶν στερρῶν καὶ τῶν ἡδέων καὶ

1 χρησμὸν] Tzetz. Chiliad. IX, hist. 291 ‖ οὗ B οὗ A ‖ τί B 2 θρηήκυιαι B 3 λακεδαιμόνιοι (ai supra lin.) A ‖ πίνουσοι B 4 δὲ τὸν B ‖ ἐκεῖνον om B 5 μαρκέλλου B 6 προσβάλλονται B ‖ τὰς om B 7 μεταιωρώτερον B 9 ἐξορμησάσαισ (ας supra lin.) δ' αὐταῖσ (άς supra lin.) A ἐξώρμησε δ' αὐταῖσ B 11 βουλὴν ἀποστέασαν B ‖ τειχῶν B τριχῶν A 11 κατ. παραπλουμένοισ B ‖ ἡλίου ουδεχομένοισ B 13 φλέγει B 14 πέλωποσ νυμφίου B 16 ἀμιγὴς om B 18 προφθέξομαι B ‖ τοῦτον B 19 αὐτὸν B 20 βουλόυσομαι βούλευμαι B 21 ἀναγάγησ B 23 πῶς A ποῖος B 24 ὀύτῶς B 27 προσεγγὶν B 28 φόβον B



διαρρύτων, διὰ τῶν ἑλκτικῶν ἐκείνου δυνάμεων τοὺς ψυχικοὺς προβόλους ἡμῶν κατασπᾶν. γενήσομαι οὖν κἀγὼ Ἀρχιμήδης, ὡς ἔφην, καὶ ἀντιτάξομαι Μαρκέλλῳ τῷ νοητῷ, σοφαῖς αὐτὸν μηχαναῖς καταθραύουσα. ἀνέσπασεν Ἀρχιμήδης τὰς πρὸς τὸ τεῖχος ὁλκάδας ἐκείνου μηχαναῖς ταῖς διὰ ξύλων καὶ σιδηρίων μετεωρότερον καὶ τῷ βυθῷ ἀπεώσατο· ἐπὶ τὸ μετέωρον στᾶσα κἀγὼ τῆς Συρακούσης, σαρκός, δυνάμει τῇ τοῦ σταυροῦ χρησαμένῃ εἰς τὸ μηχάνημα, τοῦ ἀπὸ κέδρου καὶ ἀπὸ πεύκης καὶ κυπαρίσσου παγέντος, καὶ τῇ τῶν ἥλων, οἷς ὡς ἅρπαξι σιδηροῖς ἀνάξω καὶ δήλας ποιήσω τὰς ἑλκούσας αὐτοῦ ἡδονάς τε καὶ μηχανάς, καὶ τῷ βυθῷ καὶ χάει αὐτὰς παραπέμψαιμι. μικρὸν ὑπεκστάσας τοῦ τείχους ἐκείνας κατ' ἄνδρα ἕκαστον Συρακούσιον ἐποίει βάλλειν αὐτὰς ἁμαξιαίοις τοῖς λίθοις, τοῖς ἀεροτόνοις δὲ τὰς πλέον ἐκστάσας· κἀγὼ τῷ ἐμῷ ἀκρογωνιαίῳ λίθῳ, Χριστῷ, πῇ μὲν ἁμαξιαίῳ, πῇ δὲ ὠμοφορήτῳ χρωμένῃ καὶ ἀεροτόνῳ καὶ μετεώρῳ μηχανουργήματι ἐπιθεῖσα μακρακοντίζοντι πᾶν τούτου καταρράξω πρόβλημα πορθητήριον· καὶ ἄλλοις ἐξηγησαίμην, ὡς χρὴ καταβαλεῖν αὐτὰ τὰ τέκνα καὶ τὰ προβλήματα καὶ τὰ πρωτότοκα τῆς ταλαιπώρου Βαβυλῶνος, τῆς ἁμαρτίας· Βαβυλὼν γάρ, ταλαίπωρε, φησί, μακάριος, ὃς ἐδαφιεῖ τὰ τέκνα σου πρὸς τὴν πέτραν. κατέφλεξεν ἐκεῖνος κατόπτρῳ τὰς ἔτι πλέον ἀφεστηκυίας ὡς πρὸς τὸ πέλαγος· κἀγὼ δέ, κάτοπτρον γάρ εἰμι καὶ τύπος εἰκόνος θεοῦ, δεξαμένη ἐκείνου τὴν αἴγλην τὴν ἀρίφωτον ἐμπιπρῴην ἐκεῖνα τοῖς θείοις ταύτης ἀκτῖνος ἀντισελάσμασι. τολμῶ τι παραβολώτερον λέγειν, Πασχάσιε. Ἀρχιμήδης ἐκεῖνος ὁ ἐμὸς συγγενὴς τῇ μηχανῇ τῇ τρισπάτῳ, τῇ καλουμένῃ καὶ χαριστίωνι, πολλὰ βάρη τῶν δυσκινήτων μετακινῶν ἔλεγε πᾶσαν ἂν κινῆσαι τὴν γῆν, εἰ εὕροι ἕτερον τόπον, ὅπῃ ἐδράσοι τὸν χαριστίωνα. ταῦτα μὲν οὗτος εἶπεν, οὐκ ἔδρασε

1/2 προπροβόλουσ B 2 post Ἀρχιμήδης spatium in B ‖ ὡς ἔφην usque ad σοφαῖς αὐ desunt in B 4 καταθράυουσ B 5 σιδήρων B ‖ μεταίδρον B 6 μεταίδρον B ‖ συρακούσασ B 11 παραπέμψαιμσι B ‖ τέιχου B 13 ἀθροτόνοισ B 14 ἀκρογ. λίθῳ] cf. Ephes. II, 20. Petri 1, II, 6 15 ὁμοφόρει τῶ χρωμένον B ‖ μεταιώρω B 16 μακροκοντ. B ‖ τοῦτο B 17 ἄλλοις om B ‖ post καταβα spatiun in B ‖ λεῖν usque ad ταλαι desunt in B 19 ταλαίπορε B ‖ μακάριος —πέτραν] cf. Psalm. CXXXVI, 8-9 22 ἐκείνου post αἴγλην in B 23 ἀρρήφωτον B 24 παραβολώτερον * παραβώτερον A παρέκβατικώτερον B 26 καὶ om B ‖ δυσκεινήτων B 27 κενῆσαι B ‖ εὐροιέν B 28 εἶπεν A ἔφη B

δέ· ἐγὼ δὲ θείᾳ χάριτι καὶ τῷ χαριστίωνι τῷ τρισπάτῳ, πατρός, υἱοῦ καὶ τοῦ πνεύματος, ἄνω ἀναπτερώσασα ἑαυτὴν μεταρσιώσω τὴν γῆν, τὸ γεηρὸν τοῦτο σῶμα καὶ ὑλικόν".

12. Ταῦτα ἡ μάρτυς. ὡς δ' ἀπογνοὺς ὁ τύραννός οἱ τὴν κεφαλὴν εἶπεν ἀποτεμεῖν, πάλιν ταδὶ ἀνεφθέγξατο· "Ἀρχιμήδης ἐκεῖνος ὁ πρόγονος ὁ ἐμὸς καὶ μέχρι τῆσδε τῆς τελευταίας ἀναπνοῆς μοι τὸν λόγον χαρίζεται· μηχανικὸν γάρ οἱ διάγραμμα γράφοντι, προδοσίᾳ τῆς Συρακούσης ἁλούσης, ἐπιστάς τις Ῥωμαῖος πολέμιος εἷλκεν αὐτὸν τῆς χειρὸς ἐπικεκυφότα τῷ διαγράμματι. ὁ δὲ Συρακουσίων τινὰ εἶναι οἰόμενος, Ἀπόστηθι, ἔλεγεν, ἄνθρωπε, τῆς γραμμῆς. ὡς δ' Εἴπερ μὴ ἕπῃ, ἀφελῶ σου, εἶπε, τὴν κεφαλήν, Ἀρχιμήδης Ἑλεῖς, ἔφη, ἄνθρωπε, τό· κλῦθι ἐμεῦ.— Ἐγὼ δέ τοι ἐξεροῦμαι· ναὶ τὼς σύ· ὥς, Ἀρχιμήδη, βέλτατον ἔντι πὰρ κεφαλὰν ἔμμεναι ἢ πὰρ γραμμήν. κἀμοὶ δέ, ἀνθρώπιον εἰδωλοπλανές, πὰρ κεφαλὰν βέλτερον εἶναι ἢ παρὰ τὴν εἰς θεὸν ἄγουσαν εὐθεῖαν γραμμήν".

13. Ταῦτα εἰποῦσα καὶ Μαξιμιανοῦ προφητεύσασα θάνατον καὶ Διοκλητιανοῦ σκήπτρων ἀπόπτωσιν, τὴν ἱερὰν κεφαλὴν ἀποτέμνεται καὶ τὸ πνεῦμα θεῷ παρατίθησι. καὶ τότε μὲν ὁ περιούσιος λαὸς τοῦ Χριστοῦ τὸ ἱερὸν αὐτῆς σῶμα σχεδίῳ τάφῳ καλύπτουσιν, ὕστερον δὲ περικαλλεῖ νεῷ τιμῶσι την μάρτυρα καὶ λάρνακι προσηκούσῃ αὐτὴν κατατίθενται, ἣ οὐχ ὡς Ἀστερόπη Γοργόνης πρὶν βόστρυχος, ἀλλ' ἐν Συρακούσῃ θεόθεν νῦν φρούριον, ὡς Σιλωὰμ κολυμβήθρα πηγάζουσα θαύματα.

14. Ἀλλ' ὦ καλλίνικε μάρτυς, εἰρήνην αἴτει ταῖς ἐκκλησίαις,
ῥηγὶ δὲ Σικελίης τε καὶ Ἰταλίης βαθυκάρπου,
ἤπιά τε κρατέοντι καὶ ἤπιον ἦτορ ἔχοντι,

---

1 θεία om A || $\overset{ῆ}{τῶ}$ χαρ. τῆ A  2 ἁγίου $\overline{πνσ}$ B  4 οἷ AB  5 τάδ' ἀνεφέγξατο B  7 post ἀναπνοῆς spatium in B || ἀναπνοῆς usque ad γράφοντι om B  8 $\overset{γρ.\ προδοσία}{προδότησ}$ A προδότηστητῆσ B || οἷ AB  9 τοῖς διαγράμμασιν B  10 συρακούσιον εἶναι B ἔλεγεν om B  11 μὴ ἔπῃ A νοῦν οὗτοσ B  12 Ἕλεισ B  13 ἐξερεῦμαι B || τῶσ σὺ A πῶσ σοὶ B || ἀρχιμήδην B  14 ἦν πάρ γραμμὰν B || ἀνθρώπιον Kurtz, ἀνθρώπινον AB  15 κεφαλὴν B  17 προφητεύουσα A  19 τῷ θεῷ παρτήθησι δεκάτην τρίτην τοῦ μηνὸσ ἄγοντοσ, τοῦ παρὰ ῥωμάιοισ δεκεμβρίου, καὶ τότε ὁ B  20 σῶμα om B  21 περκαλλεῖ τὲ B  22 ἀστεροπίον γοργόνησ B  23/24 inter βο et θρα spatium in B  25 ὦ παρθ(ε)ν(ο)μάρτυσ B  26 σικελίνησ B



ὄλβια δῶρα δίδωθι, καί οἱ κλέος ἐσθλὸν ὀπάζοις,
εἴ τις εὐσεβίης θεοτερπέος ἐστὶν ἀμοιβή,
ἀρχοῖς πᾶσί τε τοῦδε καὶ ἡγεμόνεσσι πολήων
καὶ λαοῖς σύμπασι καὶ ἡμετέρῃσιν ἀοιδαῖς,
ὕμνοις ὅττι σέο κλεινὴν κύδηνον ἑορτήν,

εἰς δόξαν τῆς ὁμοουσίου καὶ ἀδιαιρέτου τριάδος· ᾗ πρέπει τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

## SCHOLIA IN ORATIONEM TZETZAE

# de s. Lucia.

Pag. 80,1 ***ἁβρύνονται***] κοσμοῦνται A.  2 ***τιμαλφὲς***] ἤγουν τίμιον πρᾶγμα A.  3 ***τελεσφόρημα***] καρποφόρημα, τελείως φέρον τοὺς καθ' ὥραν καρπούς A.  4 ***Γαδειραῖον***] Γάδειρα καὶ θηλυκῶς καὶ οὐδετέρως λέγεται. ἀπὸ τοῦ γῆ καὶ τοῦ δειρὰ γέγονε Γάδειρα, οἱονεὶ γῆς δειρά· τὰ γὰρ Γάδειρα τῆς γῆς ἐξοχή ἐστιν. ἔστι δὲ πόλις καὶ νῆσος. ὁ π⟨ο⟩λ(ίτης) Γαδειρεύς. λέγεται καὶ Γαδείρης καὶ Γαδειρίτης, καὶ Γαδειραῖον ὡς ἀπὸ τοῦ θηλυκοῦ τοῦ Γάδειρα, καὶ Γαδειρηνός· καὶ κτητικὸν Γαδειρικός A. Cf. Etym. M. 219,32. Steph. Byz. 193 Meinekii || ***κρόνιον***] Χρύσιππος λέγει, ὅτι καθύγρων ὄντων τῶν ὅλων καὶ ὄμβρων καταφερομένων πολλῶν, τὴν ἔκρυσιν τούτων Κρόνον ὠνομάσθαι A. Cf. Etym. M. 540,9.  5 ***Βρεττανῶν***] νῆσος περὶ τὸν Ὠκεανόν A.  6 ***Κελτῶν***] Κελτὼ Βρεττ⟨ανοῦ⟩ θυγάτηρ ἐρασθεῖ⟨σα Ἡ⟩ρακλέους παρεκ⟨άλει⟩ αὐτὸν μιγῆναι ⟨αὐτῇ⟩. καὶ τοῦτο πράξας ⟨ἀπέ⟩λιπεν αὐτῇ τόξ⟨ον, εἰπών⟩· ἐὰν ἄρρεν γεννη⟨θῇ, * εἰ δύ⟨ναται τεῖναι τὸ τόξ⟨ον, καὶ⟩ ἐγεννήθη παῖς Κελ⟨τός⟩, ἀφ' οὗ Κελτο⟨ί⟩ A. Cf. Etym. M. 502,45 || ***Κελτῶν***] Ἑρμ(ηνεία) περὶ Κέλτου. Ἔστι τις ποταμὸς καλούμενος Κέλτος, τὰ γνήσια τέκνα σῴζων, τὰ δὲ νόθα πνίγων B.  8 ***ἀκαριαίῳ***] ὀλίγῳ A || ***καὶ μονιαίῳ***] καὶ μόνῳ A.  10 ***ἁβρύνονται***] κοσμοῦνται A.  12 ***ἀνέκαθεν***] ἀπ' ἀρχῆς. μακρόθεν ἤτοι ἐκ πολ⟨λοῦ⟩. ἑκὰς γάρ ἐστιν τὸ μα⟨κράν⟩, ἔκαθεν, πόρ⟨ρωθεν⟩ A.  13 ***ἀρχαῖοι λόγοι***] διηγήματα A.  14 ***κατεμελίτωσαν***] ἐγλύκαναν A.

---

1 ἐσθλὸν ὀπάζοισ B ὀπάζει A  2 εὐσεβέωσ B εὐσεβείησ A  3 ἄρ πᾶσι B  5 σεῖο B || κύδειαν B

Pag. 81,2 **ἀνόθευτος**] γνησία A ‖ **ὁλικῶς**] διόλου A. 3 **τεμμαχιζομένη**] μεριζομένη A. 9 **Περσεφόνῃ**] παρὰ τὸ ⟨φέρω⟩ καὶ τὸ φόνος φερσ⟨ε⟩φόνη τις, πρὸς ἣν φέρονται οἱ πεφ⟨ο⟩νευμένοι A. Cf. Etym. M. 665, 47. 10 **ἀνακαλύπτριαν**] ἀνακαλυπτήρ⟨ια, ἀφ' οὗ⟩ ἀνακαλύπτρια. ⟨δηλοῖ τὰ⟩ διδόμενα ταῖς νύμφαις, ⟨ὅταν τὸ⟩ πρῶτον ἀνακαλύπτ⟨ωνται⟩ ἐν τῇ ἑστιάσει τῶν γάμων τοῖς ἀνδράσι καὶ τοῖς ἑστιωμένοις ὁρώμεναι A. Cf. Suid. sub. v. ἀνακαλυπτήρια ‖ **νεανιεύονται**] καυχῶνται A. 12 **Δήμητρος**] ἤγουν τῆς γῆς A ‖ **ἀνακληθρίδα πέτραν**] ἀνακλειθρίς (sic), ⟨πέτρα⟩ ἐν Μεγάροις, ὅ⟨τι⟩ ἡ Δημήτηρ κα⟨θε⟩σθεῖσα ἐπ' αὐτῆς ⟨ἀνε⟩καλεῖτο τὴν Κόρην· ⟨καὶ⟩ ἐκ τῆς ἀνακλί(=ή)σεως ⟨τὴν⟩ πέτραν ἀνακλει⟨θρί⟩δα κληθῆναι A. Cf. Et. M. 96,30 ‖ **ἀνακληθρίδα πέτραν**] ἔστι βοτάνη καὶ πέτρα ἀνοίγουσα τὰ κλεῖθρα B. 13 **Ἀρόην**] Ἀρόη πόλις Ἀ⟨χαΐας⟩. ἐκλήθη δὲ ἀπὸ τ⟨ῆς ἐρ⟩γασίας τῆς γῆς ἐ . . . εἴρηται ⟨δέ, ὅτι⟩ Τριπτόλε⟨μος ὁ Κε⟩λεοῦ ὑπὸ τῆς Δ⟨ή⟩μητρος κελ⟨ευσθεὶς⟩ διδάσκειν τοὺς ⟨ἀνθρώπους⟩ τὴν γεωργί(αν) τοῦ σ⟨ίτου⟩, ἐν αὐτῇ πρῶτον ἤρο⟨σέ τε⟩ καὶ ἔσπειρε, τὸ συμφυὲς τῆς γῆς καταμαθών. ⟨παρὰ τὸ ἀ⟩ρόσαι οὖν Ἀρ⟨όη⟩ A. Cf. Steph. Byz. 124. Et. M. 147,55 ‖ **κυκεῶνα**] κυκεών, ἡ πόσις. ἀπὸ τοῦ κεχύσθαι, χυχεών τις ὤν, πόμα κατασκευασθέν, παυστικὸν δίψης A. Cf. Et. M. 543,50. 14 **Ἰάμβης**] τόπος B ‖ **Ἰάμβης**] Ἰάμβη θεράπαινα Κελεοῦ καὶ Μετανείρας. αὕτη αἰσχρῶς ὑβρισθεῖσα ἀγχόνῃ τὸν βίον κατέλυσε A ‖ **σκώμματα**] λοιδορήματα A ‖ **Ἐλευσῖνα**] Ἐλευσίς, πόλις πλησίον Ἀθηνῶν. ἀπὸ τοῦ ἐλεύθω ἐλεύσω ἐλευσίς. παρ' αὐτῇ γὰρ κατέλυσεν ἡ Δημήτηρ ἐπὶ ζήτησιν πορευομένη τῆς ἑαυτῆς θυγατρός A. Cf. Et. M. 329,38-41. 15 **ταῖς ὑποθήκαις**] ταῖς παραινέσεσι A, ταῖς συμβουλαῖς B. 71 **δᾳδουχήμασιν**] λαμπρότησι A. 18 **γαργαλίζοντα**] γλυκαίνοντα A. 21 **φανῶς**] φανερῶς A. 23 **Ἀρόην**] τόπος ἢ πόλις ἀπὸ τῆς ἀροτριάσεως οὕτω λεγομένη B. 29 **τριτημόρια**] ⟨τ⟩οὺς ἓξ χαλκοῦς τοῦ ὀβολοῦ ⟨εἴρ⟩ηκε Φιλήμων τριτημόριον A. Cf. Suid s. v. ‖ **τριτημόρια**] τρία ἀκρωτήρια Σικελία(ς), Πελωρίς, Πάχυνον, Διλύβαιον B ‖ **Πελωρίς**] ⟨Π⟩ελωρὶς ἡ νῆσος, ἢ τόπος . . . τὸν διατί ω μέγα καὶ διατί ο μικροῦ . . . Πελωρίς τε Λιβύη τε A. Cf. Et. M. 659,51 ‖ **πρὸς ἄρκτους**] πρὸς βορέαν B.

Pag. 82, 1 **Πάχυνος**] ἀκρωτήριον Σικελίας A. Cf. Steph. Byz. 513,7. 4 **οὗ**] ὅπου A ‖ **Αἰνειάδαι**] ⟨Α⟩ἴνεια τόπος Θράκης ἀπὸ ⟨Αἰ⟩νείου A. Cf. Steph. Byz. 50,11. 5 **ἀλλεπαλλήλους ῥηγνύντες**] πυκνὰς συναθροίζοντες A. 7 **Κιμμέριον**] ⟨Κι⟩μμερίους φησὶν Ἡρακλείδης ⟨ὁ Πο⟩ντικὸς ὑποκάτω τοῦ Πόντου ⟨εἶ⟩ναι. Κιμμέριον δὲ λέγεται ⟨τὸ⟩ Σκυθικὸν ἔθνος A. Cf. Et. M. 513,44. 8 **φαέθων**] λάμπων A. 9 **Ταύρου**] Ταῦροι τὸ Σκυθικὸν ἔθνος καὶ ταυροπόλος ἡ Ἄρτεμις A ‖ **Ταύρου**] τῆς Ταυρομένης τὸν Ταῦρον λέγει, τὸ ὄρος τὸ περιορίζον Κιλικίαν καὶ Σκυθίαν καὶ μέχρι Τραπεζοῦντος B. 10 **ὁτὲ μὲν ἡλιοθερεῖς, ὁτὲ δὲ ἀνήλιοι**] σαράκοντα (sic) ἡμέρας ἥλιον οὐκ ἔχουσιν οἱ ἐκεῖσε B. 12 **κα-**



**ταβαπτίζεται**] (κατα)βυθίζεται A. 41 **σφοῖς**] ἐκείνοις A. 15 **τελεσφορεῖται**] τελεῖται A. 17 **ὁποῖος ἦν** etc.] οὗτοι πάντες π⟨οιη⟩ταί, περιηγηταὶ καὶ χωρογράφ⟨οι⟩ B. 19 **ἑσμὸς**] πλῆθος A. 24 **τυφῶνα**] τυφῶνα· οὐχ ἡ φλὸξ ἡ ἐκ τοῦ ἀέρος, ἀλλ' ἡ ἐκ τῆς ἀναθυμιάσεως συστροφή. λέγεται δὲ πυρώδης δαίμων A. Cf. Suid. s. v. τυφὼν et τυφῶνος. Etym. M. 772,32 ‖ **τυφῶνα**] ἀπὸ τοῦ τύφω τοῦ καίω. ἔ⟨στι⟩ δὲ πυρὸς ἀναθ⟨υμία⟩σις ἀπό τιν⟨ος⟩ στενωποῦ γεν⟨ο⟩μένη B. Cf. Etym. M. 772,30. 26 **τὸν Κωλυσανέμαν** etc] οὗτοι φιλοπ⟨άτο⟩ρες ὄντες τοὺς (σ)φ⟨ῶν⟩ πατέρας ἐκ τοῦ ⟨πυρὸς⟩ ἐρύσαντο ἐν ⟨οὐ⟩δενὶ ὑπὸ το⟨ύτου⟩ βλαβέντας B. 28 **σηραγγώδης**] βουνοειδής A.

Pag. 83, 2 **ἕκατι**] ἕνεκεν A, χάρ⟨ιν⟩ B 5 **ἐπάλξεις**] προμαχῶνας AB. 6 **μιν**] αὐτήν A ‖ **ὑμεναίοις**] γαμικοῖς ὕμνοις A, γαμηλίοι⟨ς⟩ B. 7 **Ἀρκαδικοῦ ποταμοῦ**] Ἀλφειοῦ A, τοῦ Ἀλφι⟨οῦ⟩ B. 8 **Ἀμφιτρίτης**] ὄνομα θαλάσσης A ‖ **τῶν Ἀμφιτρίτης λεχέων**] τῶν τῆς θαλάττης κραββάτων B ‖ **λεχέων**] κοιτῶν A. 9 **ἐγχώριον**] γειτνιάζουσαν A. 10 **τὰς συρραγὰς**] τὰς συμπλοκάς B. 11 **τριήρεις**] κάτεργα A. 13 **βαλλόμεναι**] λιθαζόμεναι A. 14 **σφενδόναις**] σφενδόνη ἡ λιθο⟨βό⟩λησις, τὸ σφένδολον (scribendum τὸ σφενδόβολον) A ‖ **ἐν ἑξαγώνοις κατόπτροις**] . . . σλοφύση τοῦ πυροῦ ///μέχι. καὶ πῦρ ἐκ ⟨τοῦ⟩ κατόπτρου φ<sup>ο</sup> /////ελθεῖν τρισσοτε/////ν τοῦ ἡλίου θερμε⟨νο⟩μένου B sic. 15 **ἀντανακλάσεσιν**] ἀντανάκλασις, κατάκλασις ἀπό τινος γινομένη. γίνεται δέ το⟨ῦτο⟩ ἐπὶ φωνῆς, ὅταν ἀν⟨τη⟩χῇ, καὶ ἐπὶ φωτὸς ἡ⟨λι⟩ακοῦ, ὅταν λείῳ τιν⟨ὶ ἢ⟩ λαμπροτάτῳ ὕδ⟨ατι⟩ προσπέσειε A. Cf. Suid. s. v. ἀνταναχλωμένη. 16 **μεταπέμπεται**] (μετα)καλεῖ(ται) A. 17 **δὲ**] ἀλλά A. 21 **θυμήρη**] ποθεινόνι A. 22 **δημοθοινίας**] εὐωχίας A, τὰς εὐωχίας τῆς δημίου B ‖ **μῶν**] ἆρα B. 24 **Παιόνων**] Παιονία, χώρα Μ⟨α⟩κεδονίας, καὶ Παίο⟨νες⟩ οἱ οἰκήτορες αὐτῆς A ‖ **Φάσιδος**] Φάσις, πόλις πρὸς τῷ ⟨Φά⟩σιδι ποταμῷ A. Cf. Steph. Byz. 660,20 ‖ **τραγήματα**] βρώματα A. 25 **Πράμνιον**] Πράμνιον οἶνον, παρὰ τὴν Πράμνον χώραν, ἢ πραΰνειν τὸ μένος A ‖ πράμνιον] τὰ λεγόμενα σανδάλια sic B ‖ **ἀνθοσμίαν**] εὐώδην A. 26 **ψυκτῆρας**] βακιλ. . . A. Item A in margine: ψυκτὴρ σκεῦ⟨ος⟩, ἐν ᾧ διανίζου⟨σι⟩ τὰ ποτήρια. Cf. Suid. s. v. ψυκτήρ ‖ **κανᾶ**] κανίσκια A ‖ **ῥυτὰ ἐμβάφια**] ῥυτὰ ἐμβάφια, ὧν λαβέσθαι διὰ τὴν λειότητα ἀδύνατον· ῥυτά· "ῥυτοῖσιν λάεσσι" μεγάλοις, τοῖς ἑλκομένοις διὰ τὸ μέγεθος. παρὰ τὸ ἐρύω ἐρύσω A. Cf. Zon. 1622 ‖ **ἐπαρυστρίδας**] τὰ ἐμβάφια A, κώθωνας B. 27 **τὰ**] ἅστινας B.

Pag. 84, 4 **τὸν κῶμον**] τὸ ἑστίαμα A, τὸν ὕμνον B. 7 **ἀφοσιώσαιτο**] ἀποδῶσαι, ἀμείψοιτο A ‖ **τοῦ κρείττονος**] τοῦ θεοῦ B. 13 **ἐνυαλίων**] πολεμικῶν AB. 16 **Κόδροι**] Ἀθηναῖοι τὸ γένος λαμπροί A. 17 **βαθυχαίων**] λαμπρῶν A. 18 **λόγχην**] λόχμην· ἡ χαίτη B ‖ **νεανιεύονται**] καυχῶνται A. 20 **ῥυηφενεῖς**] πλούσιοι A. In B Ἑρμ(η-

νεία). ἤγουν πλουσιωτατοι· ἀπὸ τοῦ ῥέειν τὸν ἄφενον ἤγουν τὸν πλοῦτον B. Cf. Etym. M. 706,9. 24 ***φενάκας***] φλυαρίας A. In cod. B ἄλλη. φέναξ ὁ κόλαξ, ἐνταῦθα γυναικεῖος κόσμος. 25 ***ἐμφοιβουμένη***] κτενιζομένη, λαμπρυνομένη. φοῖβαι κυρίως αἱ καθαραὶ καὶ λαμπραὶ τρίχες A. Cf. Etym. M. 797,1 || ***ἐγχουσίζουσα***] χρίουσα A. In marg. cod. A ⟨ἔγ⟩χουσα, εἶδος βοτάνης, ἣ καὶ ⟨διὰ⟩ τοῦ ᾱ λέγεται ἄγχουσα. ἀττικῶς ⟨δὲ⟩ διὰ τοῦ ε̄. καὶ ἐγχουσίζεται ἐπὶ τῶν γυναικῶν τὸ τῇ ἐγχούσῃ χρίεσθαι τὸ πρόσωπον. εἴρηται παρὰ τὸ ἐγχεῖν τὸ ἐν τῇ ῥίζῃ ἐρυθρόν· οἷον, ἐγχέουσά τις οὖσα. ἔστι καὶ ῥῆμα. Cf. Etym. M. 313,30. 27 ***ταλασιουργιῶν***] ταλασιουργία καὶ ταλασιουργικὰ(=ὴ) τέχνη λέγεται ἡ διὰ μετάξου (sic) καὶ χρυσοῦ γινομένη λεπτουργία B.

Pag. 85, 10 ***βατοβάροις***] κλέπταις A. 12 ***πολυάνδρια***] τάφους A || ***ἀγανακτήσεων***] ὀργῶν A. 17 ***ἀνεμώνης***] παπαρίν(ης) AB. 17 ***ἐθείασε***] ἐθαύμασε A || ***οὐ δέμας-ἔργα***] οὗτοι στίχοι ὁμηρικοί B. 18 ***φυὴν***] φύσιν A. 21 ***προφερεστέρῳ***] βελτιωτέρῳ A. 22 ***τῆς γειναμένης***] τῆς μητρός A.

Pag. 86, 5 ***ἡμέριος***] καθ' ἡμέραν B. 6 ***διανυσάσης***] πληρωσάσης A. 11 ***ἀμφιάσῃ***] ἐνδύσῃ A. 12 ***μεταστοιχειώσῃ***] μεταστρέψῃ A. 23 ***ἐπαρράξασαι***] πεσοῦσαι A. 26 ***ἀλύειν***] ἀδημονεῖν B || ***προπομπῇ***] ἀγωγῇ A.

Pag. 87, 4 ***τὸ μέλι***] ἤγουν τὸν ὕπνον A. 8 ***δεδάηκας***] ἔγνωκας A, μεμάθηκας B. 11 ***ἀντίρροπον***] ἐναντία βλέπον B. 21 ***ἄττα***] τινά A. 24 ***ὅ φασι***] τὸ τοῦ λόγου A.

Pag. 88, 6 ***βραχύπλεθρα***] πλέθρα, μέτρα γῆς ἤτοι ἄρουραι A. 8 ***στατήρων***] νομισμάτων A. 15 ***ζεύγλην***] ζεύγλη τὸ ἄκρον τοῦ ῥυμοῦ, καθ' ὃ ἐντίθενται τοὺς τραχήλους τὰ ζῷα A. Cf. Etym. M. 409, 54. 23 ***ἀνεῖται***] συγχωρεῖται A. 26 ***κερδαλέον***] πανοῦργον A || ***οἷ***] αὐτῷ A.

Pag. 89, 2 ***Φαέθοντα***] Ἥλιον A. 7 ***τῷ ὑπερβάλλοντι***] τῷ περισσῷ A || ***μεγαλιζομένη***] νικῶσα A. 9 ***μὴν***] ὅμως A 20 ***ἐρῶ***] ἐπιθυμῶ B || ***ἐρωῆσαι***] θερμανθῆναι. ἐρωὴ κυρίως ἡ θέρμη τοῦ ἔρωτος B. 21 ***ἐρώην***] ἐθερμάνθην B. 24 ***ἐφ' οὕτω***] ἐς οὕτω A. 27 ***ἄττα***] ἅττα ἀντὶ τοῦ ἅτινα δασύνεται. ἄττα ἀντὶ τοῦ τινὰ ψιλοῦται A.

Pag. 90, 15 ***τυφῶνα***] πυρώδη δαίμονα A || ***ἐριώλην***] πνοήν AB. 20 ***ἐκλύσομαι***] λυτρώσω B. 25 ***ἠναιδευμένε***] ἀναίσχυντος B. 27 ***ἐξαιρεῖς***] χωρίζεις A.

Pag. 91, 5 ***ὁλομέρειαν***] τέλειον A || ***μήτρα***] νύμφη B || ***ἐνεκυμόνησεν***] συνέλαβεν B. 8 ***λικνεῖαν***] λεικνον (cor. λίκνον) τὸ πτυάριον. εἰ μὲν διὰ τῆς ε̄ῑ διφθόγγου ἐστί, γίνεται ἐκ τοῦ λέχος λέχνον καὶ λέκνον, καὶ πλεονασμῷ τοῦ ῑ λεῖκνον. οἱ γὰρ ἀρχαῖοι ἐν τοῖς πτυαρίοις ἐποίουν καθεύδειν τοὺς υἱοὺς διὰ τὸ πολύγονον. εἰ δὲ διὰ τοῦ ῑ, ἐκ τοῦ λικμᾶν λίκμον καὶ τροπῇ τοῦ μ̄ εἰς ν̄ A. Cf. Etym. M. 562, 43.



Pag. 92, 4 ***κύπριν***] συνουσίαν A, ἀκολασίαν B. In marg. codicis A: Κύπρις ἡ Ἀφροδίτη, ἡ τὸ κύπ⟨ρι⟩ παρέχουσα, ἢ ὅτι ἐν Κύπρῳ τιμᾶται A. 8 ***σφῆνας***] στρεβλώσεις A. 9 ***ἄξονας***] ἄξονες ξύλα τετράγωνα ἀπὸ τοῦ ἐδάφους μέχρι τοῦ ὀρόφου διήκοντα καὶ διά τινος περόνης στρεφόμενα· ἐφ' ὧν οἱ Σόλωνος νόμοι ἀπεγράφοντο. λέγονται δὲ ἐν τοῖς μαθήμασιν ἄξονες περὶ οὓς σφαῖραί τε ⟨καὶ⟩ κύλινδροι καὶ τὰ τοι⟨αῦτα⟩ στρέφονται καὶ συνίστανται A. Cf. Etym. M. 115, 46. 14 ***τηνάλλως***] μάτην AB.

Pag. 93, 9 ***σφᾶς***] αὐτούς A. 10 ***ὀλυμπιάδι***] πανηγύρει A.

Pag. 94, 1 ***Πελασγικὸν***] Πελασγία ἡ χώρα τοῦ Ἄργους. τὸ ἐθνικὸν Πελασγὸς καὶ Πελασγικός A. Cf. Steph. Byz. 514,12. 3 ***Ἀρεθούσης***] Ἀρέθουσα πηγή. παρὰ τὸ ἄρδω ἄρσω, ἀντὶ τοῦ ποτίζειν A. Cf. Etym. M. 138, 18. 5 ***ἀπεκρούσατο***] ἀπεδίωξε A. 10 ***ἀποσταίησαν***] ἀπεχωρίσθησαν A. 21 ***τῷ νοητῷ***] ἤγουν τῷ δαιμονίῳ B. 26 ***κέλλειν***] πορθεῖν A, προστάττειν B. 27 ***κέλλειν***] πορθεῖν, βαδίζειν A.

Pag. 95, 4 ***καταθραύουσα***] συντρίβουσα A. 6 ***ἀπεώσατο***] ἔρριψεν A. 11 ***ὑπεκστάσας***] ὑποχωρισθείσας A. 12 ***βάλλειν***] λιθάζειν A. 16 ***καταρράξω***] καταβαλῶ A.

Pag. 96, 4 ***οἷ***] αὐτῇ A. 7 ***οἷ***] αὐτῷ A. 12 ***ἐλεῖς***] ἀποκτενεῖς A. 13 ***τοι***] σοί A. 14 ***πὰρ κεφαλὰν***] χωρὶς κεφαλῆς A. 20 ***σχεδίῳ***] συντόμῳ B. 23 ***βόστρυχος***] βόστρυχος ὁ πλό⟨καμος⟩ τριχός A. Cf. Etym. M. 205, 31. 22 ***Γοργόνος***] γοργὼν τὸ ζῷ⟨ον τὸ τε⟩ρατῶδες. καὶ κλίνεται γ⟨ορ⟩γόνος. παρὰ τὸ γοργὸν τοῦ ὀφ⟨θαλμοῦ⟩. διὰ γὰρ τῆς γοργότητος καὶ ὀ⟨ξύτητος⟩ τῶν ὀφθαλμῶν ἀπελί⟨θου τοὺς⟩ ὁρῶντας. ἔστι δὲ καὶ . . . A. Cf. Etym. M. 238, 32. 26 in margine cod. A στίχοι ἡρωϊκοί. 27 ***ἤπια***] ἤμερα B.

Pag. 97, 1 ***οἷ***] αὐτῷ B || ***ὀπάζοις***] παρέχοις B.

---

# IV.

# ΔΙΗΓΗΣΙΣ ΕΠΩΦΕΛΗΣ

ΠΕΡΙ ΤΗΣ ΘΕΑΝΔΡΙΚΗΣ ΕΙΚΟΝΟΣ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ,

τῆς φανερωθείσης ἐν τῇ κατὰ Θεσσαλονίκην μονῇ τῶν Λατόμων· συγγραφεῖσα παρὰ Ἰγνατίου μοναχοῦ καὶ καθηγουμένου τῆς ἐν Θεσσαλονίκῃ μονῆς τοῦ Ἀκαπνίου.

---

1. Πολλὰ μὲν ὡς ἀληθῶς καὶ μεγάλα τὰ τοῦ θεοῦ περὶ ἡμᾶς εὐεργετήματα, πλεῖστα δὲ καὶ τὰ τῆς φωτοχυσίας αὐτοῦ δωρήματα καὶ φιλοτιμήματα· "πᾶσα γὰρ δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων", ὡς ὁ κλεινὸς ἱεροτελεστὴς ἡμῶν ἀπεφήνατο. τούτων δὲ ἄρα καὶ τῶν ἄλλων πάντων ἐξαίρετον ὁ λόγος, δι' ὃν καὶ τῶν λοιπῶν κτισμάτων πλεονεκτοῦμεν οἱ ἄνθρωποι καὶ τῶν ἀλόγων οἶμαι ζώων διαφέρομεν, καὶ μᾶλλον ὅτι τῶν ἄλλων οἰκεῖον τοῦτο θεῷ καὶ χαίρει τούτῳ, καθώς τις εἶπεν, ἢ τοῖς ἄλλοις καλούμενος. εἴπερ "τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν", ὥς φησιν ὁ θεῖος Δαυίδ, "καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν". τούτου τοίνυν τοῦ ἐν ἡμῖν φυσικοῦ λόγου θεωρουμένου τριχῇ, κατά τε τὸ ἐνδιάθετόν φημι, τὸ προφορικὸν καὶ τὸ τεχνικόν, ὃ δὴ ἐκ λέξεων καὶ γραμμάτων οἶδε συντίθεσθαι, τῷ μὲν πρεσβυτέρῳ τού-

---

**A** = cod. membr. 34 an. 1307 (f. 230ᵇ—236) in biblioth. monasterii Κοσινίτζης. **B**=cod. membr. Mosquensis $\frac{159}{\text{CLX}}$ (№ 390. *Арх. Владимiръ*, Систематическое описанiе рук. Москов. синод. библiотеки. Москва 1890, pars I, p. 588), s. XIII, f. 244—251. Codicem B contulit v. cl. Sarijannes.

9/10 Iac. I, 16  11 κλινὸς A  16 Psalm. XXXII, 6  18 τριχῶς B  19 ἐνδιάθετόν τε B



των, ὡς ἐμοὶ γοῦν καὶ πᾶσι δοκεῖ, τὰ πρεσβεῖα χαρίζεσθαι ἄξιον, οἷα δὴ γεννήτορι καὶ αἰτίῳ τῶν λοιπῶν χρηματίζοντι· αὖθις δὲ τῶν δύο πρὸς ἀλλήλους συγκρινομένων, τῷ ὑστάτῳ δοῦναι τὴν νίκην ἀσυγκρίτως ὁ φρονῶν αἱρετίσεται. ὁ μὲν γὰρ τοῖς ἐγγὺς ἴσως ὠφέλιμος, οἷς καὶ πόθου ῥαστώνην πολλάκις ἐνέβαλε· τὴν γὰρ ἀκοὴν ἡδύνας μικρὸν εἰς ἀέρα τε διελύθη καὶ οὐκ οἶδα εἴ τι καὶ γέγονεν· "οὐκ οἶδας γὰρ πόθεν τε ἔρχεται καὶ ποῦ ὑπάγει", φασὶ τὰ ἱερώτατα λόγια. ὁ δὲ τοῖς ἐγγὺς μὲν ὁμολογουμένως ἐράσμιος, τοῖς πόρρω δὲ ἐρασμιώτερος καὶ διόλου τοῖς αὐτὸν ἐκζητοῦσι, καὶ μᾶλλον ἐν ταῖς ὀψιγόνοις γενεαῖς ἑτοίμως εὑρίσκεται. ἔνθεν καὶ Φοίνικας μὲν ἐπαινῶ, πρώτους ἐγκεκυφότας εἰς τὰ τοῦ λόγου προαύλια. ἐκθειάζω δὲ καὶ Ἰνδούς, ὅτι καὶ τόμον ἀπέξυσαν καὶ βιβλία συνέθεντο καὶ τοῦ νοῦ τὰ πρῶτα κινήματα διάλευκα ὄντα τῷ μέλανι μὲν παρεστήσαντο, λευκοτέρῳ τῶν νοημάτων τυγχάνοντι, αὐταῖς δὲ συλλαβαῖς τὰ πράγματα παρεγύμνωσαν καὶ τοὺς ἐκ διαστημάτων μακρῶν τῷ ἀκινήτῳ λόγῳ παρεμυθήσαντο. τούτῳ τοιγαροῦν τῷ λόγῳ καὶ αὐτός, ὦ φιλόθεον ἄθροισμα, βούλομαι δοῦναι διήγησιν ἱερὰν μέχρις ἐμοῦ καταντήσασαν· παῖς γὰρ παρὰ πατρὸς καὶ νέος παρὰ πρεσβυτέρου κατὰ διαδοχὰς ἐκδεξάμενος μέχρις ἡμῶν αὐτῶν ταύτην ἀγράφως κατήγαγον· "ἐρώτησον γὰρ" φησι "τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι". ἔχει δὲ ὧδε τὰ τῆς διηγήσεως· ἀλλὰ πρὶν ἢ τοῦ λόγου ἀπάρξασθαι, ἀξιῶ τοὺς τῇ παρούσῃ γραφῇ ἐντυγχάνοντας τοῖς λεγομένοις συγγνωμονεῖν, εἰ μὴ κομψόν τι καὶ μεγαλήγορον κέκτηνται· ταῦτα γὰρ ὑπὲρ ἡμᾶς εἶναι καὶ τὸ μέτρον ἡμῶν ἐπιστάμεθα· ἄλλως τε δὲ τῆς ἱστορίας καὶ τοῦ ἀληθοῦς πλέον ἐφιέμενοι, ἥκιστα τούτοις ἐνασχολεῖσθαι δεῖν ἔγνωμεν. ἴημι δὲ λοιπὸν ἐπ' αὐτὴν τὴν διήγησιν.

2. Καιρὸς ἦν ἐκεῖνος καὶ καιρῶν ὁ χαλεπώτατος· τοῦ διωγμοῦ γαρ, ἡνίκα τὰ μὲν τῆς ἀσεβείας ἤνθουν καὶ εἰς ἐπίδοσιν ἤγοντο, τὰ δὲ τῆς εὐσεβείας ἀπήνθουν καὶ εἰς παντελῆ μικροῦ δεῖν ἐχώρουν ἀφανισμόν, οἷα δὴ τοῦ τότε κρατοῦντος τοῖς ἀσεβέσι συναιρομένου καὶ μαχομένου εἰς τὸ τῆς ἀμάχου περιγενέσθαι Χρι-

---

3 τῶν om B  7 Iohan. III, 8 || τε om B || φησὶ B  16 τούτο A  19 πρεσβύτου B  30 ἡνίκα om B

στοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν δυνάμεως. Μαξιμιανὸς οὗτος ἦν, ὁ πολὺς τὴν κατὰ Χριστοῦ μανίαν καὶ τῶν δαιμόνων ὑπηρέτης πιστότατος, ὃς πρὸς τὸν ἐπὶ Σαυρομάτας πόλεμον παρασκευαζόμενος τῇ Θεσσαλονικέων τηνικαῦτα περιωνύμῳ πόλει σὺν γυναικὶ καὶ τέκνοις ἐπεχωρίαζεν. ἦν δὲ ἄρα τούτῳ θυγάτηρ μονογενής, κατάκομός τε παρθενικαῖς ἀρεταῖς καὶ πρὸς ὑποδοχὴν θείου σπόρου οὐχ ἥκιστα ἀγαθή. Θεοδώρα ταύτῃ τὸ ὄνομα. τοῦ γοῦν βασιλέως χρονοτριβοῦντος, ὡς εἴρηται, τῇ Θεσσαλονικέων καὶ ἀσχολουμένου περὶ τὰ πολεμικά, ἀδείας ἡ Θεοδώρα δραξαμένη ποτέ, ἐξῆλθε μικρὸν τῆς πόλεως μετὰ τῆς προσούσης αὐτῇ θεραπείας ὡς εἰκὸς ἀέρος καθαροῦ ἀπολαύσουσα. ὡς οὖν τὴν παράλιον ὥδευε καὶ ὀφθαλμῶν ἑστίαν ἐποιεῖτο τοὺς τῶν κυμάτων ψόφους καὶ τὰς πομφόλυγας, ἐγγίζει τῷ τόπῳ, ἐν ᾧ τότε χριστιανοὶ τὰς οἰκήσεις ἐποιοῦντο διωκόμενοι· ἔξω γὰρ τῶν πόλεων ὑπὸ τῶν τυραννούντων οἰκεῖν κατεκρίνοντο. ἦν δὲ ὡσεὶ ὥρα τρίτη, ἐν ᾗ καὶ νόμος χριστιανοῖς τὰς μυστικὰς θυσίας ἐπιτελεῖν. ἔδοξεν οὖν τῇ κόρῃ χρήσασθαι, οἷα δὴ κόρη, τῇ προόδῳ φιλοτιμότερον· καὶ δὴ ἐν μέσῳ τῶν οἰκημάτων διὰ τῆς λεωφόρου τὴν πομπὴν ποιουμένη τῷ ἱερῷ προσεπέλασεν. ἐτελεῖτο δὲ τότε ἄρα τῷ ἀρχιερεῖ τῶν πιστῶν (Ἀλέξανδρος δ' οὗτος ἦν ὁ ἱερός) θυσία ἡ ἀναίμακτος. τῶν θείων τοίνυν ὕμνων ἀκούσασα καὶ ὥσπερ ἔνθους ὑφ' ἡδονῆς ὅλη γενομένη, " Ἐπιθυμία μοι ἐστιν", ἔφη πρὸς τοὺς συνόντας αὐτῇ, " τοῦ ἰδεῖν τε καὶ ἀκοῦσαι, ὅπως ὁ τῶν χριστιανῶν ὑμνεῖται θεὸς καὶ οἷαι τούτων αἱ ᾠδαί ". τοῦτο εἰποῦσα κατέβη μὲν εὐθὺς οὗ ἐπωχεῖτο ὀχήματος, εἴσεισι δὲ τὸν ναὸν οὕτως εὐκόσμως, ὡς τοὺς ἐκεῖσε παρατυχόντας πιστοὺς θαυμάσαι τὸ τῆς κόρης οὕτως αἰδοῖον περὶ τὰ θεῖα καὶ προσεκτικόν. ἐπεὶ δὲ καὶ ὁ καιρὸς ἐνειστήκει τῆς τῶν ἱερῶν λογίων ἀναγνώσεως (ἀνεγινώσκετο δὲ ἄρα τὰ τῆς δευτέρας ἐπιδημίας Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, ἐν ᾗ πᾶν ἀγάγῃ τὸ πλάσμα πρὸς κρίσιν καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ), ἐκείνη οἷα γῆ ἀγαθὴ τὰ τοῦ λόγου σπέρματα δεχομένη ἔθαλπέ τε αὐτὰ τῇ τῆς καρδίας θερμότητι καὶ ῥιζοῦν ἤρξαντο κατὰ μικρὸν ἐν τῇ ταύτης ψυχῇ· ἤδη γὰρ ἥπτετο ταύτης

7/8 τῷ γ. βασιλεῖ χρονοτριβοῦντι B  11 παραλῦον A  13 πομφόλυγγας A  17 χρήσασθαι, οἷα δὴ κόρη in marg. B  20 ἦν om B  25 ἐποχεῖτο A || εἴσισοι B



τὸ πῦρ ἐκεῖνο, ὃ Χριστὸς ἦλθε βαλεῖν ἐπὶ τῆς γῆς. ἕνα γοῦν τῶν θεραπόντων αὐτῆς προσκαλεσαμένη, ᾧ μάλιστα ἐν τοῖς τοιούτοις εἶχε θαρρεῖν, μυστικώτερον ἔφησεν, ὡς " Διὰ φροντίδος γενέσθω σοι τὸν ἐπίσκοπον ἐν τῷ ἀφανεῖ πρός με κατὰ τὴν παροῦσαν ὀψίαν ἀγαγεῖν ". ταῦτ' εἰποῦσα καὶ τοῦ ὀχήματος αὖθις ἐπιβᾶσα ἐποιεῖτο τὴν ὑποστροφὴν μετὰ τῆς συνήθους πομπῆς μέχρι τῶν βασιλείων αὐτῶν.

3. Ὀψίας οὖν γενομένης, ἄγεται μὲν ὁ ἐπίσκοπος, ἐξέρχεται δὲ ἡ κόρη πρὸς αὐτόν, ἀναγκαίαν τινὰ σκηψαμένη καὶ προβαλομένη σκῆψιν καὶ πρόφασιν· ὃν ἰδοῦσα πίπτει μὲν εὐθὺς εἰς τὴν γῆν καὶ τοὺς πόδας τούτου καταφιλεῖ, λούει δὲ θερμοῖς τούτους τοῖς δάκρυσιν, ὡς ἡ ἐν τοῖς Εὐαγγελίοις μνημονευομένη ἐκείνη μακαρία γυνὴ τοῦ ἐμοῦ Ἰησοῦ πρότερον, καὶ δυσωπεῖ διδαχθῆναι αὐτὴν τὴν εὐαγγελικὴν ἐκείνην ῥῆσιν, ἥτις τῷ ὑπ' αὐτοῦ ποιμαινομένῳ λαῷ ὑπανεγνώσθη τὴν τήμερον· ἔτι τε, τίς ὁ κριτής, τίνες οἱ ἐκ δεξιῶν καὶ αὖ οἱ ἐξ εὐωνύμων κρινόμενοι, καὶ τέλος, τίς ἡ αἰώνιος ζωὴ καὶ ἡ ἀτελεύτητος κόλασις. ὁ δὲ ἐπὶ τοῖς οὕτω παρ' ἐλπίδα σφόδρα περιχαρὴς γεγονὼς καὶ τῷ θεῷ εὐχαριστήσας ὡς εἰκός, τὸν λόγον ἀναλαβὼν καὶ τὸ Εὐαγγέλιον, ὃ ἐπὶ χεῖρας ἔχων ἦν, ἀναπτύξας ὅλην αὐτῇ τὴν οἰκονομίαν τῆς θεότητός τε καὶ ἀνθρωπότητος τοῦ κυρίου ἡμῶν διασαφεῖ, μέχρις ὥρας ὀρθρινῆς τὰ τῆς ὁμιλίας παρατείνων καὶ ἀπογυμνῶν αὐτῇ τὸ μυστήριον τῆς Ἰησοῦ χρυφιότητος. ὡς δὲ καὶ λόγος ἦλθεν ὁ περὶ τοῦ βαπτίσματος, ἡ κόρη τῷ ἐπισκόπῳ, ὡς ὁ Κανδάκης τῷ Φιλίππῳ πάλαι, φησίν· " Ἰδοὺ ὕδωρ, τί κωλύει με βαπτισθῆναι "; κρατήσας οὖν ὁ ἐπίσκοπος τῆς κόρης τῆς κεφαλῆς ἐβάπτισεν αὐτὴν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐν ἑνὶ τῶν πίθων, τῶν χάριν ὑδρεύσεως τῶν ὀμβριμαίων ὑδάτων ἱσταμένων ἐκεῖ· καὶ οὕτως ἀπ' ἀλλήλων διαιρεθέντες, αὕτη μὲν αὖθις πρὸς τὰ βασίλεια καὶ τὸν ἑαυτῆς θάλαμον, ὁ δὲ ἐπίσκοπος πρὸς τὴν συνήθη καταμονὴν εὐχαριστῶν τῷ θεῷ ὑπέστρεψεν.

4. Ἀλλ' ἐπεὶ εὐχερῶς οὐκ εἶχε τοῖς γονεῦσι συνδιαιτωμένη τὰ παρὰ τοῦ κατὰ πνεῦμα πατρὸς αὐτῆς ἐντελλόμενα ἀποπληροῦν,

1 πῦρ - γῆς] cf. Luc. xii, 49  12 Εὐαγγελίοις] cf. Luc. vii, 37-50  13 πρότερον ante τοῦ ἐμοῦ in B  16 αὖ om B  24 πάλαι] cf. Act. viii, 27-39

βουλεύεται βουλὴν ὡς σφόδρα σοφὴν καὶ εὐμήχανον καὶ κρείττονα ἢ κατὰ νεάνιδα· νόσον γὰρ σκηψαμένη σωματικὴν αἰτεῖται τὸν πατέρα δομηθῆναι αὐτῇ περὶ τὰ βορειότερά που καὶ ἀνωφερέστερα μέρη τῆς πόλεως, ἃ δὴ Λατόμια ἐγχωρίως ὀνομάζονται, διὰ τὸ τοὺς λίθους ἐκεῖθεν (οἶμαι) λατομεῖσθαι τοὺς χρησίμους εἰς οἰκοδομάς, οἶκόν τε καὶ βαλανεῖον, "Ὡς ἐὰν ἔχοιμι ταῦτα" φησὶν "εἰς ἀνακωχὴν τῶν τοῦ σώματος ὀδυνῶν". τοῦ δὲ πατρὸς τὸ ἔργον εὐθὺς κατανεύσαντος, θᾶττον ἢ λόγος ταυτὶ ἐπεραίνοντο. ἐν οἷς παραγενομένη ἀδείας ἀπέλαυεν ἱκανῆς, τὸν ἱερόν τε Ἀλέξανδρον ἐκεῖσε παραγινόμενον ἐθεᾶτο καὶ τοῖς ὑπ' αὐτοῦ λεγομένοις οὕτως ἐδίδου τὸν νοῦν, ὡς μή τι διαπεσεῖν ἐκείνου τῆς ἐντολῆς. οἰκοδομούμενον μέντοι καὶ τὸ βαλανεῖον ἐσκόπει καὶ ὡς ἄρα κατὰ σκοπὸν ἀποβῇ ταύτῃ τὰ τῆς οἰκοδομῆς ἐβουλεύετο.

5. Ἐν μέσῳ δὲ τούτων ὁ βασιλεὺς τὰ τῆς ἀποδημίας μελετῶν ἦν, τὰ συντακτήρια ποιούμενος· ἐκάλει γὰρ αὐτὸν ὁ κατὰ τῶν Σαυροματῶν, ὡς εἴρηται, πόλεμος. ἀνέρχεται οὖν κἀν τοῖς ῥηθεῖσι τούτοις τῶν Λατομίων περιβλέπτοις τῆς θυγατρὸς οἰκήμασιν ἅμα μὲν τῇ θυγατρὶ συνταξόμενος, ἅμα δὲ καὶ τὸν οἶκον σὺν τῷ βαλανείῳ κατοψόμενος. ἓν οὖν ἕκαστον ὡς ἔχει θέσεως ὁρῶν, ἐπεὶ καὶ πρὸς τὸ βαλανεῖον ἐγεγόνει, διηπορεῖτό τε καθ' ἑαυτὸν καὶ τῇ θυγατρὶ ἐκοινοῦτο περὶ τοῦ ὕδατος, ὡς μὴ ὄντος διὰ τὸ τραχυ τοῦ τόπου καὶ ἄνικμον. ἡ δὲ "Δυνατός ἐστι" φησί, "βασιλεῦ, ὁ ταῦτα πάντα τεκτηνάμενος καὶ ὕδωρ ἐφευρεῖν καὶ μακρόθεν τοῦτο κομίσαι ἡμῖν· μόνον ἡ τοῦ βαλανείου ἀπαρτισθήτω οἰκοδομὴ διὰ τάχους, ὡς ἐγὼ βούλομαι, ὅτι καὶ πρὸ τῶν ἄλλων τούτου ἐξέχομαι". πρὸς ὃ δὴ καὶ τὸν βασιλέα εἶχε καταπειθῆ. ἀλλὰ ταῦτα μὲν ὧδε.

6. Ὁ δὲ βασιλεὺς ἐξῄει ὑπὸ τῶν Σαυροματῶν, ὡς δεδήλωται, κατεπειγόμενος· ὁπότε καὶ ἀδείας μείζονος ἡ Θεοδώρα δραξαμένη ὅλην αὐτῆς τὴν φροντίδα μετέφερε πρὸς τὴν τοῦ βαλανείου δῆθεν οἰκοδομήν. ᾧπερ διὰ τάχους τέλος ἐπιθεῖσα χρηστὸν ναὸν εὐθὺς ἀνεῖπε τοῦτο Χριστοῦ καὶ ἱερὸν πνεύματος θεοῦ καταγώγιον. ὅθεν καὶ τὸν ἱερὸν προσκαλεσαμένη Ἀλέξανδρον καθι-

6 οἴκων τὲ κ. βαλανείων A 13 ταῦτα B .16 σαυρωματῶν B 23 τεκτεινάμενοσ A 31 ὅπερ A



ερῶσαι τοῦτο κατεδυσώπησε, τὸν σταυρὸν ἰδίαις χερσὶ πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου εὐσεβοφρόνως ἐγκαταπήξασα· οὗ γενομένου, ζωγράφον αὐτῇ αὐτίκα ἀχθῆναι προστάττει καὶ ἐν τῇ πρὸς ἀνατολὰς ἀψῖδι γραφῆναι τὴν ἁγνὴν Θεομήτορα, τὴν τοῦ γένους ἡμῶν δηλονότι μεσῖτιν καὶ σώτειραν. γραφομένης οὖν τῆς εἰκόνος καὶ ἤδη πρὸς πέρας τοῦ ἔργου βλέποντος, ὡς τῇ ὑστεραίᾳ ὁ γράφων παρεγένετο, ᾗ καὶ πέρας ἐπιθήσειν τῇ γραφῇ ἐβουλεύετο (ἀλλὰ προσέχειν ὑμᾶς ἀξιῶ· ἀπὸ τῶν ὧδε γὰρ τὸ τοῦ πράγματος ἀνακύπτειν φρικτὸν τεράστιον ἄρχεται), ὁρᾷ γραφὴν ἑτέραν καὶ οὐ τὴν αὐτήν, πολὺ τὸ διάφορον ἔχουσαν καὶ παρηλλαγμένον ἀπὸ τῆς ὁμοιότητος, ἐν εἴδει ἀνδρικῷ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐπὶ νεφέλης φωτεινῆς καὶ ἐπὶ πτερύγων ἀνέμων ὀχούμενον καὶ περιπατοῦντα, ὡς ὁ θεῖος ψάλλει Δαυίδ. καὶ γὰρ καὶ ἐπὶ τῶν τεσσάρων ἄκρων ταυτησὶ τῆς νεφέλης τέσσαρες μορφαὶ ξέναι τῆς καθ' ἡμᾶς παντάπασιν ἀνεφάνησαν φύσεως, πτέρυγας περικείμεναι καὶ βιβλία ταῖς χερσὶν ἐπιφερόμεναι, ἄνωθεν μὲν ὡς ἐν εἴδει ἀνθρώπου καὶ ἀετοῦ, κάτωθεν δὲ λέοντός τε καὶ βοός· ἃς δυνάμεσι θείαις ὁ προαιρούμενος εἰκάζειν εἰκόνων οὐκ ἂν ἀπορήσειεν, ὡς τῷ τὰ θεῖα σοφῷ Διονυσίῳ δηλοῦται σαφέστερον. ἀλλὰ καὶ γράμματα πρὸ τῶν ποδῶν τῆς ἱερᾶς ταύτης μορφῆς, ἔτι γε μὴν κἀν τῷ βιβλίῳ, ὃ τῇ λαιᾷ χειρὶ ἐπεφέρετο (τὴν γὰρ δεξιὰν ἀνατεταμένην εἶχεν ὡς εἰς τὸν οὐρανόν), εὑρέθησαν ἔχοντα ἐπὶ λέξεως οὑτωσί· τὰ μὲν πρὸ τῶν ποδῶν "Πηγὴ ζωτική, δεκτική, θρεπτικὴ ψυχῶν πιστῶν ὁ πανέντιμος οἶκος οὗτος. εὐξαμένη ἐπέτυχον, ἐπιτυχοῦσα ἐπλήρωσα ὑπὲρ εὐχῆς, ἧς οἶδεν ὁ θεὸς τὸ ὄνομα". τὰ δὲ τοῦ βιβλίου· "Ἰδοὺ ὁ θεὸς ἡμῶν, ἐφ' ὃν ἠλπίζομεν καὶ ἠγαλλιώμεθα ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν· αὐτὸς δώσει ἀνάπαυσιν τῷ οἴκῳ τούτῳ". προσεπιτούτοις καὶ δύο τῶν προφητῶν, Ἰεζεκιὴλ αὐτοῖς καὶ Ἀββακοὺμ τὰ ὀνόματα, ὡς ὑπὸ τῆς ἐκπλήξεως τῶν ὁρωμένων θαμβούμενοι, ἔξω τῆς νεφέλης ἐξ ἑκατέρου μέρους εἱστήκεισαν. καὶ οὐδὲν ἕτερον τὰ τότε ὁρώμενα ἦν, ἢ ἔκπληξις καὶ δέος καὶ ἀπορία θάμβους μεστή. ταῦτ' ἰδὼν ὁ γραφεὺς καὶ ἀφασίᾳ συσχεθείς, διά τινος τοῦτο τῇ Θεοδώρᾳ δηλοῖ. ἡ δὲ δρο-

13 Δαυίδ] cf. Psalm. XVII. 9-13 19 δηλοῦνται A 26 ὑφ' οὗ ἠλπίζαμεν B

μαίως ὡς εἶχεν εὐθὺς παραγενομένη καὶ πρὸς τὴν ὄψιν καὶ αὐτὴ ὡς εἰκὸς ἀπορήσασα ἐνετείλατο τῷ γραφεῖ μηδόλως αὐτῷ ἔτι τὴν χεῖρα ἐπενεγκεῖν μηδὲ τοῦ ἱεροῦ ἐκείνου ἐκτυπώματος τὸ σύνολον ἅψασθαι. καὶ ἦν οὕτως ἔκτοτε τὸ θεῖον ἐκτύπωμα τοῦτο θεραπεύουσα καὶ τιμῶσα καὶ διὰ παντὸς πρὸς ἐκεῖνο τὸν νοῦν ἀνατείνουσα.

7. Ἀλλ' οὐκ ἦν ταῦτα πάντως τὸν φθόνον οἴσειν καὶ τὸν τούτου πατέρα διάβολον, ὃς ἀρχῆθεν τῷ ἡμετέρῳ γένει ἐβάσκηνε καὶ νῦν τοῖς ἀπὸ Χριστοῦ κατὰ Παῦλον καλεῖσθαι ἠξιωμένοις ἡμῖν διαφερόντως ἀπεφάνθη πολέμιος. οὔκουν οὐδὲ ἤνεγκεν, ἀλλὰ διά τινος τῶν θεραπευομένων αὐτῇ μηνύει τοῦτο τῇ βασιλίδι, τῇ ταύτης δηλονότι μητρί. ἡ δὲ μὴ ἔχουσα πιστεύειν τοσοῦτον ἀκοῇ (καὶ γὰρ ὃ μὴ βούλεταί τις, οὐδὲ ῥᾳδίως πιστεύειν πέφυκε) μετακαλεῖται τὴν παῖδα καὶ λόγοις παρακλητικοῖς χρησαμένη, πολὺ τὸ ἐπαγωγὸν καὶ πειθήνιον ἔχουσι, πρῶτον μὲν τὸ σκληρὸν αὐτῇ τοῦ βίου προσωνείδιζεν, εἶτα δὲ καὶ περὶ τῶν ἀκουσθέντων αὐτῇ, εἰ ἀληθῆ εἶεν, ἐπυνθάνετο. ἡ δὲ ψευδῆ τε εἶναι διαβεβαιοῦτο τὴν μητέρα καὶ λῆρον σαφῆ τὰ λεγόμενα, σοφώτερόν τι δρᾶσαι διανοουμένη, ὅπως τὰ κατ' αὐτὴν εὖ διάθηται καὶ οὕτως ἑαυτὴν καταφανῆ ἀπεργάσηται· ὅπερ δὴ καὶ πεποίηκε. σκῦτιν γὰρ βοείαν καὶ τίτανον μετὰ πλινθείας ὀπτῆς διὰ τῶν ὑπηρετουμένων αὐτῇ κομισαμένη τὴν θεανδρικὴν ἐκείνην μορφὴν καλύπτει καὶ ἀσφαλίζεται, ὡς μηδεμίαν οὐ μόνον ἐκ τούτου ταύτῃ βλάβην ἐγγίνεσθαι, ἀλλὰ καὶ πᾶσαν ὑπόνοιαν ἐκφεύγειν καὶ πρόληψιν· καί γε τῆς ἐλπίδος οὐκ ἐψεύσθη οὐδὲ διήμαρτε τῶν κατὰ σκοπόν.

8. Ἡμέραι παρῆλθον οὐχὶ συχναὶ καὶ τῇ μιαρᾷ τῶν παρ' Ἕλλησι μυθευομένων θεῶν Ἀρτέμιδι ἡ βασιλὶς περιφανῶς ὑπὲρ τοῦ βασιλέως σῶστρα θύσειν ἠπείγετο. παρῆν οὖν, ὅσον ἐν ἄρχουσί τε καὶ ἀρχομένοις, καὶ αὐτὸ τὸ συγκλητικόν. ἐκάλει δὲ πρὸ τῶν ἄλλων καὶ τὴν Θεοδώραν ἡ βασιλὶς οἷα δὴ θυγατέρα συνέπεσθαι τῇ μητρί, ὡς ὑπὲρ τοῦ βασιλέως, τοῦ αὐτῆς δηλονότι πατρός, ποιησομένην τὴν ἔντευξιν. ἀλλ' "Οὔποτε" φησὶν ἐκείνη, "ἔστ' ἂν εὔφρονος γνώμης εἰμί, κωφοῖς ξοάνοις σέβας ὡς θεοῖς

2 ὡς εἰκὸς αὐτὴ B 3 ἐκείνου om B 9 κατὰ Παῦλον] cf. Thes. 1, I, 11 19/20 καὶ οὕτως usque ad ἀπεργάζονται om B 30 θυγατέραν B



προσενεγκεῖν ἀνέξομαι, μῆτερ ἐμή· οὐ γάρ εἰσι θεοί, ἀλλὰ πλάνοι καὶ γόητες καὶ τοὺς σεβομένους αὐτοὺς εἰς τὸ αἰώνιον πῦρ ἐλεεινῶς παραπέμποντες. φησὶ γὰρ περὶ τούτων καὶ ὁ θεοπάτωρ Δαυίδ, ὅτι θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν". ἀπεπάγη τούτων ἀκούσασα ἡ βασιλὶς καὶ οὐδὲν ἄλλο πρὸς αὐτὰ εἰποῦσα, εἰ μὴ "Κακῶς, κακοδαῖμον θύγατερ ἐμή, κακῶς οἰχήσεταί σου ἀπὸ τῆς γῆς τὸ μνημόσυνον, ἂν εἰς γνῶσιν ἔλθῃ ταῦτα τῷ βασιλεῖ", τῆς πρὸς τὸν ναὸν ἀγούσης εἴχετο. τὴν θυσίαν δὲ τελεσάσης τῆς βασιλίδος, ἐν τῷ μέσῳ πάλιν λόγος ἐχώρει πολὺς καὶ ὡς πλάνῃ περιπέσοι τῇ ἐσχάτῃ ἡ Θεοδώρα ἐξηκούετο, ἀθετήσασα μὲν τὰ τῶν θεῶν καὶ ἀτιμάσασα, τῷ ἐσταυρωμένῳ δὲ οἷα καὶ θεῷ προσανέχουσα. ἐντεῦθεν καὶ πάλιν κατ' ἰδίαν αὐτὴν ἡ μήτηρ προσκαλεσαμένη, τί μὲν οὐκ ἔλεγε, τί δὲ οὐκ ἐποίει τῶν ὅσα παρακαλεῖν ἅμα καὶ φοβεῖν δύναται, καὶ πρὸ τῶν ἄλλων εἰς μέσον προτιθεῖσα τὴν τοῦ πατρὸς ἀγριότητα, ὥστε πεῖσαι ἀποστῆναι τῆς εὐσεβείας αὐτήν. ὡς δὲ μὴ πειθομένην εἶχεν αὐτῇ, δηλοῖ ταῦτα διὰ ταχέων τῷ βασιλεῖ. ὁ δέ, οἷος ἦν ἐκεῖνος χριστιανοῖς ἐχθρὸς ἄσπονδος, διορίζεται παραχρῆμα τὴν μὲν παρθένον κατέχειν ἐν τῷ ἀσφαλεῖ μέχρι τῆς ἐπανόδου αὐτοῦ, τὸν δέ γε οἶκον σὺν τῷ βαλανείῳ παραδοθῆναι πυρί. ὅπερ καὶ γέγονε, μηδὲν δυνηθέντος τοῦ πυρὸς λυμήνασθαι κατά τι τὸ ἱερὸν ἐκεῖνο τοῦ σωτῆρος ἐκτύπωμα, ὡς ἀπηλέγχθη ἐσύστερον. ἥ γε μὴν Θεοδώρα τῇ φρουρᾷ παραδοθεῖσα, ἐν αὐτῇ καὶ τὴν τελείωσιν δέχεται, τὸ μὲν πνεῦμα θεῷ, τὸ δὲ σῶμα πιστῶν παραθεμένη χερσίν.

9. Ἀλλὰ τούτων μὲν ἅλις. χρόνοις δὲ πολλοῖς ὕστερον "ὁ ποιῶν πάντα καὶ μετασκευάζων" μόνῳ τῷ βούλεσθαι κύριος ἐπὶ τῆς βασιλείας Λέοντος ἐκείνου τοῦ ἐξ Ἀρμενίων τὸ γένος ἕλκοντος, τοῦ λαλήσαντος εἰς ὕψος βλασφημίαν καὶ διὰ τοῦτο τὴν ζωὴν κακῶς καταστρέψαντος εἰς αἰσχύνην μὲν τῶν ἀσεβῶν καὶ ἀνατροπὴν τῆς εἰκονομαχικῆς αὐτῶν αἱρέσεως, εἰς στήριγμα δὲ τῶν εὐσεβῶν καὶ βεβαίωσιν, εὐδόκησεν ἀνακαλυφθῆναί τε καὶ φανερωθῆναι τὸ ἱερὸν τοῦτο ἐκτύπωμα. εὐδόκησε δὲ τρόπῳ τοιῷδε.

6/7 κακοδαῖμον usque ad κακῶς om B 9 τελεσθείσης οὖν τῆς θυσίας καὶ οἴκαδε γενομένης τῆς βασιλίδος B 14 τῶν om B || δύναται A δυνάμενον B 26 Am. v, 8

10. Ἄρτι τότε τῆς ἑλληνικῆς ἀχλύος διασκεδασθείσης καὶ βασιλεῦσι χριστιανοῖς τὰ Ῥωμαίων σκῆπτρα τοῦ πάντων δεσπότου καὶ βασιλέως χαρισαμένου, ἡνίκα καὶ τοῦτο δὴ τὸ πολυθρύλητον ἱερὸν τὸ εἰς τύπον δῆθεν βαλανείου οἰκοδομηθέν, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, εἰς ὄνομα τοῦ προφήτου Ζαχαρίου μετωνομάσθη καὶ εἰς μοναστήριον ἀποκατέστη, μοναχός τις ἐν τοῖς κατ' Αἴγυπτον ὄρεσι τῆς Νιτρίας, Σενούφιος τοὔνομα, ἀνὴρ πολλοῦ κομιδῇ ἄξιος ἐγνωρίζετο, πολλὰ μὲν φιλοσοφήσας κατὰ τῆς σαρκὸς καὶ παντοδαπὰ ὑποτάξαι ταύτην σπεύδων τῷ πνεύματι, ᾧ δὴ θείας πολλάκις θέας καὶ ὀπτασίας κατηξίωτο· καὶ θαυμαστὸν οὐδέν· "μακάριοι γὰρ" φησὶν "οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται". οὗτος τοίνυν, ὡς λέγεται, ὁ Σενούφιος ἦν τοῦ θεοῦ δεόμενος ἐφ' ἱκανὸν ἰδεῖν αὐτόν, πῶς μέλλει κρῖναι τὴν γῆν, ὅτε τὴν πρὸς ἡμᾶς δευτέραν αὐτοῦ ἔλευσιν ποιήσεται, τοῦ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, καὶ φωνῆς οὐρανόθεν θείας ἐνωτισθῆναι τοιάδε διασαφούσης αὐτῷ· "Εἰ τῶν κατὰ σκοπὸν ἐθέλεις μὴ διαμαρτεῖν, ἔξελθε ἐκ τῆς γῆς σου καὶ τοῦ κελλίου σου, καθάπερ πάλαι Ἀβραὰμ ἐκεῖνος ὁ ἐν πατριάρχαις ἐπίσημος, καὶ δεῦρο εἰς τὸ ἐν Θεσσαλονίκῃ μοναστήριον, τὸ τῶν Λατόμων λεγόμενον· ὀφθήσομαι γάρ σοι ἐκεῖ".

11. Τούτων ἀκούσας ὁ γέρων γίνεται τοῦ λόγου ὅλος εὐθύς, καὶ δὴ λαβὼν τὰ πρὸς τὴν ὁδοιπορίαν αὐτοῦ ἐπιτήδεια (τὰ δὲ ἦν τό τε παλλίον, ᾧ τὴν σάρκα ἐκάλυπτε, καὶ ἡ βακτηρία, ᾗ τὸ γῆρας ὑπήρειδεν) ἐξῄει τῆς τε μονῆς καὶ τοῦ κελλίου αὐτοῦ, τῷ καλοῦντι ἑπόμενος. πολλὰ γοῦν καμὼν κατὰ τὴν ὁδοιπορίαν καὶ μυρία ὑποστὰς τὰ δεινὰ φθάνει μόλις τὴν περιώνυμον τῶν Θεσσαλονικέων μητρόπολιν καὶ τὴν μονὴν τῶν Λατόμων αὐτήν. καὶ μηδὲ μικρὸν ἀνενεγκὼν τοῦ τοσούτου πόνου καὶ τῆς ὁδοιπορίας ἀνηρώτα τε τοὺς μοναχοὺς καὶ ἀνηρεύνα καὶ ὡσεί τις ῥινηλάτης κύων ἢ ἰχνηλάτης ἀνίχνευεν, εἴ τί που τοιοῦτον εἴη παρ' αὐτοῖς, ὁποῖον ἡ φανεῖσα ὄψις αὐτῷ παρεδήλωσεν. ὡς δὲ οὐδὲν τοιοῦτον οὔτε ἐν τῇ σφῶν μονῇ οὔτε ἐν τῇ πόλει πάσῃ τῶν Θεσσαλονικέων ἔλεγον εἶναι οἱ μοναχοί, λύπῃ καὶ ἀθυμίᾳ ὁ γέρων συνείχετο, ἐξηπατῆσθαι τοῦτον οἰόμενος ὑπὸ τοῦ πονηροῦ καὶ τοσοῦτον μόχθον ὑπομεμενηκέναι διακενῆς. ὅμως ἐλπίζων ἦν εἰσέτι καὶ τὴν ὑποστροφὴν ἀνεβάλλετο· τοιοῦτον γὰρ ἡ ἐπιθυμία, καὶ μᾶλλον ὅταν εἰς βάθος ληφθῇ. ὡς δὲ καὶ εἰς ἓξ ἤδη μῆνας ὁ καιρὸς παρετείνετο καὶ ἡ ἐλπὶς οὐδαμοῦ, ὑποστροφῆς ὁ γέρων αὖθις ἐμέμνητο, ἀπάτην δαιμόνων τὸ πᾶν λογισάμενος.

7 νητρίασ A  9 παντοδ. ὑπὸ ταύτην B  11 Matth. v, 8  11 τῶν A τοῦ B  31 οὐδὲ AB



12. Μόλις οὖν τῇ αὐτοῦ κέλλῃ ἀποκαταστάς, πάλιν ἐχόμενος ἦν τῶν προτέρων, ὡς λέγεται, λογισμῶν καὶ ὑπὲρ τοῦ τοσούτου καμάτου καὶ τῆς ταλαιπωρίας αὐτοῦ ἐνεκάλει τῷ θεῷ. ὀπτάνεται γοῦν καὶ πάλιν αὐτῷ, καθὰ δὴ καὶ τὸ πρότερον, ὁ φανεὶς καί φησιν· "Οὐκ ἐκλάπης, οὐκ ἠπατήθης, οὐ διήμαρτες. ἐκεῖ καὶ πάλιν δεῖ σε ἀπελθεῖν, ἐν τῇ τῶν Λατόμων δηλονότι μονῇ, εἴπερ βούλει μὴ διαμαρτεῖν τῆς ἐφέσεως· ἐν αὐτῇ γὰρ καὶ τὸ πέρας δέξασθαι τῶν σῶν ἡμερῶν εὐδόκησεν ὁ θεός". ὁ δὲ (καὶ γὰρ ἦν εὐγνώμων λίαν) πείθεται τῷ καλοῦντι καὶ ἔξεισιν αὖθις τοῦ κελλίου αὐτοῦ μετὰ τοσαύτης ὀδύνης, μεθ' ὅσης οἶμαι τοῦ παραδείσου ὁ Ἀδάμ· φθάνει τε τὴν πολλάκις μνημονευθεῖσαν τῶν Θεσσαλονικέων μητρόπολιν καὶ αὐτὴν τὴν τῶν Λατόμων μονήν, ἐν ᾗ κελλίον αἰτήσας καὶ λαβὼν ἀνεκτᾶτο αὐτόν, ὡς οἷόν τε ἦν, τεταλαιπωρημένον ὄντα τῷ μήκει τῷ τῆς ὁδοῦ. ὡς δὲ ἱκανὸς παρῳχήκει καιρὸς καὶ τὸ σῶμα ἤδη καλῶς εἶχεν αὐτῷ, ὡς καὶ τὰς συνάξεις κοινῶς ποιεῖσθαι μετὰ τῆς ἀδελφότητος, τότε δὴ τότε (ἀλλὰ προσεκτέον τῷ διηγήματι, ἔχει γὰρ μετὰ τοῦ διηγήματος καὶ τὸ χάριεν) ἐν μιᾷ τῶν συνάξεων μόνου ἀπολειφθέντος τοῦ γέροντος κατά τινα χρείαν ἐν τῷ νεῴ, γίνεται αἰφνηδὸν λαῖλαψ τε καὶ σεισμός, καὶ πρὸς τούτοις βροντὴ οἷα ῥῆξις, ὡς ἐκ τούτων καὶ τὰ θεμέλια δονεῖσθαι τοῦ ναοῦ δοκεῖν. καὶ εὐθὺς τὰ μὲν ἐκ τῆς τιτάνου καὶ τῆς ὀπτῆς πλινθεύσεως ἐπικείμενα μετὰ τῆς βορείας ἐκείνης βύρσης τῷ ἱερῷ τοῦ κυρίου ἐκτυπώματι, ὡς ἄνωθεν εἴρηται, περιαιρεθέντα πρὸς γῆν κατεβάλλοντο· ὁ δὲ ἱερὸς ἐκεῖνος τοῦ Χριστοῦ χαρακτὴρ δίκην ἡλίου σελαγίζοντος μέσον τῆς νεφέλης ἀνεφάνη πυρσοφανῶν· ὅνπερ ὁ γέρων μέσον ἑστὼς τοῦ ναοῦ

1 μόχθον A πόνον B  2 καινῆς B  8 διαλογισμῶν B  14 τῆς σῆς ἡμέρας A  15 λίαν ὡς πειθόμενος πέιθεται B  22 ποιεῖσθαι A κεκτεῖστε B  23 μόνος ἀπολειφθεὶς ὁ γέρων B  28 τοῦ τιτάνου B

κατιδὼν καὶ "Δόξα σοι ὁ θεός" μέγα ἀνακραγών, "εὐχαριστῶ σοι", τὴν μακαρίαν ἀφῆκε ψυχήν.

13. Οἱ οὖν ἐν τῇ μονῇ μοναχοὶ συνδραμόντες καὶ τὸ παράδοξον ἐκεῖνο θέαμα θεασάμενοι, τὸ "Κύριε ἐλέησον" μετὰ δέους ἔκραζον ἐπὶ πολύ. τί τὸ ἐντεῦθεν; περὶ τὴν κηδείαν τοῦ ἁγίου τούτου τρέπονται γέροντος, ὃν καὶ θάπτουσι τὰ νενομισμένα πρότερον τελέσαντες, ἐν αὐτῷ τῷ τόπῳ, ἐν ᾧ καὶ τῆς μακαρίας ἠξιώθη θέας καὶ τελειώσεως, πολλῶν ἰάσεων γεγονυιῶν ἐπὶ τῇ κηδείᾳ τοῦ ἱεροῦ σκήνους αὐτοῦ. τῆς δὲ φήμης διαδραμούσης ἁπανταχοῦ τῆς πόλεως καὶ τῆς ἀστυγείτονος περιοικίδος, οἷα δὴ φιλεῖ ἐν τοῖς τοιούτοις γίνεσθαι, ἦν ἰδεῖν ἀτεχνῶς τοὺς τῶν ἀνθρώπων δρόμους τῶν ποταμῶν μιμουμένους τὰ ῥεύματα, καὶ μᾶλλον ὅτι καὶ ἰάσεις ἐτελοῦντο καθ' ἑκάστην μυρίαι καὶ παντοδαπαί. δαίμονες γὰρ ἐδραπέτευον, νόσοι ἐφυγαδεύοντο καὶ ψυχαῖς ἀνάγνοις ἐτελεσιουργεῖτο ἡ κάθαρσις, καὶ ἁπλῶς οὐδεὶς ἦν ὁ πάθει τινὶ ταλαιπωρούμενος, ὃς ἐκεῖσε γενόμενος εὐθὺς τοῦ ἐνοχλοῦντος πάθους οὐκ ἀπηλλάττετο· ὃ καὶ μέχρι τῆς δεῦρο ὁρᾶται γιγνόμενον. ἀλλὰ καὶ ἀγγέλων ὑμνούντων τῇ τρισαγίῳ φωνῇ διὰ τὸ τῆς θεότητος τρισυπόστατον, ὡς τοῖς θεηγόροις δοκεῖ, περὶ τοὺς ἑωθινοὺς καιροὺς ἐν τῷδε τῷ ἱερῷ χώρῳ τινὲς ἠκηκόεσαν καὶ ἁπλῶς πάσης ἐναντίας δυνάμεως καὶ παντοίων παθῶν ἐλατὴρ ἡ τῷδε τῷ θείῳ τόπῳ ἐπιδαψιλευθεῖσα χάρις μέχρι τοῦ νῦν ἀναδείκνυται.

14. Ἀλλ' ὦ βασιλεῦ βασιλέων καὶ κύριε κυρίων, ὦ ζωῆς ταμία καὶ πνοῆς ἁπάσης πρυτανευτά, ὦ φύσεως παντοδαπῆς δημιουργὲ καὶ παντὸς ἀγαθοῦ χορηγέ, ὁ παντοίοις εἴδεσί τε καὶ σχήμασιν ἑαυτὸν παραδείξας ἡμῖν πρὸ τῆς χάριτος καὶ μετὰ τὴν χάριν, οἷς καὶ συγκατῆλθες καὶ ξένην σωτηρίας τρίβον ὡς ἀγαθὸς καθυπέδειξας· "μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων"· μὴ τὰ σπλάγχνα κλείσῃς τῆς σῆς ἀγαθότητος· μὴ μακρύνῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν. οἶδα ὅτι φιλάνθρωπος εἶ, ἐλεήμων τε καὶ μακρόθυμος, καὶ παρορᾷς ἁμαρτίας λαοῦ σου μετανοοῦντος. καὶ μαρτυροῦσιν Νινευῖται, Μανασσῆς καὶ Δαυίδ, πρὸς οἷς πόρνη, τελώνης καὶ λῃστής. μὴ νικήσῃ τοίνυν τὸ πλῆθος τῶν ἡμετέρων κακῶν τῆς

15 πάθει τινὶ A παθῶν τι B    23 Psalm. LXXVIII. 8



σῆς φιλανθρωπίας τὴν ἄβυσσον· μὴ πατήσῃ τὰ ἅγια ποὺς βέβηλος· μὴ καυχήσηται ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου· μὴ εἴποισαν οἱ ἐχθροὶ ἡμῶν· "ποῦ ἐστιν ὁ θεὸς αὐτῶν"; ἔκχεον τὴν ὀργήν σου, ἀλλ' ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο· "ἡμεῖς γὰρ λαός σου καὶ πρόβατα νομῆς σου" καὶ τῷ ὀνόματί σου ἐπικεκλήμεθα. "σὺ φοβερὸς εἶ καὶ τίς ἀντιστήσεταί σοι"; σόν ἐστιν ἀποκτεῖναι καὶ ζωοποιῆσαι, πατάξαι καὶ ἰάσασθαι· "ἐν τῇ θαλάσσῃ γὰρ αἱ ὁδοί σου καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται". κοίμησον τὸν νῦν ἐγειρόμενον καθ' ἡμῶν τάραχον· τὰς ἐπαναστάσεις τῶν παθῶν καταπράυνον· "ἀναβαίνουσι γὰρ ἕως τῶν οὐρανῶν καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων". τὰ τοῦ φθόνου βέλεμνα σύντριψον καὶ τοὺς καθ' ἡμῶν ὁρμῶντας ἀπόστρεψον. τὴν πάρδαλιν καὶ τὴν ἄρκτον δεῖξον ἀπορουμένην, τοὺς εἴρωνας κύνας τοὺς σαίνειν μὲν δοκοῦντας, δάκνειν δ' ἐπιχειροῦντας, ὑλακτοῦντας διακενῆς, ἵνα κἀντεῦθεν δοξάζηται τὸ πανάγιον ὄνομά σου νῦν καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

3 Psalm. LXVVIII, 10    3/6 ἔκχεον — νομῆς σου] cf. Psalm. LXXVIII, 6, 13    6 σὺ φοβερὸς — ἀντιστήσεταί σοι] Psalm. LXXV, 8    7 ἀποκτεῖναι — ἰάσασθαι] cf. Deut. XXXII, 39    8/9 ἐν τῇ θαλάσσῃ — γνωσθήσονται] Psalm. LXXVI, 20    11 ἀναβαίνουσι — ἀβύσσων] Psalm. CVI, 26    13 πάρδαλην A    15 δάκνειν δ' ἐπιχειροῦντας om B

# V.

# ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΓΑΠΗΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΣΥΝΑΟΥ.

---

1. Οὐχ οὕτως οἶδέ τι τῶν ἄλλων ἐμποιεῖν τοῖς φιλαρέτοις χάριν ἅμα καὶ ἡδονήν, ὡς πολιτεία δικαίου καὶ κατορθώματα διηγούμενα. ἐπεὶ οὖν οὐχ ἡδεῖα μόνον ἡ τοῦ δικαίου μνήμη, ἀλλὰ καὶ λίαν ὠφέλιμος, φέρε δὴ καὶ ἡμεῖς τὸν μέγαν Ἀγαπητὸν εἰς μέσον προθέντες κοινὴν ὠφέλειαν τὰ ἐκείνου καὶ ἡδονὴν ποιήσωμεν.

2. Ἀγαπητῷ τῷ πάνυ πατρὶς μὲν ἡ Καππαδοκῶν, πατέρες δὲ περὶ τὴν Χριστοῦ πίστιν θερμοί· ὑφ᾽ ὧν ἀναχθεὶς οὗτος καὶ καλῶς παιδευθείς, ἔτι μὲν τὴν ἡλικίαν νέος ὢν καὶ τὸ σῶμα γενναῖος, τὴν ἀρετὴν δὲ πολιὸς καὶ τὴν σύνεσιν, ἔν τινι μοναστηρίῳ τῶν κατὰ τὴν Συναδὸν ὀρέων κειμένῳ, μεγίστῳ μὲν εἰς ἀρετῆς λόγον, μεγίστῳ δὲ καὶ τῷ πλήθει τῶν ἐν αὐτῷ συνειλεγμένων θείων ἀνδρῶν, τῆς πατρίδος ἀπαναστὰς παραγίνεται· περίπου γὰρ τοὺς χιλίους συνηθροῖσθαι τούτῳ λόγος. ἐξ ὧν τὰ κάλλιστα συλλεξάμενος ἠγαπᾶτο μὲν καὶ παρὰ πάσης τῆς ἀδελφότητος, ἠγαπᾶτο δὲ μᾶλλον καὶ παρὰ τοῦ τῆς μάνδρας ἀφηγουμένου. Ἀβραὰμ ἦν ὁ σοφὸς οὗτος καὶ τοῦ πατριάρχου συνάμιλλος, ὃς

---

A=codex Mosquensis $\frac{183}{\text{CLXXXIV}}$ (№ 375. *Арх. Владимiръ*, Систематическое описанie etc, p. 563), s. XI, f. $80^{a}$—$91^{a}$. Titulus: Μηνὶ τῶι αὐτῶι (=Februario) η̄. Βίος — συναῶν. 11 συναὼν A



τῷ διορατικῷ τῆς ψυχῆς ὀφθαλμῷ μέγαν ἔν τε βίῳ καὶ θαύμασι τὸν Ἀγαπητὸν προορῶν, ἐπεὶ παρὰ τῶν προσηκόντων ἀνηρευνᾶτό τε καὶ ἀκριβῶς ἐζητεῖτο (Διοκλητιανὸς τότε καὶ Μαξιμιανὸς ἐβασίλευον), ἵνα μὴ τὸ τῆς ἐκλογῆς τοῦτο σκεῦος τοῖς τοῦ κόσμου πράγμασι συσχεθῇ, τῶν ἐπισκόπων τινὶ παρατίθεται, διδάξας τὰ κατ᾽ αὐτὸν καὶ οἷος ἀναφανήσεται. ὁ δὲ τοῦτον δεξάμενος δι᾽ ὅσης ἂν εἴποις ἦγε τιμῆς, αἰδούμενος εἰ μή τι γε ἄλλο, ἀλλὰ τὰς ἀρετὰς τοῦ γενναίου, ἃς αἰδεῖσθαι πάντως καὶ πολέμιος οἶδε.

3. Χρόνος οὐκ ὀλίγος παρῆλθε καὶ ἐπείπερ ὁ Ἀγαπητὸς μάθοι πεπαῦσθαι τοὺς ἐκζητοῦντας αὐτόν, τῷ ἀσκητηρίῳ πάλιν φέρων δίδωσιν ἑαυτόν, τῶν προτέρων ἢ καὶ μειζόνων τῆς ἀσκήσεως ἀγώνων ἐχόμενος· ἐπὶ τριάκοντα μὲν γὰρ ὅλοις ἔτεσι φλοιοῖς ἠρκεῖτο θερμίων μόνοις, ἀλλὰ καὶ σποδὸν ἐσθίων ἐν ὅλαις ἡμέραις ὀγδοήκοντα διετέλεσε, τὸ τοῦ θείου φάναι Δαυὶδ ἐκπληρῶν· “σποδὸν γάρ” ἐκεῖνος φησίν, “ὡσεὶ ἄρτον ἔφαγον”. ὕπνου δὲ τοσούτῳ γέγονεν ἐγκρατής, ὡς ἐπὶ μίαν καὶ μόνην τῆς νυκτὸς ὥραν ἀπογεύεσθαι τούτου, τὰς δ᾽ ἄλλας τοῖς ὕμνοις διδόναι καὶ ταῖς εὐχαῖς. εὔχρηστος ταῖς τῆς μονῆς διακονίαις ὑπῆρχε καὶ δεσπότας ὥσπερ ἔβλεπέ τε καὶ εἶχε τοὺς ἀδελφούς, τὸ ὑπερβάλλον ἐντεῦθεν τῆς ταπεινώσεως ἐνδεικνύμενος· ἁπλοῦς ἦν καὶ ἀκέραιος. καὶ τί χρὴ τὰ πολλὰ λέγειν; πάσαις ἀρεταῖς κατάκομος.

3. Ἐξ οὗ τί γίνεται; θαυμάτων πλείστων αὐτουργὸς ὁ μέγας γνωρίζεται· τοιαῦται γὰρ αἱ τῶν κατὰ θεὸν ἀρετῶν ἀντιδόσεις. δράκοντα γάρ που τοῖς τόποις ἐμφωλεύοντα τούτοις καὶ κατὰ τοὺς πονηροὺς γείτονας πολλῶν κακῶν τοῖς προσοίκοις γινόμενον αἴτιον, κτήνη τούτων καὶ αὐτοὺς δὴ τούτους λαφύσσοντα, εὐχῇ τῇ πρὸς θεὸν θανατοῖ. καὶ δὴ καὶ ἕτερον κατ᾽ αὐτὸ δὴ τὸ ὄρος, ᾧ τὸ μοναστήριον ἵδρυτο, μακρῶν ἐκ χρόνων διάγοντα τοῖς ὅπλοις τῶν εὐχῶν ἐθανάτωσε. θεραπεύει παρθένον συνεχομένην ἀρρωστίᾳ δεινῇ. καὶ οὐ μόνον ταῦτα, ἀλλὰ δὴ καὶ ἕτερα πλεῖστα τελῶν καθ᾽ ἑκάστην ἐφαίνετο θαύματα· συνείργει γὰρ αὐτῷ Χριστὸς ἐν ἅπασιν, ὁ μόνος ἀληθὴς θεὸς ἡμῶν.

4. Ἀλλ᾽ οἷά σου, διάβολε, τὰ τεχνάσματα. διαβάλλεται Λι-

---

4 ἐκλογῆς σκεῦος] cf. Act. IX, 15 12 φλυοῖς A 15 Psalm. CI, 10

κιννίῳ τῷ βασιλεῖ (γαμβρὸς δὲ οὗτος ἐπ' ἀδελφῇ τοῦ μεγάλου Κωνσταντίνου, τοῦ πρώτως χριστιανῶν βασιλεύσαντος, ἦν), ὡς εἴη γενναῖος ὁ Ἀγαπητὸς κατὰ σῶμα καὶ πρὸς ἀντιπάλους δεινός. ὃς αὐτίκα τοῦτον ἀγαγών, ἐπείπερ ἴδοι μέγιστον τὸ σῶμα καὶ ῥωμαλέον, τοῖς στρατιωτικοῖς αὐτὸν ἐντάττει καὶ ἄκοντα καταλόγοις. ἀλλὰ καὶ τούτου γενομένου καὶ ὥσπερ ὑποχαυνῶσαί σου σπεύδοντος ἐντεῦθεν τοῦ πονηροῦ τὸν τῆς ἀσκήσεως τόνον, αὐτὸς οὐκ ἠμέλησας τοῦ κανόνος, Ἀγαπητὲ θαυμαστέ, ἀλλὰ καὶ μᾶλλον πλήττων κἀν τούτῳ τὸν πονηρὸν μείζονας ὥσπερ ἐπεδείκνυσο τοὺς ἀγῶνας, ὑπηρετούμενος δὴ καὶ ταῖς στρατηγικαῖς αὐταῖς λειτουργίαις. οὐ μὴν ἀλλὰ καὶ νόσους αὐτῶν ὁ Ἀγαπητὸς ἐξιᾶτο παντοίας, οὐχ ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἵππων καὶ λοιπῶν ἄλλων ζῴων. ὁ ταξίαρχος οὖν τῆς ἐν ᾗ τέτακτο τάξεως ταῦτα θεώμενος τὴν γαμετὴν δαίμονι δεινῷ προσπαλαίουσαν ἄγει πρὸς αὐτόν, ἱκέτης ἐλεεινὸς γινόμενος τοῦ δικαίου. ὁ δὲ λανθανόντως ἐγκλεισθῆναι ταύτην κελεύει. γίνεται τοῦτο, καὶ τρισὶν ἐν ἡμέραις εὐχομένου τοῦ μάκαρος εἰς τὴν τρίτην πεφυγάδευται τὸ δαιμόνιον καὶ ὑγιὲς τὸ γύναιον ἀπεδείκνυτο, καὶ οὕτω κῆρυξ ὁ ταξίαρχος καὶ τοῦ παραδόξου γέγονε θαύματος.

5. Τούτων οὕτως ἐχόντων, ἆρ' ὑπέμεινεν ὁ πολύτροπος δαίμων; οὐ μὲν οὖν. διὸ καὶ παρά τινων αὐτῷ προσφιλῶν διαβάλλει τοῦτον τῷ Λικιννίῳ, ὡς εἴη περὶ τὴν στρατείαν Ἀγαπητὸς ἀμελῶν, ὧδέ τε κἀκεῖσε περιιὼν καὶ τὰς διδομένας αὐτῷ δαπάνας, ναὶ δὴ καὶ τὰ τῶν πολέμων ὅπλα διασκορπίζων ἐν τοῖς ὁμόφροσιν. εὐθὺς οὖν ἀχθεὶς καὶ πρὸς τὸ μέσον καταστάς, ἐπεὶ τὴν πολεμικὴν ἐμπειρίαν κεκέλευστο ἔνοπλον ἐπιδείξασθαι, τοσοῦτον ἐξέπληξε πάντας ἔν τε τῇ μετακινήσει τοῦ σώματος καὶ τοῖς ἅλμασι, καὶ μάλιστα τὸν Λικίννιον, ὡς περιτραπῆναι τούτου τὴν ὀργὴν κατὰ τῶν συκοφαντιῶν, τοῦ θεοῦ πάντως οὕτως οἰκονομήσαντος.

6. Πληγεὶς οὖν ὁ βέβηλος κἀν τούτῳ δαίμων τῷ κόμητι τῆς τάξεως ὑποτίθησιν, ὡς γοητείαις Ἀγαπητὸς τὰς ἰάσεις οὐκ ἐνεργείᾳ διαπράττοιτο θείᾳ· καὶ ὃς αὐτίκα τοῦτον μετεκαλεῖτο καὶ τὴν αἰτίαν ἠρώτα. καὶ ὅρα μοι τοῦ ἁγίου τὴν σύνεσιν· σιωπᾷ καὶ μηδὲν ὅλως λαλεῖ. ὅρκοις οὖν τοῦ κόμητος αὐτὸν ὑποβαλόντος εἰ-



πεῖν, ἐκεῖνος "Οὐχ ἔγωγε" εἶπε, "θεὸς δὲ ταῦτα οἰκονομεῖ, παρ' οὗ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον πέφυκε δίδοσθαι". τούτων οὗτος ἀκούσας οὐδὲν εἰπεῖν ἄλλο προσέθετο, ἀλλ' ἔμεινεν ἡσυχάζων.

7. Μάγου δέ τινος ὄντος ἐν τῷ στρατεύματι, τερατώδη τινὰ ποιοῦντος (δράκοντα γὰρ δῆθεν ἐναέριον ὁ μάγος ἐδείκνυ φερόμενον, δι' οὗ τὸ πλῆθος ἐξεδειμάτου καὶ θυσίας αὐτῷ προσάγειν ἀνέπειθεν), οἱ τῆς παρατάξεως αὐτῷ τὰ περὶ τοῦ ἁγίου ἐγνώρισαν· τοῦ δὲ μυκτηρίσαντος ὡσανεὶ τοῦτον, ἐκεῖνοι τὸν μέγαν μετεκαλέσαντο· καὶ ἐπεὶ παραγένοιτο, ὁ μάγος τὸ φάντασμα τοῦ δράκοντος ἐπεδείκνυε καὶ εὐθὺς εὐχαῖς τοῦ μεγάλου βρονταὶ μὲν συνεχεῖς κατερρήγνυντο, ἀστραπαὶ δὲ φρικώδεις αὐτῶν ἐξετρίβοντο καὶ τὸν φαινόμενον ἐκεῖνον θῆρα σὺν τῷ μάγῳ διελικμήσαντο. ἐξέστησε τοῦτο τοὺς συνειλεγμένους ἅπαντας, ἐβεβαίωσε πρὸς τὴν Χριστοῦ πίστιν καὶ παρεσκεύασε βαπτισθῆναι.

8. Συνέβη δὲ τότε γυμνάσιον ἔν τινι τόπῳ τὸν στρατὸν ἐκτελεῖν, ἐν ᾧ δαιμόνων ἐπεχωρίαζε φῦλον. τεσσαράκοντα οὖν ἄνδρες ὑπολειφθέντες ἐν αὐτῷ δαιμονίᾳ πλήττονται μάστιγι, οἳ καὶ ἦσαν τὰς ἐσθῆτάς τε διαρρήξαντες καὶ δεινῶς ἐλαυνόμενοι· ὧν οἶκτον εἰληφὼς ὁ μακάριος ἰάσατό τε τούτους τῇ παρακλήσει τοῦ στρατηγέτου καὶ ὑγιεῖς τῇ τοῦ σταυροῦ σφραγῖδι πεποίηκεν.

9. Ὁδεύων δέ ποτε καὶ νεκρὸν ἄνθρωπον γυμνὸν ἐρριμμένον ἰδὼν κατὰ τὴν ὁδόν, ἐπεὶ μηδὲν εἶχεν, ᾧ τοῦτον τῇ ταφῇ παραδῷ, τὴν ἀγορὰν θαρρῶν ὅμως καταλαμβάνει τὰ πρὸς ταφὴν ὠνησόμενος· καὶ ἅμα ψόφου τινὸς (ὢ τῶν ἀπορρήτων σου, Χριστέ μου, κριμάτων) ἐν τῷ κόλπῳ τούτου αἰσθόμενος καὶ τὴν χεῖρα βαλὼν τοσοῦτον εὗροι, ὅσον δὴ καὶ ἀρκοῦν ἦν πρὸς τὴν τῶν ἀμφίων ἐξώνησιν· ἃ καὶ λαβὼν καὶ τὸν νεκρὸν περιστείλας τῇ προσηκούσῃ ταφῇ παραδέδωκε.

10. Κατὰ τοῦτον οὖν τὸν καιρὸν Βικτωρίνου καὶ Δωροθέου, Θεοδούλου τε καὶ Ἀγρίππα τῶν καλλινίκων μαρτύρων, ἄλλων τε πλείστων, ὧν ἐν βίβλῳ ζώντων τὰ ὀνόματα γέγραπται, τὸν καλὸν

---

2 πᾶσα δόσις — τέλειον] cf. Jac. I, 17 7 ἐξεδημάτου A 32 ἐν βίβλῳ ζώντων — γέγραπται] cf. Phil. IV, 3.

διὰ Χριστὸν ἀνδριζομένων ἀγῶνα, συνήθλει τούτοις καὶ οὗτος καὶ βασάνων καὶ φυλακῶν συμπεπείρατο· εἰ χρὴ δὲ εἰπεῖν, καὶ κοινωνὸς αὐτοῖς γέγονε καὶ τοῦ διὰ Χριστὸν εὐκλεεστάτου θανάτου, εἰ καὶ πολλῶν εἰς σωτηρίαν συνετηρήθη ψυχῶν. καὶ γὰρ δόρατι καὶ οὗτος πληγεὶς καιριώτατα καὶ συμπεσὼν ὡς θανὼν τοῖς θανοῦσιν ἡ χάρις αὐτὸν τοῦ θεοῦ διεσώσατο.

11. Λικιννίου μέντοι τοῦ δυσσεβοῦς διὰ τὸν κατὰ Χριστιανῶν διωγμὸν ἐν χειροπέδαις ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου τὴν ὑπερορίαν ἐν Θεσσαλονίκῃ καταχριθέντος καὶ τὴν ψυχὴν κακῶς ἀπορρήξαντος, τῆς οἰκουμένης δὲ καθαρὸν ἀπολαβούσης τὸ τῆς πίστεως φῶς, τῆς στρατιωτικῆς καὶ ὁ μέγας ἀπαλλάττεται λειτουργίας, ἰάσεως παιδὸς δαιμονῶντος τοῦ βασιλέως, τῶν εἰς ὑπηρεσίαν αὐτῷ τεταγμένων ἑνός, τούτῳ ταύτην χαρισαμένης.

12. Ἔνθεν τοι καὶ τὴν μονήν, ᾗ καὶ πρότερον ἐνησκεῖτο, καταλαβεῖν ἐπειγόμενος τῇ πόλει πρότερον παραβάλλει, τῷ ἀπλάστῳ τοῦ ἤθους καὶ τῷ ταπεινῷ σεμνυνόμενος. συνάξεως οὖν (οὕτω συμβὰν) τηνικαῦτα τελουμένης θείας καὶ δεσποτικῆς ἑορτῆς, ἀπαντᾷ πρὸς τὴν ἐκκλησίαν καὶ οὗτος. ὁ γοῦν ταύτης ἐπίσκοπος πεῖράν τινα τούτῳ προσάγων ὑπομονῆς, τοῦ ναοῦ τοῦτον ἐξάγει διά τινος τῶν διακονούντων. γέγονε τοῦτο καὶ ὁ ἅγιος ἐνδοτέρω πάλιν εἰσελθὼν ἔστη· ὡς δὲ δὶς καὶ τρὶς τοῦτο γέγονε καὶ αὐτὸς ἐγγιστά που τοῦ βήματος εἰσιὼν ἔστη, μηδὲν τὸ σύνολον, ἐφ' οἷς ὑπέμεινε, σκυθρωπάσας, θαῦμα τὸν ἐπίσκοπον εἶχε καὶ ἅμα τὴν τοῦ ἀνδρὸς ἀρετὴν δήλην ἐνεποίει τῷ πλήθει, καὶ τοῦτον ἀποκειράμενος τῷ τῆς ἱερωσύνης κατεκόσμησεν ἀξιώματι· ἐρημικὸν γὰρ εἶχεν εἰσέτι τὸ σχῆμα.

13. Ὁ θεῖος τοίνυν οὗτος ἀνὴρ τὸ ὄρος πάλιν καταλαβὼν τῆς συνήθους ἀσκήσεως ἐπεμέλετο. χρόνος παρῆλθεν οὐ πολὺς καὶ τοῦ δηλωθέντος ἐπισκόπου τὸν βίον ἀπολιπόντος, ψήφῳ κοινῇ τοὺς τῆς ἐκκλησίας ὁ Ἀγαπητὸς ἐγχειρίζεται οἴακας, καὶ ἦν τύπος ἅπασι καὶ κανών, ἀφθόνους αὐτοῖς ὁσημέραι τὰς διδασκαλίας προχέων, ναὶ δὴ καὶ τὰς ἰάσεις χορηγῶν τοῖς νοσοῦσι.

14. Τὴν Βασιλεύουσαν οὖν ποτὲ χρείας καλούσης εἰσιών, τὴν Κωνσταντίνου φημί, πρὸς ἑαυτὸν τοῦτο μαθὼν ὁ μέγας ἤγαγε Κωνσταντῖνος· οὗ καὶ τῶν εὐχῶν ἀπολαύσας μεῖναι τοῦτον ἐν τῇ



Βασιλευούσῃ παρακαλεῖ καὶ τὸν ταύτης θρόνον ἐμπιστευθῆναι· τοῦ δὲ μὴ βούλεσθαι τοῦτο τὸ θεῖον εἰπόντος, ὁ βασιλεὺς χρήμασι τοῦτον ἐδεξιοῦτο· ἀλλὰ μηδὲ ταῦτα καταδεχομένου λαβεῖν, ὅρκοις αὐτὸν ὁ κρατῶν πείθει μικρά τινα χάριν φιλίας λαβεῖν. ἃ καὶ λαβὼν ἐκεῖνος, τοῖς ὅρκοις πάντως καμφθείς, τοῖς ἐνδεέσιν εὐθὺς διανέμει· ὅπερ μαθόντα τὸν βασιλέα ἔκπληξις εἶχε καὶ θαῦμα καὶ ἀληθῆ ἐπίσκοπον τὸν ἀοίδιμον ἀπεκάλει.

15. Τῆς Βασιλευούσης οὖν ὁ μέγας ἀπάρας, πλοίου τε ἐπιβὰς καὶ πρὸς τὰ τοῦ Καταβόλου μέρη γενόμενος, τῆς θαλάσσης ἀνέμῳ βιαίῳ συνταραχθείσης καὶ κλύδωνος γενομένου μεγίστου, σφραγῖδι σταυροῦ κατηύνασέ τε ταύτην καὶ γαλήνης ὁρᾶσθαι μεστὴν παρεσκεύασε, καὶ οὕτω τῇ χέρσῳ προσέβαλε καὶ τάχος τὴν αὐτοῦ κατέλαβε πόλιν. σπουδὴν δὴ πολλὴν εἰσάγων τοῦ ναὸν ἀνεγεῖραι θεῖον κἀν τούτῳ τοὺς εἰρημένους μάρτυρας καταθέσθαι, τὸ τοῦ τόπου δύσβατον (πέτρα γὰρ ὑπερκειμένη τούτου μέγιστον ὕψος ἔχουσα), ναὶ δὴ καὶ τὸ εὖρος, ἀπεῖργεν αὐτὸν τῆς προθέσεως· ἐρρίζωτο καὶ γὰρ εἰς βάθος. χερσὶν οὖν ἀνθρωπίναις ἀδυνάτου τῆς ποσῶς μετακινήσεως αὐτῆς οὔσης, χερσὶ θείαις δι' εὐχῆς ὁ μέγας μετέστησε· ταύτῃ γὰρ ἐπιβαλὼν τὸν θεῖον τοῦ σταυροῦ τύπον καὶ τῇ εὐχῇ διανυκτερεύσας (ὢ τῶν ξένων σου θαυμάτων, Χριστὲ βασιλεῦ), ὁμαλὸς ὁ τόπος τῇ ἑξῆς ὡρᾶτο καὶ πρὸς οἰκοδομὴν ἐπιτήδειος· ἐφ' ᾧ τὸν ναὸν ἀνεγείρας καὶ καλῶς ἅμα καὶ περιφανῆ ὡραΐσας τούτῳ τοὺς μάρτυρας ἐναπέθετο.

16. Χρόνος οὐκ ὀλίγος παρῆλθε καὶ τοῦ προέδρου Κυζίκου (πόλις δὲ αὕτη τῆς Ἑλλησπόντου) τῶν τῇδε μετακεχωρηκότος, ὁ μέγας οὗτος ἅμα τῇ συνόδῳ τὴν πόλιν κατέλαβεν, ἐφ' ᾧ τὸν προστησόμενον προχειρίσονται. διαπορούντων οὖν, ὅστις ἄρα καὶ εἴη ὁ ἄξιος, τοῦτον θεὸς τῷ ἁγίῳ διὰ νυκτερινῆς ἀποδέδειχεν ὄψεως· ὃν δὴ καὶ χειροτονήσαντες οἱ ἐπίσκοποι τὰ οἰκεῖα κατέλαβον.

17. Ἀλλὰ ψάμμον ἄν τις θαλάσσης ἀριθμήσαιτο πάντως, ἢ τὰ τούτου τερατουργήματα. γυναῖκα γάρ τινα μετὰ θυγατρὸς ἐν Νικομηδείᾳ ἄρτι πρὸς αὐτὸν ἐρχομένην προλέγει· ᾗ δὴ καὶ προσελθούσῃ καὶ εὐχὰς ἐξαιτουμένῃ τούτου λαβεῖν αὐτὸς “Τὴν ἀπρεπῆ πρᾶξιν” ἔφη, “γύναι, κατάλιπε” (τῷ οἰκείῳ γὰρ συνεφθείρετο δούλῳ) “καὶ πρόσεχε σεαυτῇ καὶ μετανοήσασα σώθητι”, δῆλον

αὐτῇ καὶ τὸ ἁμάρτημα ποιησάμενος. ἡ δὲ παρὰ πᾶσαν προσδοκίαν ὡς ἤκουσεν, ὡς ἐπέγνω, πάντα δῆλα τῷ ἁγίῳ τὰ πεπραγμένα ποιεῖ καὶ συγχώρησιν αὐτῶν μετὰ δακρύων αἰτεῖ. καὶ μέντοι δὴ καὶ λαβοῦσα τὰ οἰκεῖα καταλαβεῖν ἔσπευδε, τὸν υἱὸν τετιμῆσθαι παρὰ βασιλέως τῇ τοῦ κανδιδάτου μαθοῦσα τιμῇ· πρὸς ἣν ὁ μέγας "Μὴ σπεῦδε, γύναι", φησί· "μετὰ τὴν τιμὴν γὰρ ὁ σὸς υἱὸς πρὸς κύριον ἐξεδήμησε". σπουδῇ τοίνυν ἡ γυνὴ τὰ οἰκεῖα καταλαβοῦσα καὶ τὸν τοῦ παιδὸς θάνατον ἐκμαθοῦσα πάλιν πρὸς τὸν ἅγιον μετ' ὀδυρμῶν ἐπανῆλθεν, ὃς καὶ παραμυθησάμενος αὐτὴν καὶ παρακαλέσας ἀπέλυσεν.

18. Κατὰ τοῦτον δὴ τὸν καιρὸν καὶ διάκονον τῆς Θρᾳκικῆς Ἡρακλείας πρὸς αὐτὸν ἀφικόμενον διήλεγξεν ὁ σοφός, κατ' ἰδίαν φήσας· "Οὐ σὺ τὴν παρθένον κυρίου ὑπὸ μίαν ἐταπείνωσας κλίμακα"; ὃν ἀκούσαντα φρίκη συνέσχε καὶ τρόμος, "Ἡμάρτηκα" λέγοντα "τῷ κυρίῳ" μετὰ συντετριμμένης ψυχῆς καὶ δακρύων πηγῆς· ὃν ὁ συμπαθὴς πρὸς γῆν κείμενον ἀναστήσας συγγνώμης τε ἀξιοῖ καὶ μήποτε τούτοις ἁλῶναι πατρικῶς παραινεῖ.

19. Κεκέραστο δὲ τῷ δικαίῳ τὸ αὐστηρὸν ἐν τῷ συμπαθεῖ· καὶ γὰρ τὸν ἀνεψιὸν Μάρκελλον, χήραν λελυπηκότα τινά, ἐφ' ὅλαις ἡμέραις τεσσαράκοντα νόσῳ χαλεπῇ παραδέδωκε καὶ οὕτω συγγνώμης ἠξίωσε, μήποτε ἄλλοτε τοιοῦτόν τι διαπράξασθαι βεβαιώσαντα.

20. Ἀλλὰ καί τινι πρεσβυτέρῳ τῆς ἐκκλησίας ὕβριν ἐπαγαγόντι θάνατον ἠπείλησε, καὶ μέντοι δὴ καὶ γέγονεν ἂν ὁ λόγος ἔργον, εἰ μὴ ταῖς τοῦ κλήρου παντὸς ἐπικαμφθεὶς ἱκεσίαις ἔλυσε τῷ ἀνδρὶ τὴν ὀργήν. φόβος οὖν ἅπαντας εἶχεν ἐντεῦθεν καὶ οὐδεὶς ἔκτοτε τὸν πλησίον ἐκακοποίει.

21. Τί μὴ τἆλλα τὰ παράδοξα λέγειν καὶ τῶν Μωσαϊκῶν μηδὲν ἀπολιπόμενα τεραστίων; ποταμὸν εὐχῇ μόνῃ μεθίστησι τῆς παλαιτάτης κοίτης, βλάπτοντα καὶ τοὺς προσοίκους, Δαμιανοῦ δεηθέντος τοῦ Σιλανδῶν ἐπισκόπου· τούτου γὰρ τὴν ἐκκλησίαν ἐπὶ μᾶλλον κατέβλαπτε.

22. Ναὶ δὴ καὶ τῶν Δανιὴλ κρίσεων οὐδαμῶς ἀπελείπετο· ἐλεγχόμενον γάρ τινα παρά τινος ἐπισκόπου ἐπὶ δεινοτάτῳ σφάλματι

33 ἀπελίπετο A



καὶ τῷ ἀρνεῖσθαι τοῦτον πρὸς τὸν τοῦ μεγάλου κρίσιν ἀχθέντα καὶ ταῖς αὐταῖς ἀρνήσεσιν ἐπιμένοντα μάστιξ παιδεύει θεία, μέχρις ὅτου καὶ ἄκων ἐξεῖπε τὰ πεπραγμένα.

23. Ἀλλὰ καί τινας μοναχοὺς ἔρεις πρὸς ἀλλήλους καὶ μάχας κινοῦντας καὶ παρὰ τοῦ Λαμψάκων προέδρου Μαρκιανοῦ, οὗ διάδοχος ὁ μέγας Παρθένιος, πρὸς τὸν δίκαιον ἀπαχθέντας, αὐτὸς τοὺς ἑκατέρων καταστείλας θυμοὺς ταῖς σοφαῖς αὐτοῦ παραινέσεσιν ἀπέλυσε χαίροντας ἐν εἰρήνῃ.

24. Οὐδὲ τῶν τοῦ ἐμοῦ Ἰησοῦ θαυμάτων μὴ γενέσθαι πράκτωρ ὁ καλὸς Ἀγαπητὸς ὑπελείφθη. νεκρὸν γὰρ καὶ οὗτος Ἑβραῖον ἀνέστησε καὶ ἀλλόμενον ἔδειξεν, οὐ τετραήμερον, ὡς ἐκεῖνος, ἀλλὰ νεαρὸν καὶ ἐφήμερον· οὗ τοὺς προσήκοντας τῷ ὑπερμεγέθει τοῦ θαύματος ἐκπλαγέντας καὶ τῇ Χριστοῦ πίστει προσδραμόντας εὐθὺς ἐβάπτισέ τε καὶ τῷ Χριστῷ προθύμους προσήγαγεν.

25. Ἀνδρῶν δέ τινων περικεχρεωστημένων μὲν αὐτοῖς, ἀποδοθέντων δέ, τὴν τοῦ χρεώστου θανόντος γαμετὴν καθελκόντων, ὁ μέγας σὺν αὐτοῖς τῷ τάφῳ τούτου προσεπιστὰς "Ἐν ὀνόματι Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν" φησὶ πρὸς αὐτόν, "ἀπάγγειλον ἡμῖν, ἀδελφέ, τί τοῖσδε ἀνθρώποις ὀφείλεις". καὶ ἅμα (ὢ τῆς ἀπείρου σου δυναστείας, Χριστὲ βασιλεῦ) ὁ νεκρὸς ἀνέστη καὶ τὴν ὀφειλὴν ἀποδοῦναι διεβεβαίου καὶ αὖθις κεκοίμητο. τί τούτου παραδοξότερον γένοιτ' ἂν ἢ ὑψηλότερον; ἀλλὰ περὶ μὲν τούτων οὕτως· ἃ δὲ καὶ πρὸς τοὺς ὑπὸ δαιμόνων πάσχοντας ἐξετέλει θαύματα, τίς ἄρα παραστήσειε λόγος; ὅμως ὡς ἐγχωροῦν διηγητέον καὶ περὶ τούτων καὶ ταῖς φιλοθέοις ἀκοαῖς προσθετέον.

26. Δαίμων τις χαλεπὸς ἔκ τινος ἀπελαθεὶς ὑπὸ τοῦ μεγάλου τῷ φεύγειν ἠπείλησεν καὶ ἄκοντα τοῦτον ἐναγαγεῖν τῇ Βασιλευούσῃ τῶν πόλεων· ὅστις δαίμων τῶν περιδόξων τῆς Κωνσταντίνου θυγάτριον ἐκμήνας δι' αὐτῆς τὸν Ἀγαπητὸν ἐπεκάλει. τοῦ πατρὸς οὖν ἐν ὀδύνῃ καρδίας τῷ βασιλεῖ προσιόντος, ἐφ' ᾧ τὸν μέγαν μετακαλέσεται, εὐθὺς ἐκεῖνος γράμμασι τὸν ἅγιον μετεστέλλετο, τοῦτον αὐτὸν ἐκπέμψας, τὸν τῆς κόρης πατέρα· τῷ δὲ πρὸς ἐκεῖνον ἀφικομένῳ γράμματα δίδωσιν ὁ δίκαιος· οὐδὲ γὰρ αὐτὸς ἠνέσχετο τὴν πόλιν καταλαβεῖν, τοῦ μὴ πέρας λαβεῖν τὴν τοῦ δαί-

4 ἔρις A

μονος πρόρρησιν. ὃς δὴ ταῦτα λαβὼν καὶ εἰσελθὼν καὶ τῇ κόρῃ προσεπιθεὶς ὑγιᾶ ταύτην καὶ ὅλως εἶχε καθεστηκυῖαν.

27. Ἀκρίδων πλῆθος καὶ κάμπης, τὴν χώραν πᾶσαν λυμαινομένων, ὁ μακαρίτης οὗτος εὐχαῖς ὁσίαις ἐδίωξε καὶ τοῖς ὕδασιν ἐναπέπνιξεν.

28. Ἀλλὰ καὶ κωνώπων ἐμφιλοχωρούντων τῇ τῆς αὐτοῦ πόλεως λίμνῃ καὶ λύμην ὅτι δεινὴν ἀνθρώποις τε καὶ κτήνεσιν ἐμποιούντων ὁ θεῖος οὗτος ἀνὴρ ταῖς εἰς θεὸν ἱκεσίαις τὴν δίωξιν ἐποιήσατο. ἐξ ἐκείνου οὖν καὶ μέχρι τοῦ νῦν ἔστιν ἰδεῖν ταῖς ἄλλαις μὲν τῶν κωμῶν καὶ πόλεων τὴν ἐξ αὐτῶν βλάβην ἐγγινομένην, μηδαμῶς δὲ τῇ Συναῷ μηδὲ κατά τι, μικρόν.

29. Τόπον τινὰ πρὸς λαχάνων ἐπιτήδειον ἐργασίαν τῇ ἐκκλησίᾳ τοῦ περιοδευτοῦ Γερμανοῦ δωρησαμένου καὶ τοῦτον ἐκ μεταμέλου λαβεῖν βουληθέντος, ὁ ἅγιος μὴ δίκαιον εἶναι κρίνας τὸ ἅπαξ ἀφιερωθὲν θεῷ κοινωθῆναι, ὅμως δὲ τῇ κρίσει τοῦτο τοῦ θεοῦ ἀναθείς, τὸ ποτάμιον ὕδωρ, πλημμύρας ἐξ ὄμβρων γεγενημένης, ἐξιὸν κατέκλυσέ τε τὸν τόπον καὶ πελαγίζοντα δέδειχεν· ὅπερ σύνεσιν ἐνῆκε τῷ Γερμανῷ καὶ οὐκέτι τοῦτον ἐπιζητῆσαι προσέθετο.

30. Φορᾶς ποτε πολλῆς ὑετοῦ γενομένης καὶ τὰς οἰκοδομὰς τοῦ ναοῦ μελλούσης ἤδη τῇ γῇ καταβαλεῖν, ὁ μέγας τὴν ῥαγδαίαν ἔστησεν ἐκείνην ὁρμὴν τῇ εὐχῇ καὶ εἰς αἰθρίαν καθαρὰν τὴν ὥραν μετέβαλε, πολλὰ μὲν τῶν ὑδάτων πράγματα παρασυράντων τῶν πολιτῶν, μηδὲ μίαν δὲ τοῖς τῆς ἐκκλησίας οἰκοδομήμασιν, ἄρτι γινομένοις, βλάβην ἐμποιησάντων.

31. Παρθένου τινὸς παρασφαλείσης, οἷα τὰ τῆς ἡμῶν ἀσθενείας, καὶ τὴν μονὴν ἐκβάσης, ἐπείπερ διὰ μετανοίας ἐπανιοῦσαν ὁ λοιπὸς τῶν παρθένων αὐτὴν χορὸς οὐκ ἐδέχετο, τῇ προσελεύσει ταύτης τὴν μονὴν ἐκείνων ὁ συμπαθὴς κατειληφὼς πείθει ταύτας λόγοις πατρικοῖς τὸ τῆς αὐτῶν ποίμνης ἐκ πλάνης δέξασθαι πρόβατον καὶ οὕτω τὴν ἐκκλησίαν αὖθις καταλαμβάνει.

32. Ἰᾶτο καὶ τὰ ψυχικὰ παθήματα καταλλήλως ὁ γέρων. εἴπου καὶ γὰρ αὐτῷ τις παρενέβαλε μοναχός, ἢ τῶν ἐν κόσμῳ περισπωμένων, ἐγνώριζέ τε τὰ τῆς ψυχῆς ἐλαττώματα καὶ μεγάλως αὐτὸν ὠφελῶν ἀπέλυε. καὶ τισι δὲ μοναχοῖς περί τινος δι-



ηγουμένοις πόλεως, ὡς μεγάλοις καὶ λαμπροῖς κεκόσμηται τοῖς οἰκοδομήμασιν, ὁ τοῦ θεοῦ ἱεράρχης σεισμῷ προλέγει ταύτην καταστραφῆναι· ὃ δὴ καὶ μετά τινα χρόνον ἐγένετο. ἀλλὰ καὶ τοὺς ἀσθενοῦντας ὁ δίκαιος καὶ τῇ πενίᾳ μηδὲ μιᾶς ὑπό τινος ἀπολαύοντας θεραπείας τῇ ἐκκλησίᾳ μετακομίζων παντοίας ἠξίου τῆς θεραπείας· ἔμελλε γὰρ αὐτῷ πολὺ τῶν πενήτων, ὅτι καὶ πέλαγος ἐλέους ἐτύγχανε. διδάσκων τε τὸν ὄχλον καὶ παραινῶν ἐφ' ἑκάστης οὐ διελίμπανεν, οὐ κάλλει λέξεων, νοημάτων δὲ καὶ θεοπρεπῶν.

33. Ἐπέστελλε δὲ καὶ τοῖς πόρρω καὶ συνεβούλευε τὰ χρηστὰ καὶ παντοίως ἦν τῆς ἁπάντων σωτηρίας φροντίζων. καὶ γὰρ διάκονόν τινα τῆς ὑπ' αὐτὸν ἐκκλησίας φθορέα γνοὺς παρθένου γεγενημένον οὐκ ἀπώσατο μέν, ἐπαίδευσε δὲ λόγοις σοφοῖς καὶ διὰ μετανοίας τὴν σωτηρίαν αὐτῷ προεξένησε, τοῦ ἱερᾶσθαι μόνον κατὰ τοὺς ἱεροὺς κανόνας κωλύσας αὐτόν. ἀλλὰ καί τινα διάκονον ἄλλον ἐν ἐπιτιμίοις ὄντα καὶ μήπω τὸ πρότερον ἀπονιψάμενον σφάλμα, κλοπῆς ἁλόντα (βοῦν γὰρ ἐκεκλόφει τοῦ γείτονος), ὁ μέγας παραστησάμενος διήλεγξέ τε τοῦτον καὶ τὰ πρὸς σωτηρίαν ἐδίδαξεν.

34. Ἤδη δὲ καὶ τοὺς ἐν ἀρετῇ διαπρέποντας ὁ σοφός. λαϊκὸν καὶ γάρ τινα διδάξαι τὸ πλῆθος τῶν συνάξεων ἐν μιᾷ τὰ πρὸς σωτηρίαν εὐδόκησε, καὶ ὃς τοῦτο ποιήσας καὶ ἀποδεχθεὶς (οὐδὲ γὰρ ἐνῆν τοῦ κελεύοντος παρακοῦσαι) μετὰ τὴν διδαχὴν μὴ εἰδέναι πᾶσι διεπίστου τῶν λεγομένων τὴν δύναμιν ἤ τί καὶ φθέγγοιτο τὸ παράπαν.

35. Πλουσίου δέ τινος ἀνδρὸς γήδιον πένητος ὑφελομένου, ὁ πένης ἀμηχανῶν τῷ καλῷ τούτῳ προσῆλθε πατρί. ὁ δὲ τὸν πλούσιον παρεκάλει τῷ πένητι τὸ ἴδιον παρασχεῖν, καὶ ἐπεὶ μὴ πειθόμενον εἶχεν, ἀλλ' ἰδιοποιούμενον τὸ ἀλλότριον, κρίσιν ἐξήνεγκε δικαίαν ὡς ἀληθῶς καὶ σοφήν· "Εἰ μὲν γὰρ" φησὶ "σὸν τὸ γήδιον, καὶ καρποὺς σοι παρέξει πάντως· εἰ δὲ τοῦ πένητος, ἄκαρπον μείνοι καὶ τούτῳ δοθήσεται". γίνεται τοῦτο καὶ λαμβάνει τὸ ἴδιον ὁ πτωχός.

16 ἀπονειψάμενον A   17 ἀλῶντα A

36. Δαιμονῶν τις ἤχθη πρὸς τὸν πανόσιον δυσὶ πεπεδημένος ἁλύσεσιν. ὁ δαίμων ταύτας συντρίβει μέγα κεκραγώς, ὡς δυνατὸς εἴη τοῦτο ποιεῖν. δεσμεῖ τὸν δαιμονῶντα ὁ ἅγιος, σταυρὸν ἐπιβάλλει καί φησι πρὸς ἐκεῖνον· “ Ὄψομαί σε τοίνυν, εἰ ταύτας αὖθις συντρίψεις ”. φεύγει τὸ δαιμόνιον ὡς ὑπὸ πυρὸς διωκόμενον καὶ ὑγιὴς ὁ ἄνθρωπος ἀποδείκνυται.

37. Ἑπτὰ παρθένοι πνεύμασι κατάσχετοι πονηροῖς λάθρᾳ συνῆλθον τῷ πλήθει βαπτισθῆναι παρὰ τοῦ μάκαρος. ἔγνω τῷ πνεύματι τῷ ἁγίῳ τὸ τοιοῦτον ὁ δίκαιος καὶ διαστήσας τῶν ἄλλων αὐτάς, μεθ' ὃ τοῦ βαπτίσματος τὸν ὄχλον ἠξίωσε, βαπτίζει καὶ ταύτας καὶ τῶν δαιμόνων ἐλευθεροῖ.

38. Ἄλλον δέ τινα δηχθέντα δεινῶς ὑπὸ ὄφεος καὶ πρὸς τὸν μέγαν τοῦτον ἀχθέντα καὶ τελευτᾶν ἤδη μέλλοντα, ἐξώγκωτο γάρ, ὁ θαυματουργὸς σφραγῖδα τῷ δήγματι σταυροῦ προσβαλὼν τὸν ἰὸν ἐξεκένωσε καὶ τὸν ἄνθρωπον ὅλως ἀποκατέστησεν ὑγιῆ.

39. Ποταμός τις, κώμῃ τινὶ παραρρέων, τῶν γειτόνων τοὺς καρποὺς πλημμυρῶν ἐλυμαίνετο. ἐν μιᾷ οὖν ἤδη τὴν ὁρμὴν ποιουμένου τοῦ ὕδατος, τῇ ὄχθῃ τὶς τοῦ ποταμοῦ τάχος ἐπιστάς “ Τὴν ὀρθὴν ” ἔφη “ βάδισον, μηδὲν τοὺς γείτονας καταβλάπτον· ἢ μὴν πορευθεὶς ἀπαγγελῶ τῷ Ἀγαπητῷ τὸ πραττόμενον ”. οὕτω τοῦ ἀνδρὸς εἰρηκότος (ὢ τῶν ἀπορρήτων σου κριμάτων, Χριστὲ ἄναξ), ἐξέκλινε τῆς ὁρμῆς τὸ ὕδωρ καὶ ἀβλαβεῖς τοὺς ἐκεῖσε τετήρηκε.

40. Κώμην ἄλλην κατῴκουν τινὲς τῶν Ἑλλήνων· βλάβην ὁμοίως ὑπὸ τοῦ γείτονος ὑπέμενον ποταμοῦ. προσῆλθον οὗτοι τῷ μάκαρι. εὐχαῖς ἐκεῖνος λύει τὴν βλάβην· τοῦ παρακειμένου γὰρ ὄρους τῷ ποταμῷ κατά τι μέρος διαιρεθέντος καὶ σχισμῆς ὅτι μεγίστης γεγενημένης, τοῦ ποταμοῦ διαδῦντος ἐν αὐτῇ, διεσώθησαν οἱ πρόσοικοι τῆς ἐλπιζομένης κακώσεως· ἔνθεν τοι καὶ παραχρῆμα τῷ θείῳ βαπτίσματι ἐφωτίσθησαν καὶ τῷ Χριστῷ προσηνέχθησαν.

41. Καί τινα προσενηνόχασιν αὐτῷ δαιμονίᾳ πεπληγμένον ἄνθρωπον μάστιγι. τοῦ πονηροῦ δὲ τούτου δαίμονος τὴν δίωξιν

8 ἔγνωι A 12 ὄφεως A 13 ἐξώγκοτο A 19 καταβλάπτων A



γνόντος καὶ ὥσπερ βουληθέντος πάθος τι τῷ στομάχῳ τοῦ ἀνθρώπου παραλιπεῖν, ὁ μέγας εἰς τὸ οὖς ἐγκύψας τοῦ πάσχοντος “ Μὴ βούλου τὸν ἄνδρα βλάπτειν ”, εἶπε πρὸς τὸ δαιμόνιον, “ ἀλλ' ἔξελθε ταχέως· οὐκ ἐξέσται σοι γάρ ”. τότε τοίνυν ὡς ὑπὸ μάστιγος ὁ δαίμων ἐλαυνόμενος ἀπηλάθη. καὶ ταῦτα μὲν οὕτως.

42. Τὸ δὲ ταπεινὸν τοῦ δικαίου, τὸ δὲ ἥμερον, τὸ δὲ πρᾶον τίς ἂν παραστήσειε λόγος; ὅμως ὡς ἐνὸν πειράσομαι. διὰ τὴν τοῦ σώματος ἀνάγκην βαλανείῳ προσελθεῖν διὰ μακρῶν τῶν χρόνων ὁ μέγας διενοήθη, καί τις τῶν ὑπερηφάνων τὸ εὐτελὲς αὐτοῦ καὶ ἀπέριττον θεασάμενος, ἐπεὶ διαβαίνων μὴ ὄρθιον ἴδοι τὸν δίκαιον, τύπτειν αὐτὸν ἐπεχείρει. καρτερεῖ τοῦτο σοφῶς ὁ σοφὸς καὶ περιπλοκαῖς ἐκεῖνον μᾶλλον ἠσπάζετο. μανθάνει τὸν μέγαν, ὅστις ἦν, ὁ τετυφὼς καὶ ποσὶν αὐτοῦ ῥίψας ἑαυτὸν συγγνώμην ᾐτεῖτο τοῦ παραπτώματος, ἧς δὴ παρὰ τοῦ συμπαθοῦς καὶ τετύχηκεν. εἰσιὼν οὖν ὅμως εἰς τὸ βαλανεῖον καὶ θεραπεύσας τὸ σῶμα τοῖς ὕδασιν ἔξεισι χερσὶν ἀπομάττων αὐτό· καὶ ἐπεὶ τρισσάκις τοῦτο ποιήσας οὐδεὶς ἦν ὁ κἂν περικάλυμμά τι ἢ ἔκμακτρον αὐτῷ παρεξόμενος, μὴ ἀνασχόμενος ἐκεῖνος τὸ ἀσυμπαθὲς αὐτῶν (καὶ γάρ, ὡς οἶμαι, δοκιμὴν τὸ πρᾶγμα πεποίητο) τοῖς αὐστηροτέροις πρὸς αὐτοὺς ἐχρήσατο λόγοις, “ Εἰ ἐμὲ οὕτως ” εἰπὼν “ καταλελοίπατε, τὸν ὑμῖν συνήθη καὶ γνώριμον, μηδένα μου οἶκτον τὸ παράπαν λαβόντες, πότε ἄρα εὐμενῶς ἐπίδοιτε ξένον ”; τούτοις τὸ σκληρὸν ἐκείνων μαλάξας οἴκαδε ἄπεισιν.

43. Ἄλλοτε γυμνῷ τινι πένητι ἐντυχών, τὸ ἴδιον ἀποδὺς στιχάριον δέδωκε, γυμνὸς αὐτὸς μετὰ μόνου τοῦ βιρίου, ὃ μανδύαν σύνηθες ὀνομάζειν, ὑπολειφθείς. ἐρωτώμενος οὖν, εἴ τι καὶ γένοιτο καὶ ποῦ τὸ ἱμάτιον, ἐκεῖνος τῷ κναφεῖ δοθῆναι ἀπήγγελλεν.

44. Τὴν ὁδὸν ὁ μέγας ποτὲ διιὼν καί τινα γεωργὸν τὸ ἴδιον ἐργαζόμενον γήδιον κατιδών, “ Οὗτος ”, ἔφη τοῖς συνοῦσιν αὐτῷ, “ μετὰ δύο ἡμέρας τεθνήξεται ”. γίνεται τοῦτο καὶ τὸ προρρηθὲν ἐξέπληξε τοὺς ἀκούσαντας.

45. Δαίμονα τόπῳ τινὶ κακῶς ἐφεδρεύοντα καὶ παραβλάπτοντα τοὺς ὁδίτας καί τινας αὐτῶν ἀποπνίγοντα δι' εὐχῆς τοῦτο μεμαθηκὼς ὁ πανόσιος ἀπεδίωξε.

46. Παῖδα τινὸς ἀπίστου δαίμονι κατάσχετον οἱ προσήκοντες

τῷ ἁγίῳ κομίζουσιν· ὁ δὲ τοῦτον μὲν τοῦ δαίμονος, αὐτοὺς δὲ τῆς ἀπιστίας ἰᾶται καὶ τῷ Χριστῷ προσάγει διὰ τοῦ βαπτίσματος.

47. Τῶν οἰκοδόμων τῆς ἐκκλησίας ἑνὸς αὐθωρόν, μηδὲν νοσήσαντος, τεθνηκότος, ὁ μέγας τῇ τῶν λοιπῶν ἀνέστησε παρακλήσει, παραγγείλας αὐτῷ μὴ ἐκεῖθεν ἀπαναστῆναι διὰ πάσης αὐτοῦ τῆς ζωῆς. μετὰ γοῦν τινα χρόνον πειραθέντα τὸν ἄνδρα μεταβῆναι τοῦ τόπου πήρωσις ὀφθαλμῶν καταλαμβάνει δεινή, καὶ τοῦτον οἱ προσήκοντες χειρὸς αὐτοῦ προσψαύσει ἠνεῳγμένους ἔχοντα τοὺς ὀφθαλμοὺς ἀπελάμβανον.

48. Πολύ τι τῶν θαυμάτων τὸ πλῆθος καὶ ἀσθενὴς ὁ λόγος καὶ τί πράξω οὐκ οἶδα. θαρρῶν οὖν ὅμως τῇ τοῦ μεγάλου δυνάμει καὶ ταῦτα δώσω τῇ διηγήσει. κίονας παμμεγέθεις καὶ κατὰ ἀνθρωπίνην σχεδὸν ἰσχὺν ἀκινήτους τῇ τούτου ζώνῃ ζωσθέντας εὐπετεῖς εἶχον οἱ ἕλκοντες καὶ μέχρι τοῦ ναοῦ διεκόμιζον, οἳ καὶ θαυμάζοντες δόξαν τὴν προσήκουσαν τῷ θεῷ ἀπεδίδουν. χεῖρα τινὸς τῶν διακόνων τῇ πολυγλωττίᾳ τούτου κρίμασιν ἀπορρήτοις ἀκίνητον μείνασαν ὁ ἅγιος τὴν αἰτίαν εἰπὼν ἰάσατό τε καὶ ὑγιῆ ἀποδέδειχε.

49. Καὶ περὶ μὲν τούτων οὕτως, τὰ δ' ἄλλα σοφοὺς ἐπεστόμιζε, τοὺς κατὰ θάλασσαν κινδυνεύοντας ἔσῳζε, τοὺς ἐν τοῖς δεσμοῖς ἐξῆγε, τοὺς κατὰ ψυχὴν παρασφάλλοντας ἐπηνώρθου καὶ παντοῖος ἦν τὴν σωτηρίαν τῶν ἀνθρώπων πραγματευόμενος· ἱερεῖς μὲν γὰρ ἁμαρτάνοντας καὶ πόρρω καθήμενος ἐπαγωγαῖς μετρίων νοσημάτων τῆς παρανομίας ἀφίστα, ἔτι μὴν ὁμοίως καὶ λαϊκούς. καὶ γυναῖκα δέ τινα πρὸς ἁμαρτίαν ἐπ' ὀχήματος ἀπιοῦσαν, τοῦ χαλινοῦ τούτου δραξάμενος, διελέγξας ἔστησε τῆς ὁρμῆς· καὶ ταύτην τοῖς ποσὶν αὐτοῦ προσπεσοῦσαν καὶ συγχώρησιν αἰτουμένην οὐ παρεβλέψατο, ἀλλὰ καὶ ἐπαίδευσεν καὶ τοῦ πάθους ἀνέστειλε καὶ πρὸς τὰ οἰκεῖα χαίρουσαν ἐξαπέστειλε.

50. Κατὰ τοῦτον δὴ τὸν καιρὸν καὶ Παρθενίου τοῦ Λαμψάκων προέδρου ἐπὶ τὴν τῆς ἀρχιερωσύνης μέλλοντος ἀναβιβασθῆναι καθέδραν, καὶ ὁ μέγας Ἀγαπητὸς πρὸς αὐτὸν παραγίνεται πνευματικῶς αὐτῷ συνευφρανθησόμενος.

51. Βαδίζων δέ ποτε κατὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης ὁρᾷ πλοιαρίῳ τινὰ διαπλέοντα καὶ ὅσον οὔπω τῇ τῶν κυμάτων ἐπανα-



στάσει βυθίζεσθαι μέλλοντα. ἐπιτιμήσας οὖν τοῖς ὕδασι καὶ γαλήνην ἐποίησε καὶ τὸν πλωτῆρα διέσωσεν.

52. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἄλλα πλεῖστα διαπραξάμενος ἐκεῖσε θαύματα τὴν οἰκείαν πόλιν κατέλαβε, πολλὰ καθ' ἑκάστην ἐκτελῶν τὰ παράδοξα· πολλοὺς γὰρ παραβάλλοντας εἰς αὐτὸν ἐλέγχων καὶ διδάσκων πρὸς μετάνοιαν ἦγε, τὰς κρυπτὰς αὐτῶν πράξεις εἰς ὠφέλειαν ψυχῆς φανερὰς καθιστῶν· καὶ ἵνα μὴ μηκύνω τὸν λόγον ταῖς κατὰ μέρος τούτων ἐπεξηγήσεσιν, ἑνὸς ἢ καὶ δύο τῶν μεγάλων τοῦ μεγάλου θαυμάτων ἀπομνημονεύσας ἔτι τῷ τέλει τούτου συγκαταλύσω τὸν λόγον.

53. Λόφος τις κατὰ ἀνατολὰς τῆς οἰκοδομηθείσης ὑπ' αὐτοῦ κείμενος ἐκκλησίας ἀφεγγῆ ταύτην ἐποίει καὶ ὥσπερ ἀνήλιον· ὅπερ οὐ μικρῶς ἐλύπει τὸν ἅγιον. μιᾷ γοῦν τῶν ἡμερῶν ἀναβὰς ἐν αὐτῷ καὶ πρὸς οὐρανὸν ἐκτείνας τὰς χεῖρας συντόνως ἐδέετο μετὰ δακρύων καὶ θερμῶς τοῦ θεοῦ, μὴ περιιδεῖν οὕτω τὴν ἐκκλησίαν ἔχουσαν, ἀλλ' ἐκποδὼν γενέσθαι τὸ ἐμποδὼν καὶ χύσιν δέξασθαι ταύτην καθαρωτάτου φωτός. ἔφη καὶ ἅμα τῷ καταβῆναι τοῦ λόφου (τίς μὴ θαυμάσῃ, Χριστέ μου, τὴν ὑπὲρ λόγον ἰσχύν σου;) ἐκκοπεὶς ὁ λόφος τῆς ἐν ᾗπερ ἥδραστο γῆς, πρὸς τὴν ἐκεῖσε πλησιάζουσαν κοιλάδα τάχος ἐξέδραμε καὶ οὕτως ἐλεύθερον τὸ φῶς ἐχαρίσατο τῷ ναῷ. καὶ μηδεὶς εἰς τοῦτο διστάσῃ τῆς κυριακῆς ἀκούων φωνῆς· "ἐὰν ἔχητε γάρ" φησι "πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ Μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται". καὶ τοῦτο μὲν οὕτως.

54. Γυναῖκα δέ τινα δεινὸν ὄφιν ἐγγάστριον φέρουσαν ἄγουσι ποτὲ πρὸς αὐτόν, καὶ ἐπεὶ δεινῶς ἐξώγκωτο τὴν γαστέρα καὶ ἐγκυμονεῖν ἐδόκει, οὐχὶ δὲ θῆρα φέρειν, κἀντεῦθεν ὁ θαυμαστὸς ἐφίστατο ταύτῃ, ὁ σοφὸς Ἀγαπητὸς τῷ πνεύματι γνοὺς οἷά πάσχει τὸ γύναιον, ὅμως "Ὅσος δὴ καὶ παρειλκύσθη χρόνος" ἤρετο, "ἀφ' οὗπερ ἔσχες γύναι, κατὰ γαστρός"; τῆς δὲ "Τρισκαίδεκα μῆνες, πάτερ", εἰπούσης, ὁ μέγας σφραγῖδα σταυροῦ τῇ κοιλίᾳ ταύτης ἐγχαραξάμενος καὶ τὸ τοῦ Χριστοῦ ἐπικαλεσάμενος ὄνομα τῆς ἕδρας τοῦ γυναίου τὸ θηρίον πεσεῖν παρεσκεύασε, δρα-

12 ἀμνήλιον A  18 θαυμάσει A  21 διστάσει A  19 Matth. xvii, 20

κοντόμορφον τοῖς παροῦσιν ἀναφανέν. αὐτίκα τοίνυν βροντῶν γενομένων καὶ συνεχῶν ἀστραπῶν, ὁ δεινὸς ὄφις ἀπετεφρώθη καὶ εἰς χοῦν ἐλεπτύνθη, τῆς γυναικὸς ἀβλαβοῦς τὸ παράπαν συντηρηθείσης.

55. Ἐπισκόπῳ τινὶ παραβαλόντι ποτὲ περὶ ὠφελείας ὁ ἅγιος ὡμίλει περὶ ψυχῆς, καὶ αἴφνης ἐν ἐκστάσει γενόμενος, ἔτι τὸν λόγον ἐπὶ στόματος ἔχων, ὅλος ἦν ἀπηνεωμένος καὶ νεκρῷ σχεδὸν παραπλήσιος· ὃν οὕτως ἔχοντα θεασάμενος ὁ ἐπίσκοπος ὕδατι τούτου τὸ πρόσωπον κατερράντιζεν, ἕλκειν τε ἐπεχείρει καὶ φωνὰς ἠφίει. οὐδενὸς οὖν ὁ μέγας οὐδαμῶς τούτων ἐπέγνω, ἕως θεωρία διέβη, καὶ πρὸς αὐτὸν ἐπανῆκε· τότε γάρ, τοῦ ἐπισκόπου διηγουμένου τὰ περὶ τούτων, ὁ ἅγιος μηδὲν ὅλως εἰδέναι τούτων διεβεβαίου. καὶ οὕτω μὲν καὶ τὰ περὶ τούτου.

56. Ἐπεὶ δὲ ἔδει καὶ αὐτὸν ἄνθρωπον ὄντα τῷ κοινῷ νόμῳ λειτουργῆσαι τῆς φύσεως καὶ διέγνωσται τούτῳ, παραλαβὼν ἕνα τῶν ἱερέων τὸ ἀσκητήριον ὡς εἶχε κατέλαβε· καὶ ἐπείπερ ἴδοι τοὺς ἀδελφοὺς πολλῇ κεχρημένους τῇ κατὰ θεὸν εὐλαβείᾳ, εὐφράνθη τῷ πνεύματι καί φησι πρὸς αὐτούς· " Εὔχεσθαι, τέκνα ἐν κυρίῳ ἀγαπητά, ὑπὲρ ἐμοῦ μὴ ἐλλίποιτε ". καὶ οὕτως αὐτοὺς ἀσπασάμενος τὴν ἰδίαν ἐκκλησίαν κατέλαβε, καί τινα μικρὸν ἐπινοσήσας χρόνον καὶ τὰ σωτήρια τῷ τε κλήρῳ παντὶ καὶ τοῖς πολίταις αὐτοῖς γνησίως ὑπερευξάμενος χερσὶν ἀγγέλων τὴν μακαρίαν ὄντως ψυχὴν ἐναπέθετο. ὀκτωκαιδεκάτην ἔτρεχεν ὁ Φεβρουάριος μήν.

57. Πολλῶν οὖν συνδεδραμηκότων, ὦ πανάγιε πάτερ καὶ ἄνθρωπε τοῦ θεοῦ καὶ πιστὲ θεράπων καὶ λειτουργὲ τοῦ κυρίου Ἀγαπητὲ θαυμαστέ, πρὸς τὴν μακαρίαν ἐκείνην σου τελευτήν, ὁ μέν τις αὐτῶν τρίχας λαβεῖν τιμίας ἠβούλετο, ὁ δὲ καί τι ῥῆγμα μικρὸν τῶν σῶν ἱματίων εἰς εὐλογίαν· ἄλλος καὶ χρωτὸς αὐτοῦ προσψαῦσαί σου μόνον ἤθελεν, ὃς δὲ καὶ ὑπὸ τὴν σκιὰν τοῦ παντίμου σου σκήνους γενέσθαι, ὡς ἐντεῦθεν πιστεύοντες ὠφελείας τυχεῖν. μόλις οὖν τὰς χεῖρας τοῦ πλήθους τὸ καθαρόν σου σῶμα διαφυγὸν τῷ τάφῳ τῶν πατέρων ἐδόθη καὶ νῦν θαύματα πλεῖστα

10 ἐπέγνωι A 28 τιμίαν A



καθ' ἑκάστην ἰδεῖν ἐστι τὴν ἡμέραν ἐκεῖσε τελούμενα· τῆς συμπαθοῦς ἐκείνης σου γνώρισμα τοῦτο καὶ μεγάλης ψυχῆς.

58. Πρόστηθι τοίνυν καὶ βασιλέως ἡμῶν τοῦ πιστοῦ καὶ πᾶσι κεκοσμημένου τρόποις τοῖς ἀγαθοῖς, καὶ χάρισαι τούτῳ ὧδε μὲν μῆκος ζωῆς χαριεστάτης καὶ ἀπαθοῦς, ἰσχὺν κατ' ἐχθρῶν, χώρας αὐτῶν τὴν κατάλυσιν, Ἀγαρηνῶν ἀνομούντων τὴν ἐξολόθρευσιν καὶ πάσης νικοποιοῦ δυνάμεως παροχήν· αὐτόθι δέ, μετὰ τὸν ἐνθένδε σαββατισμόν, ἡλίου τοῦ νοητοῦ τὴν ἔλλαμψιν, λειμώνων θείων τὴν τέρψιν, πάντων δικαίων τὴν συναρίθμησιν καὶ βασιλείας θεοῦ τὴν ἀπόλαυσιν· ὅτι Χριστῷ τῷ θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

# VI.

## ⟨ΑΚΟΛΟΥΘΙΑ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΓΑΠΗΤΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΥΝΑΟΥ⟩.

⟨ΜΗΝΙ ΦΕΒΡΟΥΑΡΙῼ ΙΒ⟩

---

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀγαπητοῦ ἐπισκόπου Συναοῦ.

***Κάθισμα. Ἦχος δ΄.***

Πρὸς τὸ «Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ * ἐπὶ ξύλου».

Ἱερομύστης ἱερὸς * ἀπεφάνθης
καὶ ἰατρὸς θαυματουργὸς * ἐγνωρίσθης,
Ἀγαπητέ, πανόλβιε πατὴρ ἡμῶν·
ὅθεν τὴν ἁγίαν σου * ἑορτάζομεν μνήμην
καὶ πανηγυρίζομεν * τὸν Χριστὸν ἀνυμνοῦντες·
ὃν ἐκτενῶς ἱκέτευε, σοφέ,
ὅπως πταισμάτων * συγχώρησιν λάβωμεν.

***Κοντάκιον. Ἦχος β΄.***

Πρὸς τὸ «Ἀρχιστράτηγε, θεοῦ * λειτουργέ».

Ἱεράρχα Χριστοῦ,
Ἀγαπητὲ θεοφόρε,

---

**A**=cod. Mosquensis $\frac{181}{\text{CCXXXII}}$ (№ 294. *Арх. Владимiръ*, Описанiе etc., p. 405), s. XII, fol. 92—95. Excripsit reverendissimus archimandrita Iacobus Vatopedinus. 10 λάβομεν A



σὺν ἀγγέλοις ὁμιλῶν
τῷ θεῷ ἐκδυσώπει,
τὸ συμφέρον ἡμῖν πρέσβευε
καὶ τὸ μέγα ἔλεος
ὡς ἱεράρχης Χριστοῦ πανασίδιμος.

***Ὁ οἶκος.***

Πρὸς τὸ «Τείχισόν μου».

Ἐκ ῥυπαρῶν χειλέων σοι αἶνον
ἀνακράζω ὁ τάλας * καὶ βοῶ σοι, σοφέ,
Ἀγαπητὲ ἱερώτατε·
ὅθεν οἱ πόθῳ συναθροισθέντες
νῦν τὴν λύσιν αἰτοῦνται τῶν ἐγκλημάτων
(καὶ σὺν αὐτοῖς * ἡ πολύοχλος πόλις γεραίρει σε,
ὑμνεῖ σε ὡς θεοφόρον εὐαρέστως Χριστοῦ καὶ θεράποντα).
πειρασμῶν λυτρωθῆναι καὶ θλίψεων
καὶ παντοίων δεινῶν ἀπαλλάττειν ἡμᾶς
ὡς ἱεράρχης Χριστοῦ πανασίδιμος.

***Στιχηρά. Ἦχος δ΄.***

Πρὸς τὸ «Ἔδωκας σημείωσιν».

Ἀναίμακτον μάρτυρα * καὶ ἀσκητὴν ὁσιώτατον
καὶ παθῶν αὐτοκράτορα, * ἁγνείας κειμήλιον,
συμπαθείας πλοῦτον * ἔγνωμέν σε, μάκαρ,
τῆς εὐσεβείας ζηλωτήν, * τῆς ἀθεΐας πέλεκυν τέμνοντα,
προφήτην τε θεόληπτον, * Ἀγαπητέ, καὶ τρισμέγιστον
τεραστίων τοῦ πνεύματος * αὐτουργὸν ἀξιάγαστον.

Ὅμοιον.

Γέρας πόνων εἴληφας * τῆς ἀρετῆς, πάτερ ὅσιε,
τὸν ἀείζωον λόγον θεοῦ *, τὸν καὶ διικνούμενον
μέχρι τῶν ὀστέων * μυελῶν κρυφίων·

---

15 εὐαρέστιν A  16 ἀπαλλάττων A

ἐν ᾧ τοὺς ἔνδον λογισμοὺς * ἀνακαλύπτεις τῶν προσιόντων σε
καὶ κρίνεις τὰ ἐνθύμια * καὶ διελέγχεις τὰ ἄδηλα
καταπλήττων, θαυμάσιε, * τοὺς λανθάνειν τολμῶντάς σε.

Ὅμοιον.

Τῶν ὑπὲρ κατάληψιν * καὶ ὑπὲρ φύσιν τετύχηκας
χαρισμάτων τοῦ πνεύματος *, πάθη ἐξιώμενος,
νόσους θεραπεύων, * δαίμονας ἐλαύνων
καὶ τοὺς νεκροὺς διανιστῶν * ὥσπερ ἐξ ὕπνου φωνῇ πραείᾳ σου·
αἰσθήσει δὲ δουλεύειν σοι * προστάττεις φύσιν τὴν ἄψυχον
καὶ ὑπείκειν σοῖς ῥήμασιν * ἀναγκάζεις, πανόλβιε.

***Ἄλλα.***

Ἦχος πλάγιος β', πρὸς τὸ «Ὅλην ἀποθέμενοι».

Ὅλην ἀναθέμενος * σοῦ εἰς θεὸν τὴν ἐλπίδα,
πατέρων ἀγλάϊσμα *, Ἀγαπητὲ ἔνδοξε,
τὴν εὐρύχωρον * καὶ πλατεῖαν τρίβον
οὐδαμῶς ὥδευσας, * τὴν στενὴν προκρίνας, ἔνδοξε·
καὶ νῦν κατήντησας * εἰς εὐρυχωρότατα, πάντιμε,
σκηνώματα γηθόμενος * καὶ εἰς παραδείσου τὴν μέθεξιν,
πρεσβείαν προσάγων * Χριστῷ τῷ πανοικτίρμονι θεῷ
ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε *, πάτερ ἱερώτατε.

Ὅμοιον.

Τεῖχος ἀρραγέστατον * σὲ Συναὸς εὗρε, πάτερ,
αὐτὴν περιέποντα, * ἥτις καὶ κηρύττει σου
τὰ θαυμάσια· * τὸν γὰρ νέκυν θείᾳ
προσευχῇ σου πάντων * κατενώπιον ἐξήγειρας
ἐπιστομίζοντα * τοὺς ἀπλήστους ὄντως καὶ φειδωλούς,
καὶ πάλιν ὕπνῳ ὕπνωσας * μέχρι παρουσίας τῆς τοῦ θεοῦ·
καὶ ἄλγη καὶ νόσους * εἰς ἄκος σὺ μετήγαγες, σοφέ,
τὸν ὑπεράγαθον κύριον * συνεργὸν ὡς κτώμενος.

Ὅμοιον.

Θαύματα πανθαύμαστα, * πάτερ, εἰργάσω, θεόφρον·
δράκοντας γὰρ ἔκτεινας * καὶ νεκροὺς ἐξήγειρας

6 ἐξιόμενος A 9 ἐσθεῖσι A || προστάττη A



ἐκ κευθμόνων, σοφέ· * καὶ λεπροὺς καὶ λωβοὺς
σὺ ἐν τάξει θείᾳ * ἀπεκάθηρας, ἀοίδιμε·
καὶ ἔργα ἄδηλα * προὔπτον σὺ ἐποίησας, ἅγιε,
καὶ πάντες ὡς προφήτην σε * καὶ θεοῦ ᾐδοῦντο ὡς ἄνθρωπον,
καὶ νῦν παρρησίᾳ *, πανένδοξε, τῷ βήματι Χριστοῦ
ὡς παρεστὼς καθικέτευε * ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## Ο ΚΑΝΩΝ,

οὗ ἡ ἀκροστιχίς· «Τὸν θεῖον Ἀγαπητὸν ὑμνῶ προφρόνως Ἰωσήφ».

***Ἦχος πλάγιος δ'.***

Ὠδὴ α'.

«Ἁρματηλάτην Φαραὼ ἐβύθισε».

Ταῖς ἀστραπαῖς τοῦ παναγίου πνεύματος
περιχεόμενος * καὶ φωταυγὴς ὅλος
χάριτι δεικνύμενος * τὴν φωτοφόρον, ὅσιε,
καὶ ἁγίαν σου μνήμην * τοὺς ἑορτάζοντας φώτισον
λύων τῶν παθῶν ἀμαυρότητα.

Ὅλον θεῷ ἀπὸ σπαργάνων, ὅσιε,
σαυτὸν προσήγαγες, * ἀγαπητὸς κλήσει
γεγονὼς καὶ πράγματι * κυρίῳ παντοκράτορι·
οὗ τοὺς νόμους τηρήσας * θαυμάτων χάριν ἐπλούτησας
καὶ τῶν ἰαμάτων ἐνέργειαν.

Νέος Μωσῆς, Ἀγαπητέ, γενόμενος
θάλασσαν ἔτεμες * τὴν τῶν παθῶν ῥάβδῳ,
θαῦμα τῆς ἀσκήσεως, * καὶ πρὸς τὸ ὄρος ἔφθασας
τῆς καλῆς ἀπαθείας * καὶ τῷ θεῷ προσωμίλησας,
πάτερ, λογισμοῦ καθαρότητι.

Θεοτοκίον.

Θεογεννῆτορ, τὴν ψυχήν μου φώτισον,
ἣν ἀπημαύρωσεν * ὁ ζοφερὸς ὄφις

18 σαυτὸν θεῷ A.

σκοτεινοῖς παθήμασι, * καὶ μέτοχόν με ποίησον
ἀνεσπέρου ἡμέρας, * ἵνα δοξάζω γηθόμενος
σὲ τὸ τοῦ φωτὸς οἰκητήριον.

Ὠδὴ γ΄.

«Οὐρανίας ἁψῖδος *, ὀροφουργέ».

Ἐπεγνώσθης κυρίῳ * τῷ τὰ κρυπτὰ βλέποντι
καὶ ἀσκητικῷ νόμῳ, πάτερ *, ἀγωνιζόμενος
σάρκα ἐνέκρωσας * σκληραγωγίαις παντοίαις
καὶ ζωὴν ἀπήλειφας * διαιωνίζουσαν.

Ἱερεὺς δεδειγμένος * τοῦ παντουργοῦ πνεύματος
ἤγνισας λαὸν καὶ προσῆξάς * αὐτῷ σῳζόμενον·
τῆς ἀπωλείας δὲ * καταβαλὼν τὰ τεμένη
πρὸς ναὸν οὐράνιον * χαίρων ἐσκήνωσας.

Ὁ περίδοξος βίος * περιφανῆ πᾶσίν σε
τοῖς τὴν οἰκουμένην οἰκοῦσι * περιειργάσατο·
ἡ τῶν θαυμάτων δέ, * Ἀγαπητέ, θεία χάρις
φωταυγῆ ὡς ἥλιον, * μάκαρ, ὑπέδειξεν.

Θεοτοκίον.

Νοερῶς ἐμυεῖτο * προφητικὸς σύλλογος
σοῦ τὰ μεγαλεῖα, παρθένε· * ὅθεν ἐκάλει σε
ὄρος κατάσκιον * καὶ ἀδιόδευτον πύλην
καὶ γῆν ἀγεώργητον *, θεοχαρίτωτε.

Ὠδὴ δ΄.

«Σύ μου ἰσχὺς *, κύριε· σύ μου καὶ δύναμις».

Ἀγαπητὸς * κλήσει καὶ πράξει γενόμενος
τῷ κυρίῳ * βίου καθαρότητι
χάριν ἀπείληφας παρ᾽ αὐτοῦ
πάθη θεραπεύειν * καὶ φυγαδεύειν τὰ πνεύματα,
σοφέ, τῆς πονηρίας * καὶ ἰᾶσθαι τὰς νόσους
τῶν ἀνθρώπων δυνάμει τοῦ πνεύματος.

19 ἐμοιῆτο A   28 πάθει A



Γεηπονῶν * φρένας ἀνθρώπων ὡς λήια
σιτοφόρα * ταύτας ἀπετέλεσας
ὡς γεωργὸς πάντων τῶν καλῶν·
πρόρριζον δὲ πᾶσαν * τὴν ἁμαρτίαν ἐξέτεμες
καὶ ἔδειξας πολίτας * οὐρανῶν τοὺς πιστῶς σου
δεχομένους τὸν λόγον, μακάριε.

Ἄλλος ἡμῖν * Πέτρος ἐδείχθης τοῖς ὕδασιν
ἐπιβαίνων * καὶ μὴ βυθιζόμενος,
τὴν δὲ κακίαν τοῦ δυσμενοῦς
ἅπασαν βυθίζων * καὶ συμπαθείᾳ σου, ὅσιε,
θηρίων ἐναλίων * τοὺς ἀνθρώπους ἐξαίρων
ἀπολέσθαι ἀθλίως ἐλπίζοντας.

Πόδες οἱ σοὶ * τρίβους ὀρθὰς βηματίζοντες
ἐκτυπώσει * μόνῃ καθαρτήριον,
Ἀγαπητέ, γίνονται λεπρῶν
τοῦ δι᾽ εὐσπλαγχνίαν * ἐπὶ τῆς γῆς βηματίσαντος,
δοξάζοντές σε, πάτερ, * ὡς θεράποντα θεῖον
καὶ θαυμάτων τὴν χάριν πλουτήσαντα.

Θεοτοκίον.

Ἡ ἀπὸ γῆς * πρὸς οὐρανὸν τὸ ἀνθρώπινον
τοκετῷ σου * ξένῳ ἀνυψώσασα
ἀπὸ κοπρίας σαρκὸς παθῶν
ὕψωσον τὸν νοῦν μου * τῇ ἁμαρτίᾳ πτωχεύσαντα,
ἁγία Θεοτόκε, * ἡ πτωχεύσαντα κόσμον
ἀγαθῶν ἐπιδόσει πλουτίσασα.

Ὠδὴ ε΄.

«Ἵνα τί με ἀπώσω * ἀπὸ τοῦ προσώπου».

Τῶν δρακόντων τὰς κάρας * ἔθλασας καὶ τέλεον
τούτους ἀπώλεσας, * καταισχύνας, πάτερ,
βασιλέα παράνομα πράττοντα,

15 γίνωνται A   25 πλουτήσαντα A   29 ἀπόλεσας A

Δανιὴλ ὡς πάλαι * ὁ θαυμαστὸς ἐν τοῖς προφήταις,
ἱεράρχα θεόφρον πανόλβιε.

Ὅπλον θεῖον γνωρίζων * τὸν ἀκαταμάχητον
σταυρὸν ἐχάραξας * ἐν ἀέρι, μάκαρ,
καὶ δεινοὺς περιέργους προσέταξας
κρεμαμένους μένειν,* ἀορασίᾳ τεταμένους
εἰς πολλῶν καθορώντων κατάπληξιν.

Νέος ὥσπερ Ἠλίας * χήρας αἰτησάσης
τὸν παῖδ' ἀνέστησας * τεθνηκότα, πάτερ,
καὶ προσέταξας τούτῳ στηρίζεσθαι
ὥσπερ ῥίζα κλάδῳ· * ὅθεν ἀνύμνει σου τὸ θαῦμα
τὸν τῶν ὅλων πατέρα δοξάζουσα.

Θεοτοκίον.

Ὑπερύμνητον λόγον * τέτοκας, πανύμνητε,
σάρκα γενόμενον· * ἀλλὰ δέομαί σου,
ἀνυμνοῦντα τὴν σὴν ἀγαθότητα
καινοποίησόν μου * τὸν λογισμὸν σεσαθρωμένον
καὶ καλῶν ἐνεργείαις ἐκλάμπρυνον.

Ὠδὴ ς΄.

«Ἱλάσθητί μοι, σωτήρ· * πολλαὶ γάρ».

Μωσῆς διχῇ διελὼν
τὴν θάλασσαν λαὸν ἔσωσεν·
αὐτὸς δὲ θαυματουργῶν
ποτάμια ῥεύματα,
θεοφόρε, ἔστησας
καὶ πιστοῖς εὐθεῖαν
ἡτοιμάσω τὴν διάβασιν.

4 ἀέρει A  9 παῖδα A  11 ἀνύμνη A



Νόμους τοὺς θείους τηρῶν
εὐχῇ σου ὄρη μετέστησας,
πληρῶν τὸ ὑπὸ Χριστοῦ
ῥηθέν, ἱερώτατε·
ἀσπίδος δὲ δήγματα
ἱερῶς ἐκσπάσας
τὸν δηχθέντα ἀνεζώωσας.

Ὡς ὄρθρος, ὡς φωταυγὴς
ἀνέτειλας ὥσπερ ἥλιος
φωταγωγῶν τὰς ἡμῶν
καρδίας ἑκάστοτε
σημείοις καὶ τέρασιν
ἐπιτελουμένοις
ἐν τῇ θήκῃ τῶν λειψάνων σου.

Θεοτοκίον.

Πρὸς σέ μου τὸν λογισμὸν
καὶ τῆς καρδίας τὰ ὄμματα
ἐνατενίζω ἀεὶ
κινδύνοις κυκλούμενος·
παναγία δέσποινα,
ἐξελοῦ με πάσης περιστάσεως.

Ὠδὴ ζ΄.

«Θεοῦ συγκατάβασιν».

Ῥημάτων σου δύναμις * καὶ τῶν θαυμάτων
θεία ἐπίδειξις * ἐφειλκύσατο, πάτερ,
Ἑλλήνων πλήθη * πρὸς τὴν ἐπίγνωσιν
τῆς εὐσεβείας, * βοῶντας καὶ λέγοντας·
"Εὐλογητὸς ὁ θεὸς * ὁ τῶν πατέρων ⟨ἡμῶν⟩".

Οἱ δαίμονες φρίττοντες * τὸ πρόσταγμά σου,
πάτερ, ἐξήρχοντο * καὶ παρέσει τελείᾳ

7 δαχθέντα A  25 ἐφελκύσατο A

οἱ κρατηθέντες * ἐπερωννύοντο
καὶ βηματίζειν * ὀρθῶς ἐνισχύοντο
ὁμολογοῦντες θεόν, * Ἀγαπητέ, διὰ σοῦ.

Φρονήματι μέτριος * καὶ πρᾶος, πάτερ,
καὶ ἀνεξίκακος * καὶ ἁπλούστατος ὤφθης,
ἀγάπης θείας * φέρων γνωρίσματα
τῶν ὁμοφύλων, * θεόφρον, τὴν πρόνοιαν
καὶ ὀρφανῶν καὶ χηρῶν * τὴν ἐπιμέλειαν ⟨σοῦ⟩.

Θεοτοκίον.

Ῥομφαίᾳ πληγέντα με * τῆς ἁμαρτίας,
κόρη, θεράπευσον, * ἡ τοὺς κατερραγμένους
τῷ τοκετῷ σου * ἐπανορθώσασα,
θεογεννῆτορ *, καὶ σῶσόν με ψάλλοντα
"Εὐλογητὸς ὁ θεὸς * ὁ τῶν ⟨πατέρων ἡμῶν⟩".

Ὠδὴ η'.

«Ἑπταπλασίως κάμινον».

Οἷα προφήτης ἔνθεος * προορᾷς τὰ ἐσόμενα
καὶ εἰς φανερὸν τὰ * κεκρυμμένα, ὅσιε,
ἐξάγεις ἐν πνεύματι, * τὴν ψυχικὴν κατάστασιν
βλέπων τῶν ἀνθρώπων * καθαρᾷ διανοίᾳ
καὶ μέλπων τῷ δεσπότῃ· * "Ἱερεῖς, εὐλογεῖτε".

Νενοσηκόσιν ἴασιν * χορηγῶν θείᾳ χάριτι
ἤνοιξες, παμμάκαρ, * ἐσβεσμένα ὄμματα·
ἀκρίδος ἐντεύξει σου * ἐπιδρομὴν ἀπέστρεψας·
λυμὴν ποταμίων * ἀνεχαίτισας ῥείθρων,
κραυγάζων, ἱεράρχα, * "Ἱερεῖς, ⟨εὐλογεῖτε⟩".

Ὡς ἱεράρχης ἔνθεος * καὶ τοῦ πνεύματος, ἔνδοξε,
οἶκος χρηματίσας * ἐδομήσω μάρτυσιν

19 ψυχηκὴν A 21 τὸν δεσπότην A 25 λοίμην A



ναὸν ἱερώτατον *, τῷ Βικτορίνῳ τῷ θαυμαστῷ
καὶ Ἱεροθέῳ * καὶ Ἀγρίππᾳ καὶ Δούλῳ·
μεθ' ὧν τὴν ἄνω πόλιν * μελῳδῶν ἐκληρώσω·
"Λαός, πρὸς αὐτὸν εἰς τ⟨οὺς αἰῶνας⟩.

Θεοτοκίον.

Σέ, παναγία δέσποινα, * τῆς ζωῆς μου προβάλλομαι
φύλακα καὶ ῥύστιν * καὶ προστάτην ἄμαχον·
γενοῦ μοι βοήθεια * τῶν ἀναγκῶν καὶ θλίψεων,
ἀπολυτρουμένη * τὸν ἀχρεῖόν σου δοῦλον,
τὸν πόθῳ μελῳδοῦντα· * "Ἱερεῖς, εὐλογεῖτε·
λαός, πρὸς αὐτὸν εἰς τοὺς αἰῶνας".

Ὠδὴ θ'.

«Ἐξέστη ἐπὶ τούτῳ * ὁ οὐρανός».

Ἰάσεις ἀναβλύζεις * παντοδαπὰς
εἰς τιμὴν τοῦ σωτῆρος καὶ αἴνεσιν,
Ἀγαπητέ, * πάτερ ἱεράρχα θαυματουργέ,
καὶ ἀπελαύνεις δαίμονας
ταῖς ἐπιστασίαις ταῖς φοβεραῖς
καὶ πᾶσιν αἰτουμένοις * τὰ πρόσφορα παρέχεις
ἐν συμπαθείᾳ ἐπικλώμενος.

Ὡράθης τὰ μεγάλα * θαυματουργῶν·
τῇ γὰρ ζώνῃ τοῦ θείου σου σώματος
κίων βαρὺς * ἕλκεται, μακάριε, ἀβαρῶς·
ἀκρίδος λύμη παύεται,
πάρεσις διώκεται ἀσθενῶν
εὐχῇ σου, θεοφόρε, * νεκροὶ δὲ ἀνιστῶνται
καὶ οἱ λεπροὶ ἀποκαθαίρονται.

Συμπάθειαν, ἀγάπην * εἰλικρινῆ,
ὑπερβάλλουσαν, πάτερ, πραότητα,
πίστιν ὀρθήν *, ταπεινοφροσύνην ἀληθινὴν

9 ἀχρῖον A 15 ἔναισιν A 24 λοίμη A 30 ὀρθεῖν A

ἐπὶ τῆς γῆς κτησάμενος
γέγονας κυρίου ἀρχιερεύς,
ποιμάνας τούτου, μάκαρ*, τὸ ποίμνιον ὁσίως,
Ἀγαπητὲ σεβασμιώτατε.

Ἡ μνήμη σου ἐπέστη* ἁγιασμὸν
ἐπιπέμπουσα πᾶσι σωτήριον
τοῖς εὐσεβῶς* ταύτην ἐκτελοῦσιν, Ἀγαπητέ,
καὶ τοὺς πολλούς ἀγῶνάς σου
ἀνυμνολογοῦσιν εἰλικρινῶς·
ἐν ᾗ σε δυσωποῦμεν*, ὡς ἔχων παρρησίαν,
ὑπὲρ ἡμῶν κυρίῳ πρέσβευε.

Θεοτοκίον.

Φορέσας ἐκ γαστρός σου * τὸ καθ' ἡμᾶς
ὁ σωτήριος λόγος προέρχεται
φύσει διπλοῦς * φέρων ἐνεργείας δύο, ἁγνή,
οἷα θεὸς καὶ ἄνθρωπος·
τοῦτον νῦν ἱκέτευε ἐκτενῶς
φωτίσαι τὰς καρδίας* τῶν πίστει σε καὶ πόθῳ
μακαριζόντων, θεονύμφευτε.

---

# VII.

# ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΑΚΡΟΠΟΛΙΤΟΥ

## ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΘΑΝΑΣΙΟΝ ΤΟΝ ΑΤΡΑΜΥΤΤΙΟΥ

1. Συχνοὶ μὲν καὶ ἄλλοι τὴν κατὰ θεὸν πολιτείαν εἵλοντο καὶ πάνυ πλεῖστοι τὸν κρείττω καὶ ὑψηλότερον βίον ἠσπάσαντο καὶ (ἵν' οὕτω φαίην) νόες αὐτόχρημα μετὰ τῆς σαρκὸς περιεπόλευσαν ἐν τῇ γῇ, ἐξότε δὴ τὸ θεῖον διατετράνωται κήρυγμα καὶ θεὸς ὑπὲρ ἀνθρώπων γεγονὼς ἄνθρωπος καὶ κατήγγελται καὶ πεπίστευται, ἐν δὲ τοῖς μάλιστα τούτων καὶ ὁ πολὺς τὴν ἀρετὴν Ἀθανάσιος· ἐκ πρώτης γὰρ καὶ αὐτὸς ἡλικίας τὴν θειοτέραν βιοτὴν τῆς ἐνηδόνου καὶ ἐμπαθοῦς προὔκρινε καὶ τὰ καθ' ἡμᾶς ὕλῃ περιφρονήσας ψυχῇ τὰ ὑπὲρ ἡμῶν ἐπεπόθησεν. ὃς Δέρκον μὲν ἔσχε πατρίδα, πόλιν ἀρχαίαν, πόλιν περιφανῆ· τῶν κατὰ Θρᾴκην αὕτη, Θρᾴκην τὴν μετ' Αἴγυπτον εὔγεων καὶ μετ' ἐκείνην εὐθὺς ταττομένην καὶ τὰ πρωτεῖα καθ' ἁπασῶν εἰς εὐφορίας λόγον μετ' αὐτῆς φέρουσαν· παρήσω γὰρ ὡς ἐν εὐκράτῳ μὲν αὕτη καὶ φλογμοῦ βίαν ἐκφεύγουσα καὶ ἡδύτερον τῷ πεπονηκότι ἐνορᾶν ἁδρυνομένῳ παρεχομένη τῷ στάχυι, ἐντεῦθεν δὴ κἀκείνης αὐτῆς καθυπερτεροῦσα οὐχὶ μικρῷ τινι. ὅπῃ γὰρ ἐκείνη τῆς τοῦ παντός ἐστι

Cod. S. Sepulcri 40, f. 82a—88a. Ἱεροσολυμ. βιβλιοθήκη, t. I, p. 122.

θέσεως καὶ ὅπως ἔχουσα πνίγους τε καὶ αὐχμοῦ, καὶ οἱ μὴ ἰδόντες πρὸς τῶν ἰδόντων μανθάνουσιν.

2. Ἀλλ' ἔφυ μὲν ἐκεῖθεν ὁ μέγας οὗτος καὶ θεῖος ὡς ἀληθῶς ἄνθρωπος· οὐκ ἔφθη δέ πως ἡλικίας ἁψάμενος καὶ πατρίδα ἑαυτοῦ πρὸς ἀλήθειαν κάλλιστά τε καὶ ὡς ἐχρῆν ἐπεγνώκει τὴν ἄνω Ἱερουσαλήμ, τὴν τῶν πρωτοτόκων μητρόπολιν, τῶν φθασάντων δηλαδὴ τῇ κατὰ θεὸν ἀναγεννήσει τοὺς διὰ ῥαθυμίαν ἀπολειφθέντας καὶ τῇ ἀνακαινώσει καλῶς ἀναμορφωθέντων τοῦ πνεύματος, ἣν ἡμερινὴν πλάσιν καὶ καθαρὰν ὁ καθ' ἡμᾶς λόγος οἶδε καλεῖν. τρέφεται δὲ καὶ πρὸς τῶν γεγεννηκότων μάλα καλῶς, ἀγαθῶν καὶ αὐτῶν πεφηνότων καὶ παντοίοις εἴδεσι κεκοσμημένων τῆς ἀρετῆς· μετὰ γὰρ τοὺς γραμματιστὰς εὐθὺς παιδευταῖς ἀξίοις ἐκδίδοται καὶ τὰ λογικὰ ἐκδιδάσκεται, βίβλοις τε θείαις ἐγγυμνασθεὶς πρὸς ἀρετὴν ποδηγεῖται καὶ κατευθύνεται.

3. Ἔνθεν τοι καὶ εἰς ἄνδρας ἐλθών, βίου ἐγκριθεὶς καθαρότητι πρὸς ἱερωσύνην καθέλκεται. ἀλλὰ παρευθὺς ἄλλος τις ὡσπερεὶ καὶ οὗτος Μωσῆς καὶ τῶν ἀπορρήτων ἐκείνων ἀξιωθεὶς ὑλικὸν μὲν ἅπαν καὶ γήινον περιφρονεῖ τε καὶ ἀποστρέφεται, ὅλος δὲ τῆς ἐφέσεως τῶν μελλόντων γίνεται· διὸ καὶ τῆς θείας αἴγλης πληροῦται καὶ χάριτος, τάχα πως καὶ αὐτῷ ἐν ἀπορρήτῳ κεχρηματικότος θεοῦ καὶ ὑπεραρθέντι τὴν γνώμην μόνου μόνῳ ὡμιληκότος καὶ τὰ ὀπίσθια συγκεχωρηκότος ἰδεῖν· ἅτινα δὴ καὶ ὑποληπτέον, τὰ ὀπίσθια τοῦ θεοῦ, λόγους ἴσως οἰκονομίας τῆς καθ' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν, τῆς ἐπ' ἐσχάτων τοῦ αἰῶνος δῆτα τούτου τελεσθείσης αὐτῷ, ἣ καὶ διαβιβάζειν ἔχει καλῶς πρὸς τὰ πρόσθεν καὶ πρὸ αἰώνων μυστήρια.

4. Πλὴν ἀλλὰ θύτης τῶν θείων ταχθεὶς καὶ μυσταγωγὸς πάσης, ὡς ἔφην, ἀρετῆς κρειττόνως ἀντέσχετο· καὶ τῷ βαθμῷ τοὺς ἄλλους ὑπερβὰς ἐκ τῆς τάξεως τῇ τῶν ἀρετῶν ἀναβάσει καὶ ἑαυτὸν πρὸς τοῖς ἄλλοις οὐ μετρίως ὑπερβαλεῖν ἔσπευσεν. ἣν δὲ σύντροφον ἐσχήκει ἐξ ἁπασῶν καὶ ᾗ συντέθραπτο καὶ συνηύξητο καὶ διαπαντὸς σύνοικον αὐχεῖν ἠρετίσατο, τὴν ἐλεημοσύνην φημί, ἣ καὶ τοὺς ἁμαρτίαις συντραφέντας, φαίην δ' ἂν καὶ συζήσαντας, ἐξ

6 ἄνω Ἱερουσαλήμ] cf. Gal. IV, 26   22 τὰ ὀπ. συγκ. ἰδεῖν] cf. Exod. XXXIII, 23.



ᾅδου πυλῶν, ὡς ἐκ τῶν ἱστορουμένων ἔγνωμεν, ῥύεται, ταύτης ἐπὶ μᾶλλον ἀντεποιήσατο. τὰς μὲν γὰρ ἄλλας τῶν ἀρετῶν καλῶς τε καὶ ὡς δεῖν ἐξεπλήρου, κάλλιστα δὲ ταύτην καὶ μεγαλοπρεπέστατα· οὐδὲ γάρ τις ἐνῆν τῶν προσόντων ὅλως φειδώ, οὐ μικρολογία πρὸς τὸ διδόναι, οὐ γογγυσμὸς ἐπὶ τῷ προΐεσθαι, καὶ ταῦτά γε πλεῖστα καὶ πρὸς πλείστους προϊεμένῳ. προχειρότατα δὲ ἐχορήγει, ζητῶν αὐτὸς ᾧ παράσχοι, ἢ πρὸς ἑτέρου ἐπὶ τῷ δοῦναι ζητούμενος, καὶ φθάνων τῷ διδόναι προθύμως τὸ παρὰ τῶν ἐν ἀνάγκαις αἰτεῖσθαι· καὶ τό γε θαυμασιώτερον, πρὸ τῶν δυσωπητικῶν ῥημάτων, ἃ τοῖς ἀπορουμένοις παρακλητικά πως πρὸς ἔλεον εἴωθεν ἐφευρίσκεσθαι, εὐχαριστηρίους λαμβάνων φωνὰς καὶ λόγους πρὸς θεὸν ἱκετηρίους ὑπὲρ ὧν, αὐτοῦ παρέχοντος ἀφειδῶς, ἐκεῖνοι αὐτάρκως ἐλάμβανον. οὕτω θερμῶς τῆς ἐλεημοσύνης ἀντιπεποίητο καὶ οὕτω προὔργου τὰ κατὰ ταύτην ἐτίθετο.

5. Πλὴν ἀλλ' εἶχε μὲν ταύτην διὰ σπουδῆς, προσῆν δὲ αὐτῷ καὶ τὸ τοῦ ἤθους ἐπιεικές τε καὶ μέτριον ὡς γνώρισμά τι καὶ ἰδιαίτατον· ἄπλαστος γὰρ καὶ οὗτος κατὰ Ἰακὼβ ὢν ἀπεριέργως προσωμίλει τοῖς ἐντυγχάνουσι, καὶ μόνα δὴ τὰ πρὸς ὠφέλειαν ψυχῆς ἰδίᾳ τε ἑκάστῳ καὶ κοινῇ πᾶσιν ὑπετίθετο καὶ ὡς ἐνῆν τους προσιόντας κατήρτιζε καὶ πρὸς τὸ κρεῖττον καὶ θειότερον μετερρύθμιζεν. ἕκαστος οὖν ὅσα γε καὶ πατρὶ προσανεῖχον καὶ τούτου κατάκρας ἐξείχοντο.

6. Ἀλλ' οὐκ ἐπὶ πολὺ τὸν λύχνον ἐχρῆν τῷ τῆς εὐποιίας λαμπρῶς ἀνημμένον ἐλαίῳ ὑπὸ τὸν μέδιμνον, τὴν καθ' ἑαυτόν φημι ἡσυχίαν, καὶ τὸ ἰδιάζον τοῦ τρόπου κρύπτεσθαι· οὐδὲ πόλιν διαπαντὸς λανθάνειν ἦν δυνατὸν ἐπ' ὄρους κειμένην, τοῦ ὕψους δῆτα τῶν ἀρετῶν. τῷ τοι καὶ ὁρᾶται περιφανῶς οὐχ ὅτι γε τοῖς πλησίον, ἀλλὰ καὶ τοῖς πόρρω που καὶ μακράν· ὅσον γὰρ Ὑποπλάκιοι Θῆβαι, ἣ πάλαι μὲν Ἠετίωνος πόλις ὠνόμαστο, Ἀτραμύττου δὲ μετὰ τὸν ἐκ Μακεδονίας Ἀλέξανδρον· ὅσον αὕτη τῆς Δέρκου διέχει καὶ ὁπόσον τὸ μεταξὺ τούτων διάστημα, ὀλίγοι ἂν ὑμῶν ἀγνοεῖεν). ταύτην τοίνυν λαχὼν καὶ τὸν ἐν αὐτῇ ποιμαί-

17 ἄπλαστος-κατὰ Ἰακὼβ] cf. Gen. XXV, 27   23/25 λύχνον-κρύπτεσθαι] cf. Matth. V, 15. Luc. XI, 33   25/26 πόλιν-κειμένην] cf. Matth. V, 14.

νειν λαὸν πιστευθεὶς κάλλιστά τε καὶ ὡς ἔδει διίθυνε ταῖς διηνεκέσι παραινέσεσι, ταῖς ἐπιμόνοις ἰκετηρίαις. ἔστι γὰρ ὅτε καὶ ἰκεσίαις ἐκέχρητο πρὸς ἀρετὴν καθελκούσαις καὶ πολιτείαν ὑψηλοτέραν καὶ κρείττονα, οὐχ ἧττον δὲ καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι, πάντας σωφρονίζων, πάντας μεταποιῶν καὶ καθάπαξ πρὸς τὸν θειότερον βίον μεταβάλλων καὶ πρὸς τὴν κρείττω μετασκευάζων ζωήν. οὐ μὴν ἀλλὰ καὶ τῆς ἐλεημοσύνης ἐπὶ πᾶσι καὶ πρὸ πάντων ὁλοσχερῶς εἴχετο καὶ πρός γε δὴ τῆς συνήθους ἐπιεικείας καὶ μετριότητος. πάσης τε ἄλλης ἀρετῆς διαπύρως ἐξείχετο καὶ ἁπλῶς ἐξίσης ἑαυτοῦ τε καὶ τῶν ὑπ' αὐτῷ ἐπεμέλετο, ἑαυτῷ μὲν ὡς εἰς θεὸν ἀνατείνεσθαι καὶ τῷ ἐκεῖθεν φωτὶ καταλάμπεσθαι, τῇ θείᾳ δηλονότι τοῦ πνεύματος χάριτι, τούτων δ' ὡς ἑαυτῷ τε ὑπείκειν ὑποτιθεμένῳ τὰ λῷονα κἀντεῦθεν πρὸς θεὸν καὶ τὰ θεῖα ἀνάγεσθαί τε καὶ ἐπανάγεσθαι. οὕτω καλῶς, οὕτω θεαρέστως τὸν τοῦ Εὐαγγελίου δρόμον διήνυεν 'Αθανάσιος.

7. 'Αλλ' ἔδει λοιπὸν καὶ τῇ φύσει τὸ οἰκεῖον ἀποτῖσαι τοῦτον ὀφείλημα καὶ κατὰ τοὺς προπάτορας δοῦναι καὶ αὐτὸν τὸν χοῦν τῷ χοΐ· εἰ γὰρ καὶ τὴν ἐντολὴν οὐ παρέβη (καὶ πῶς γάρ, ὃς τὰς τοῦ θεοῦ ἐντολὰς εἶχεν ἐν ἑαυτῷ καὶ κατάκρας αὐτῶν εἴχετο;), ἀλλὰ διὰ τὴν τῶν προπατόρων παράβασιν καὶ τὴν ἐκ τῆς παραβάσεως καταδίκην τῷ θανάτῳ καὶ οὗτος ὑπόχρεως ἦν (ᾧ δῆτα τρόπῳ καὶ οἱ κατ' αὐτὸν ἅπαντες ὥσπερ τινὲς ὑπόδικοι, οἱ τό γε ἧκον εἰς αὐτοὺς ἀνεύθυνοι καὶ καταδίκης πάσης ὑπέρτεροι, τὴν φθορὰν κατεδικάσθησαν καὶ τὸν θάνατον· ἐκείνους λέγω τοὺς πρὸ αὐτοῦ τε καὶ μετ' αὐτὸν ταῖς θείαις ἐντολαῖς ὑποκύψαντας καὶ καλῶς ταύταις συζήσαντας), ἢ μᾶλλον ἐχρῆν ἀναλῦσαι καὶ τοῦτον κατὰ τὸν θεσπέσιον Παῦλον καὶ σὺν Χριστῷ γενέσθαι, ἵνα γε καὶ ἐπόθει φθάσαι παραπλησίως ἐκείνῳ τῷ θεοκλήτῳ, τῷ θεοπνεύστῳ, τῷ θεοκήρυκι. τοίνυν καὶ πλήρης ἡμερῶν, καὶ ἡμερῶν ὡς ἀληθῶς τῶν τοῦ πνεύματος, μεταλλάττει τὸν βίον, ἢ μᾶλλον τὸ πνεῦμα τῷ θεῷ παρατίθεται καὶ πρὸς ζωὴν ἑτέραν μετακαλεῖται, πρὸς ἣν ἐκ πλείονος ἔβλεπε.

8. Τί δὲ ὁ τὸ καθαρὸν αὐτοῦ τῆς ζωῆς ἐξ αὐτῆς γενέσεως

17 δοῦναι-τῷ χοΐ] cf. Eccl. XII, 7 26/26 ἀναλῦσαι-γενέσθαι] cf. Phil. I, 23.



ἐποπτεύων θεὸς καὶ τὰ εἰκότα ἀποδεχόμενος, ὁ μεταστήσας ἐν εἰρήνῃ καὶ τοῖς ἀφάτοις ἀγαθοῖς φιλοφρονησάμενος, τί καὶ ἐνθάδε καὶ ἐν τοῖς καθ' ἡμᾶς ὑπὲρ τοῦδε ποιεῖ καὶ πῶς ἀναδεικνύει καὶ τοῖς ἐν γῇ ὃν ἐδόξασεν ἐν τοῖς οὐρανοῖς καὶ ταῖς θείαις συγχορεύειν δυνάμεσι κατηξίωσε; μύρον τῆς τοῦ σώματος θήκης, ὡς ἐξ ἀκροτόμου πάλαι πέτρας ὕδωρ, δαψιλῶς ἀναδίδωσι καὶ τὴν παρ' αὐτῷ τιμὴν τοῦ μάκαρος φανερὰν δι' αὐτοῦ τίθησιν. ὃν γὰρ τρόπον δι' ἐκείνου τωτότε τὴν παρὰ τῷ 'Ισραὴλ ἀποδημίαν ἐδήλωσε καὶ τὴν ἐξ ἐθνῶν ἐκλογὴν αὐτοῦ διεσήμηνε, τὸν αὐτὸν δὴ αὖθις καὶ διὰ τοῦ μύρου τοῦδε, ὃ τοῦ ἐναπολειφθέντος τῇδε σκήνους ἀνέδωκε, τὴν παρ' ἑαυτῷ τοῦ 'Αθανασίου θαυμασίαν ἀνάπαυσιν ὑπενέφηνε. τί καὶ γὰρ μεῖζον; εἰπέ, τὸ ἐκ πέτρας ὕδωρ πηγάσαι, ἢ μύρον ἐκ νεκροῦ τοῦ σώματος ἀναβλύσαι; ὁπότερον γάρ, ἔμοι γε ἄδηλον· ὅτι καὶ ἐπίσης τὸ ἐξ ἑκατέρου τούτων προελθὸν κατὰ φύσιν ἀδύνατον καὶ τῶν ὑπὲρ φύσιν, πᾶς τις ὁμολογήσειεν, ἐπειδὴ καὶ αἰσθήσεως ἄμφω ἀμέτοχα καὶ ψυχῆς παντοίας ἐστερημένα καὶ τοῦ γονίμου παντελῶς ἄμοιρα, τό τε ἀκίνητον ἐπίσης ἢ μᾶλλον εἰπεῖν ἀμετάβατον ἰδιούμενα.

9. Μύρον οὖν ἀναβλύσαι θεὸς εὐδοκεῖ τῆς θείας 'Αθανασίου σοροῦ καὶ διὰ τοῦ μύρου γνωρίζει τοῖς ἐπὶ γῆς τὴν καλὴν ἀθανασίαν, ἧς τετύχηκε μεταστάς, ὅπως τε ἱλαρῶς ταῖς θείαις προσεδέχθη χορείαις παρὰ ταῖς ἄνω σκηναῖς· οὐχ ἧττον δὲ καὶ τῆς τούτου χρίσεως, ᾗ συχνὰ τῶν κατὰ τέχνην ἀνθρωπίνην καὶ δύναμιν ἀνιάτων νοσημάτων ἐθεραπεύθησαν, διάδηλα τὰ κατ' αὐτὸν τίθησι· πολλοὶ γὰρ τῶν δεινῶν καὶ ἀνηκέστων νόσων ἀνέσφηλαν ἐκ τῆς χρίσεως καὶ πλεῖστοι πάνυ τῶν ἀσθενειῶν ἀνερρώσθησαν. τοῦτο γὰρ μόνον ἡ ἱστορία παρέδωκεν ἐν βραχεῖ, ὡς ἡ θήκη τοῦ λειψάνου τοῦ τρισμάκαρος 'Αθανασίου, ἢ (ἵν' οὕτως εἴποιμι) ἡ σορὸς τοῦ ἀθανάτου καὶ μετὰ θάνατον ἐκείνου νεκροῦ, ἠξίωται καὶ θαυμάτων, καὶ θαυμάτων ὅτι μεγίστων· οὐδὲν δὲ αὐτῶν διεξῆλθεν ἐπὶ μέρους, ὥσπερ δὴ καὶ περὶ τῶν πρὸ τῆς ἐντεῦθεν ἐκδημίας καὶ μεταστάσεως. παρέδωκε γὰρ καὶ τοῦτο, ὡς καὶ περιὼν ἔτι θαυμα-

6 ἐξ ἀκροτ. π. πέτρας] cf. Deut. VIII, 15. Psalm. CXIII, 8. Sap. XI, 4 22 ἄνω σκηναῖς] cf. Luc. XVI, 9.

σίων τελεστὴς ἔργων ὁ ἀρχιθύτης ἐχρημάτισεν οὑτοσί· τίνα δὲ ἄρα καὶ ἐπὶ τίσι τετέλεσταί οἱ, οὐδὲν οὐδαμῇ παρεδήλωσεν, ἢ πάντως ἀνδρὸς πρὸς συγγραφὴν ἀξίου μὴ εὐτυχήσασα, ἢ καὶ ἄλλως λαθεῖν τὰ κατ' αὐτὸν τοῦ θαυμασίου τοῦδε ἀνδρὸς ἐθελήσαντος καὶ παροραθῆναι ἀμωσγέπως οἰκονομήσαντος, καθὰ δὴ καὶ περιὼν τὰς πλείους τῶν ἀρετῶν ἐν κρυπτῷ ἦν ἐργαζόμενος καὶ τρόπον πάντα λανθάνειν τοὺς πολλοὺς ἐπειγόμενος.

10. Οὔκουν, οὐ μεμπτέοι τοίνυν ἡμεῖς, εἰ συνεπτυγμένως τὰ κατὰ τὸν μέγαν τοῦτον μαθόντες τοῦ θεοῦ ἄνθρωπον συντετμημένως καὶ διεξήλθομεν· οὐδὲ γὰρ οἶμαι πρὸς ἀνδρὸς ἀγαθοῦ μὴ ὅτι τοῖς περὶ τῶν πάλαι καὶ θείων ἀνδρῶν λόγοις ὅλως τι παρὰ τὰ ἐγνωσμένα συγγράψασθαι καὶ ἐν δευτέρῳ λόγῳ τὰ τῆς ἀληθείας θέμενον προσθεῖναί τε τούτοις καὶ ἀφελεῖν αὐτῶν ἀδεῶς, ἀλλ' οὐδ' ἐν ταῖς περὶ τῶν καθ' ἡμᾶς τε καὶ ἐφ' ἡμῶν ἱστορίαις παραποιῆσαί τι τῶν γεγονότων, ὡς τὸ συμβὰν παρελθεῖν καὶ τὸ μὴ γεγονὸς διηγήσασθαι· τῷ γὰρ ὄντως ἀνθρώπῳ καὶ τὴν κλῆσιν ἐπαληθίζοντι οὐδὲν ἄν ποτε τῶν ἁπάντων τῆς ἀληθείας προτιμηθείη. τῷ τοι καὶ αὐτὸς ἔγωγε διὰ βίου τηρῆσαι τοῦτο θελήσας, τὸ φιλαλήθης τοῖς ἐπ' ἐμοῦ τε καὶ μετ' ἐμὲ εἶναί τε καὶ νομίζεσθαι, ἐνθαδὶ τοῦ λόγου πεπαύσομαι καὶ δὴ ὡς εἰκὸς εἰς εὐχὴν καταλύσω.

11. Εἴης, μάκαρ (πρὸς σὲ γὰρ ἐνθένδε τὸν λόγον τρέψαι χρεών), εἴης ἐντυγχάνων θεῷ ὑπὲρ τοῦ κοινοῦ τῆς Ἐκκλησίας πληρώματος. εἴης ὑπὲρ τοῦ θείου λάχους ἐκδυσωπῶν· θεῖον γὰρ ὄντως λάχος, θεία κληρονομία, κἂν προσκόπτῃ, κἂν ὀλισθαίνῃ, κἂν παροργίζῃ τὸν πλάστην τοῖς συχνοῖς πλημμελήμασιν, ἐπεί τοί γε θεῷ μόνῳ λατρεύειν οἶδεν ἀληθινῷ, μονάδα σέβειν ἀσύγχυτον καὶ τριάδα προσκυνεῖν ἀδιαίρετον. εἴης ἱλεούμενος τὸν δεσπότην ἐφ' οἷς καθ' ἑαυτὸν ἕκαστος καὶ συνάμα πάντες τῷ πλάστῃ προσκρούομεν, τὸν δημιουργὸν παροργίζομεν. εἴης ὑπὲρ τῶν εὐσεβῶς ἡμῶν βασιλευόντων δεόμενος, ὡς ἂν παρὰ τῆς παναλκοῦς δεξιᾶς τὸ κράτος τούτοις συνέχοιτο καὶ πανταχόθεν ἐκτεινόμενον αὔξοιτο, ὡς καὶ τοὺς ἀρχαίους ὅρους ὑπερβῆναι τὰ τῆς ἀρχῆς καὶ τὴν παλαιὰν τὰ καθ' ἡμᾶς εὐδαιμονίαν ὑπερβαλεῖν· κἀμοῦ δὴ καὶ τῶν ἐμῶν, εἵνεκα τοῦ κατὰ τὸ ἐγχωροῦν τὰ σὰ προθυμηθέντος



συγγράψασθαι, τὸν θεὸν λιπαρῶς καθικέτευε καὶ ἵλεών μοι παρ' ἅπαντα τὸν βίον τίθει καὶ μετὰ τὴν ἐντεῦθεν ἀνάλυσιν καὶ τὴν ἐκ τοῦ βίου τοῦδε μετάστασιν εὐμενῆ ταῖς συχναῖς ἱκετηρίαις ἀπέργασαι, ὡς τῆς οὐρανίου καταξιωθείην μακαριότητος χάριτι καὶ φιλανθρωπίᾳ αὐτοῦ τε τοῦ καθ' ἡμᾶς ὑπὲρ ἡμῶν γεγονότος ἐνυποστάτου λόγου θεοῦ καὶ τοῦ ἀνάρχου πατρὸς καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ πνεύματος· ᾧ πρέπει πᾶσα δόξα τε καὶ μεγαλοπρέπεια νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

# VIII.

# ΘΑΥΜΑ

## ΤΗΣ ΠΑΝΥΠΕΡΑΓΝΟΥ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ

ΕΚΤΕΘΕΝ ΩΣ ΕΝ ΣΥΝΟΨΕΙ.

1. Ἐπὶ τῆς βασιλείας τοῦ θειοτάτου καὶ μακαριωτάτου βασιλέως κῦρι Μανουὴλ τοῦ Παλαιολόγου καὶ ἐρασμιωτάτου υἱοῦ αὐτοῦ Ἰωάννου, τὰ σκῆπτρα τῆς βασιλείας ἰθύνοντος, ἐγένετό τις ἀνὴρ ἐκ τῆς πόλεως Γάνου πάνυ εὐσεβὴς καὶ φιλόχριστος καὶ φοβούμενος τὸν θεὸν καὶ τὰς ἐντολὰς αὐτοῦ ποιῶν καὶ θεραπεύων αὐτὸν ὅση δύναμις, φιλῶν τε τοὺς τὸν μοναχὸν καὶ ἄζυγα βίον ἀνῃρημένους, ἐλεήμων τε ἄγαν καὶ φιλόπτωχος (ὄνομα μὲν αὐτῷ Μιχαήλ, παρά τισι δὲ καὶ Κρασῆς ἐκαλεῖτο) καὶ πλούσιος μετρίως, ὥστε μήτε τῷ ἐνδεεῖ λυπεῖν μήτε τῇ εὐθηνίᾳ ἐπαίρεσθαι, ἀλλ' ὅσον τὰ πρὸς χρείαν αὐτοῦ μὴ ἐνδεῆ εἶναι. οὗτος ἐγέννησεν υἱοὺς καὶ θυγατέρας· μιᾶς δὲ τούτων ἐπιμνησθήσομαι, ἐφ' ἧς ὁ θεὸς θαῦμα ἐποίησε διὰ μεσιτείας τῆς αὐτὸν ἀπειράνδρως κυησάσης μητρός.

2. Ὁ τοίνυν ἄνωθεν λεχθεὶς ἀνὴρ εὐλαβὴς καὶ δίκαιος ἦν, καὶ μὴ φέρων ὁ μισόκαλος δαίμων ταῦτα ὁρᾶν ᾐτήσατο τὴν θυ-

S=cod. Sabbaiticus 332, an. 1427, fol. 230—235. Ἱεροσολ. βιβλιοθήκη, t. II, d. 458—459.

9 εὐθυνία S 14 ἦν*: ὢν S 15 μισόκαλλος S



γατέρα αὐτοῦ πειράσαι, ὡς τὸ πρὶν Ἰώβ· ἦν γὰρ ἡ παῖς πάνυ ὡραία. καὶ πρῶτον μὲν ἐπεχείρει διὰ τοῦ κάλλους αὐτῆς ὠθεῖν τοὺς τοῦ Μωάμεθ ἀπογόνους ὁρᾶν αὐτὴν καὶ ὑπὸ τῆς ὁράσεως εἰς τοσοῦτον ἑλκῦσαι, ὥστε βουληθῆναι αὐτοὺς λαβεῖν ταύτην, δωδεκαετῆ ἔτι οὖσαν. ὁ δὲ πατὴρ αὐτῆς ὁρῶν ταῦτα δέδωκεν αὐτὴν πρός τινα τῶν χριστιανῶν, συζεύξας νομίμῳ γάμῳ καὶ τελέσας πάντα τὰ ἐν τῷ γάμῳ. μετὰ μῆνας τέσσαρας μιᾷ τῆς νυκτὸς ᾐτήσατο ἡ νεᾶνις παρὰ τῆς μητρὸς αὐτῆς ὕδωρ· καὶ ἐδίδου μὲν αὐτῇ πιεῖν, ἐλυπεῖτο δὲ ἐπὶ τῇ ἀωρίᾳ τῆς νυκτός. ἐν δὲ τῷ πεπωκέναι τὴν κόρην τὸ ὕδωρ εἰσελθὼν αὐτῇ τῇ ὥρᾳ πνεῦμα πονηρὸν καὶ ἀκάθαρτον ᾤκησεν ἐν αὐτῇ, καὶ πειράζον αὐτὴν ἡμέρας καὶ νυκτὸς ἐλάλει ποτὲ μὲν (ὡς) ἀνθρώπου φωνήν, ποτὲ δὲ ὡς κύονος, ποτὲ δὲ ὡς χοίρου, εἶτα ὡς γαλῆς, ἔπειτα ὡς ἀλέκτορος.

3. Καὶ τίς ἂν τὰς τοῦ δαίμονος δυνηθῇ διηγήσασθαι μεταβολάς τε καὶ σχήματα; ἐπαινῶν γὰρ καὶ μακαρίζων τὸν τῆς παιδὸς πατέρα καὶ τὴν ἀρετὴν ἐκείνου ἐκδιηγούμενος ἄκων ὡμολόγει, ὅτι „ Φθονῶν τῆς ἀρετῆς ἐκείνου εἰσῆλθον εἰς τὴν παιδίσκην, ἵνα κἂν αὐτὴν δυνηθῶ ἐκπειράσαι καὶ ῥαθυμήσασαν τῷ βάρει τῶν πειρασμῶν βλασφημῆσαι ποιήσω καὶ εὐφρανθῶ ". καὶ ἔλεγεν, ὅτι „ Δι' οὐδὲν ἄλλο πειράζω αὐτήν, εἰ μὴ δι' ἐπιθυμίαν βλασφήμων λόγων ". καὶ οὐδὲν οὕτως εὐφραίνει δαιμόνων γένος, ὡς τὸ χριστιανοὺς βλασφημεῖν καὶ κατὰ θεοῦ τι λέγειν καὶ τῶν ἄλλων ἁγίων.

4. Τοιγαροῦν ταῦτα ἀκούουσα ἡ τῆς παιδὸς μήτηρ καὶ αὐτὴ ἡ πάσχουσα καὶ ἕτεροί τινες τῶν συγγενῶν αὐτῆς διεπρίοντο ταῖς καρδίαις καὶ σκοτοδίνη τὰς ψυχὰς αὐτῶν κατελάμβανε βαρουμένας τῇ λύπῃ· ἀπορήσαντες δὲ καὶ οὐκ ἔχοντες ὅθεν τοῦ κακοῦ λύσιν εὑρεῖν, μόλις ἐπενοήθησαν ἀγαγεῖν ταύτην εἰς τὴν μονὴν τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου τῆς Ὁδηγητρίας· παρεληλύθεισαν γὰρ πέντε χρόνοι τοῦ πάθους. καὶ εἰσελθοῦσα ἡ παῖς ὑπὸ τῶν γονέων προσήδρευε τῷ ναῷ, πολλάκις καὶ πανημέριος ἔμπροσθεν τῆς ἁγίας εἰκόνος τῆς Θεοτόκου ποιοῦσα.

1 τὸ*: τὸν S 8 αὐτῇ*: αὐτὴν S 9 ἐλυπήτω S 12 κύωνος S; cf. p. 151,21. 152,1 13 ἀλέκτωρος S 16 ὁμολόγει S 26 σκοτοδύνη S 30 παρεληλύθησαν S

πολλάκις δὲ καὶ πίπτουσα σταυρωθῆναι, ἐπειδὰν ἐπάνω τῆς γαστρὸς αὐτῆς οἱ εἰς ταῦτα ὑπηρετοῦντες τὴν ἁγίαν εἰκόνα ἐτίθεσαν, ἀπέπεμπε ταύτην ὁ δαίμων καὶ ἀνεκούφιζεν καὶ γρύζων ἐβόα ὡς χοῖρος· καὶ ἦν θάμβος καὶ ἔκπληξις ἐν ταῖς ἁπάντων ψυχαῖς ἐπὶ τῇ τοσαύτῃ δυνάμει τοῦ δαίμονος.

5. Τοῦτο δὲ καθ' ἑκάστην ὡς εἰπεῖν γινόμενον καὶ θεραπείας τινὸς τῆς παιδὸς οὐκ αἰσθανομένης, ὅμως οὐκ ἀφίστατο τῆς εἰκόνος καὶ τῆς πίστεως τὸ πολὺ οὐκ ἠλάττωσε. οὔτε ῥῆμα βλάσφημον εἴρηκε ποτέ, καίπερ δεινῶς βασανιζομένη, ὥς τινες τῶν ῥᾳθυμοτέρων, ἀλλ' ἣν εἶχεν ἐξ ἀρχῆς πίστιν εἰς τὴν Θεοτόκον, ταύτην καὶ μέχρι τέλους ἐφύλαττεν. ὀκτὼ δὲ μηνῶν διελθόντων, ἀπῆλθεν ἡ παῖς εἰς τὰ ἴδια μετὰ πίστεως εὐχαριστοῦσα διαπαντὸς τὴν Παναγίαν καὶ Θεοτόκον.

6. Μέσον δὲ τῶν ἡμερῶν, ἐν αἷς ἡ παῖς ἐν τῷ κουβουκλίῳ διέτριβεν, ἔτυχεν εὑρεῖν μαρμάρου μέρος λευκοῦ, βάρος μὲν ἔχον ὡσεὶ λίτρας μιᾶς, μῆκος δὲ καὶ πλάτος κυβοειδές, καὶ τοῦτο λαβοῦσα εἶχε μεθ' ἑαυτῆς ἐπὶ χρόνους δύο. τὴν ἑβδομάδα δὲ τῆς Πεντηκοστῆς, τῇ κ' τοῦ Μαΐου μηνὸς τοῦ ͵ςοῦ ϡοῦ λδ' ἔτους (=1426), τῇ Πέμπτῃ τῆς ἑβδομάδος, ἐφάνη τῇ κόρῃ καθ' ὕπαρ ἁρπαγῆναι τῆς κλίνης αὐτῆς καὶ εὑρεθῆναι εἰς τόπον λεγόμενον Τὰ ἁγιάσματα· ἐν ᾧ τόπῳ ὑπῆρχε ποτὲ ναὸς τῆς ἁγίας Ἀναστασίας, νῦν δὲ ἐστὶ παντελῶς ἀφανής. καὶ ἐδόκει τῇ παιδὶ βλέπειν γυναῖκας δύο λαμπρὰς λεγούσας πρὸς αὐτήν· "Γινώσκεις, τίνες ἐσμέν"; ἡ δὲ εἶπεν· "Οὐκ οἶδα". πάλιν λέγουσιν αἱ φανεῖσαι· "Ἡμεῖς ἐσμεν αἱ δέσποιναι, ἥ τε Ἑλένη καὶ Εὐγενία, καὶ ἀπεστάλημεν, ἵνα ἀπαλλάξωμέν σε τοῦ δεινοῦ πάθους". εἶτα προσευξάμεναι εἶπον· "Κύριε, ἐπίβλεψον ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἴδε τὸ πλάσμα τῶν χειρῶν σου· ἐξαπόστειλον τὴν σὴν βοήθειαν ἀπὸ θρόνου δόξης σου καὶ δὸς χεῖρα βοηθείας καὶ κατάρραξον τὸν δυσμενῆ, τὸν κατὰ τῆς σῆς εἰκόνος λυττήσαντα· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. ἀμήν".

7. Καὶ ἀναβλέψασα ἡ παῖς ὁρᾷ τὰς δύο γυναῖκας ἀφανεῖς γενομένας· καὶ τούτου γενομένου, ἐξαίφνης βλέπει φῶς μέγα καὶ

3 γρίζων S 8/9 βλάφημον S 9 βασανιμένη S



μέσον τούτου γυναῖκα μίαν περίβλεπτον μετὰ πλήθους ἀγγέλων, λέγουσαν πρὸς αὐτήν· "Μαρία, ἐπίστασαι, τίς εἰμι ἐγώ"; ἡ δὲ εἶπε μετὰ πολλῆς εὐλαβείας καὶ φόβου· "Κυρία μου, πρὸ μικροῦ εἶδον δύο ἀρχοντίσσας λεγούσας πρός με, ὅτι Ἡμεῖς ἐσμεν αἱ δέσποιναι, ἥ τε Ἑλένη καὶ Εὐγενία". ἔφη δὲ ἡ φανεῖσα· "Οὔτε ἡ Ἑλένη οὔτε ἡ Εὐγενία ἐστίν, ἀλλ' ἐγώ εἰμι ἡ τὸν κόσμον κρατοῦσα καὶ περιέπουσα, καὶ εἰμὶ εἰς τὴν πόλιν τὴν ὑπὸ Κωνσταντίνου τοῦ βασιλέως κτισθεῖσαν· καὶ ἐβουλόμην ἄν σε ἀγαγεῖν ἐκεῖ καὶ ἰάσασθαι, ἀλλὰ διὰ τὴν σὴν μητέρα, ἵνα μὴ ἐγερθεῖσα ζητήσῃ σε καὶ οὐχ εὕρῃ καὶ τῇ περισσοτέρᾳ λύπῃ ἐκστῇ καὶ αὐτὴ τῶν φρενῶν, ἤγαγόν σε ἐνταῦθα". εἶτα ἀναβλέψασα εἰς τὸν οὐρανὸν καὶ τὰς χεῖρας ἐκτείνασα ἡ κυρία καὶ Θεοτόκος εἶπε· "Κύριε καὶ θεέ, υἱὲ μονογενὲς καὶ συνάναρχε τῷ πατρὶ καὶ ἀχώριστε, ἔπιδε ἐπὶ τὴν παῖδα ταύτην καὶ λύτρωσαι αὐτὴν τοῦ χαλεποῦ τούτου δαίμονος· ἱκανῶς γὰρ αὐτὴν ἐδοκίμασας τὸν ἑπταετῆ τοῦτον χρόνον· φθόνῳ γὰρ τοῦ Σατανᾶ πάσχει. καὶ ἵνα μὴ εἴπωσι τὰ ἔθνη, Ποῦ ἐστιν ὁ θεὸς τῶν χριστιανῶν, ἐφ' ᾧ ἐπεποίθεισαν; καὶ διὰ τὰς ἐμὰς τῆς σῆς μητρὸς δεήσεις χάρισαί μοι τὴν δωρεὰν ταύτην". καὶ ταῦτα εἰπούσης, φῶς μέγα περιήστραψεν αὐτήν· καὶ λέγει ἡ Παναγία πρὸς τὴν παῖδα· "Ἐπίβλεψον πρός με εἰς τὴν γῆν". καὶ θεωρήσασα βλέπει κύονα μελανὸν πρὸς τοῖς ποσὶν αὐτῆς. ὢ τῶν ἀνεξερευνήτων τοῦ θεοῦ κριμάτων· ὢ τῆς ἀκαταλήπτου δυνάμεως τοῦ θεοῦ καὶ τῆς πολλῆς παρρησίας τῆς ἀσπόρως αὐτὸν κυησάσης μητρός. ποία γλῶσσα ἢ ποία διάνοια ὑμνῆσαι ἀξίως δυνήσεται τὴν μητέρα τοῦ θεοῦ καὶ χάριν δοῦναι τὴν ἀξιόχρεων;

8. Εἶτα ἡ Παναγία λέγει πρὸς αὐτήν· "Ὁρᾷς, θύγατερ; οὗτος ὁ ἀναιδὴς κύων ἑτέρους χρόνους δύο ἔμελλε πειρασμοὺς ἐπάγειν σοι καὶ μετὰ τούτους καὶ σὲ τὸ χρεὼν λειτουργῆσαι καὶ ἀπολαβεῖν τὸν μισθόν σου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ διὰ τὸ ὑπομεῖναί σε τὸν πειρασμὸν τοῦτον μετ' εὐχαριστίας· καὶ ὁ πατὴρ ὁ σὸς τελευτῶν λύπην εἶχε πολλὴν περὶ σοῦ, ἀλλ' οὐδέποτε ῥῆμα προέπεμψε βλάσφημον καὶ μέλλει λαβεῖν διπλοῦν τὸν μισθόν, τὸν μὲν τῆς φιλο-

2 λέγουσα S 4 ἀρχόντισας S 10 εὕρει S 13 μονογεννὲς S 19/20 περιέστραψεν S 21 κύονα sic S 26 ἀξιόχρεον S 29 χρεὸν S

ξενίας, τὸν δὲ τῆς εὐχαριστίας. εἶτα ἡ ἰαθεῖσα πρὸς τὸν κύονα βλέψασα θεωρεῖ αὐτὸν βαδίσαντα ἕως πῆχας ἑπτά· ἡ δὲ ἀκαταίσχυντος ἐλπὶς τῶν χριστιανῶν οὐκ εἴασε μέχρι τούτου τὸν δαίμονα, ἀλλὰ τὸ ὄμμα ἄνω εἰς οὐρανοὺς τείνασα οὕτως ἤρξατο· " Κύριε υἱέ μου καὶ θεέ, ὁ τὴν ἐμὴν δέησιν μὴ παριδών, ἄκουσόν μου καὶ νῦν καὶ πέμψον πῦρ καὶ κατάκαυσον αὐτόν, ἵνα μὴ πάλιν πειράξῃ αὐτήν". καὶ ἅμα τῇ φωνῇ πῦρ κατῆλθεν ἐκ τοῦ οὐρανοῦ καὶ κατέκαυσεν αὐτόν· καί φησιν ἡ Παναγία πρὸς τὴν νεάνιδα· " Θεωρεῖς, ὅσον ἐποίησα· διὰ τοὺς ἀπίστους τοῦτο ἐγένετο, ἵνα καὶ παρ' αὐτῶν δοξασθῇ ἡ πίστις ὑμῶν".

9. Ἡ δὲ παῖς ἰδοῦσα τὸ θαῦμα καὶ ἐκπλαγεῖσα ἐπὶ τῇ παραδόξῳ θεραπείᾳ ηὐχαρίστει τε προσκυνοῦσα καὶ λέγουσα· " Δέσποινά μου Θεοτόκε, τί προστάσσεις τῇ σῇ δούλῃ εἰσενεγκεῖν δώρημα τῷ σῷ ναῷ ἐκ τῆς ἐμῆς περιουσίας τε καὶ ὑπάρξεως"; ἡ δὲ ἔφη· " Οὐ διὰ χάριν δώρων τοῦτο ἐποίησα, ἀλλὰ διὰ πίστιν τῶν δισταζόντων· λαβοῦσα δὲ κηροῦ λίτραν μίαν καὶ ὑπέρπυρον ἓν κόμισον ταῦτα πρὸς τὸν ἐμὸν ναόν, ἵνα πρὸς θεὸν ποιήσωσιν οἱ μοναχοὶ εὐχαριστίαν καὶ δέησιν· καὶ σταθεῖσα ἔμπροσθεν τοῦ ἐμοῦ κουβουκλίου διήγησαι τὰ ἐν σοὶ γεγονότα πάντα τοῖς μοναχοῖς καὶ πᾶσιν ἀνθρώποις".

10. Καὶ ταῦτα εἰπούσης τῆς Παναγίας, εὑρέθη ἐξαίφνης ἡ παῖς μέσον τοῦ ναοῦ τῆς Θεοτόκου ἱσταμένη, καὶ θεωρήσασα ὁρᾷ τὴν Θεοτόκον ἱσταμένην εἰκονικῶς καὶ τὸ πρόσωπον αὐτῆς ὡς σαρκοειδὲς καὶ λέγουσαν πρὸς δύο ἀγγέλους· " Λάβετε αὐτὴν ὑμεῖς καὶ βαπτίσατε". καὶ βαπτίσαντες ἐνέδυσαν αὐτὴν στολὴν λευκὴν καὶ στέφανον ἔθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτῆς, καὶ μεταδόντες τῶν θείων μυστηρίων ἔστησαν ταύτην πάλιν ἐπὶ τὸ μέσον τοῦ ναοῦ· καὶ ἡ πάναγνος δέσποινα φησὶν πρὸς αὐτήν· " Ἄπελθε καὶ διάγγελλε πάντα, ὅσα ἐποίησε δι' ἐμοῦ ὁ θεός, πᾶσιν ἀνθρώποις· καὶ μὴ νομίσῃς, ὅτι δι' ὁράματος ταῦτα τεθέασαι, ἀλλὰ (καθὼς σοι εἴρηκα πρότερον) ὅτι διὰ τὴν σὴν μητέρα γέγονεν οὕτως· ἔμελλες γὰρ εὑρεθῆναι ἐν τῷ ἐμῷ ναῷ, ἀλλὰ δι' αὐτὴν εὑρεθήσῃ ἐν τῇ σῇ κλίνῃ".

1 κύονα sic S    13 προστάσεις S    16 κηρὸν S



11. Καὶ τῆς ἡμέρας διαυγασάσης, εὑρέθη ἡ παῖς κοιμωμένη ἐν τῇ αὐτῆς στρωμνῇ· καὶ διυπνισθεῖσα, σπουδῇ πολλῇ δραμοῦσα εἰς τὸν τῆς πανάγνου δεσποίνης ἡμῶν Θεοτόκου ναὸν καὶ συναθροισθέντες πάντες οἱ μοναχοί, σταθεῖσα ἡ παῖς ἔνθα προσετάχθη, διηγήσατο ἡμῖν πάντα καθὼς καὶ ἐγένοντο. καὶ ἡμεῖς ἀκούσαντες ταῦτα ἐδοξάσαμεν τὸν θεόν, τὸν διὰ πρεσβειῶν τῆς αὐτὸν τεκούσης ἀπειράνδρου μητρὸς ποιοῦντα ἔνδοξά τε καὶ ἐξαίσια θαύματα· ἣν ἡμεῖς κεκτήμεθα διαπαντὸς πρέσβυν καὶ ἀντιλήπτορα καὶ λυτρωτὴν τῶν ἐκ τοῦ πονηροῦ ἐπερχομένων ἡμῖν πειρασμῶν· ἧς ταῖς πρεσβείαις μετὰ τὴν ἐνταῦθα ἀποβίωσιν τύχοιμεν τῆς μερίδος τῶν σῳζομένων χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτῆς υἱοῦ· ᾗ πρέπει δόξα τε καὶ εὐχαριστία καὶ αἶνος, ἐκείνῳ δὲ δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

5/6 ἀκηκούσαντες S    8 πρέσβην S

# IX.

## ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

# ΚΑΤΗΧΗΣΕΙΣ.

### 1.

***Τοῦ αὐτοῦ. Ἐν τῇ προτέρᾳ κατηχήσει διαλεχθεὶς περὶ ὅρκων ταύτην εἶπεν εἰς τὴν αὐτὴν πάλιν ὑπόθεσιν, δεικνὺς ὅτι οὐ τὸ ἐπιορκεῖν μόνον, ἀλλὰ καὶ τὸ εὐορκεῖν κόλασιν ἔχει, καὶ ὅτι χρησίμως ὁ Χριστὸς διὰ τριῶν ἡμερῶν ἀνέστη.***

Λόγος β΄.

1. Ἆρα ἀπηλάσατε ἐκ τοῦ στόματος ὑμῶν τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν; οὐ γὰρ ἐπιλέλησμαι οὔτε ὧν αὐτὸς διελέχθην πρὸς ὑμᾶς, οὔτε ὧν ὑμεῖς ὑπέσχεσθε πρός με περὶ τῆς ὑποθέσεως ταύτης. καὶ γὰρ κἀγὼ διελέχθην καὶ ὑμεῖς ὑπέσχεσθε, εἰ καὶ μὴ τῷ λόγῳ, ἀλλὰ τοῖς ἐπαίνοις τῶν εἰρημένων. μείζων δὲ

---

**A** = cod. Mosquensis $\frac{129}{\text{cxxx}}$ (№ 216. *Арх. Владимiръ*, Систем. описанie etc. p. 269), s. X, f. 361b—371b. **B** = cod. Petrop. 76, s. X (non XI), f. 123b—130a.

Titulus e cod. A. Inscriptio cod. B: Τοῦ αὐτοῦ κατήχησις β̄ πρὸς τοὺς μέλλοντας φωτίζεσθαι. καὶ ὅτι ὁ στ(αυ)ρ(ὸ)ς βαπτισμα λέγεται. καὶ τὸ ποτήριον πάθος ἑρμηνεύεται. καὶ τίνος ἕνεκεν οἱ πρες ὅρισαν τοὺς περιερχομένους τῷ βαπτίσματι γυμνοὺς καὶ ἀνυποδέτους ἐν τῇ κατηχίσει παρίστασθαι. καὶ περιόρκων. κε εὐ(λόγησον).

4 καγὼ B καὶ ἐγὼ A



αὕτη ἡ ὑπόσχεσις τῆς διὰ τοῦ λόγου· ὁ μὲν γὰρ ὑποσχόμενος λόγῳ πολλάκις τῇ γλώττῃ μὲν ἐπινεύει, τῇ γνώμῃ δὲ οὐκ ἐπινεύει· ὁ δὲ ἐπαινῶν τὰ εἰρημένα ἀπὸ ψυχῆς ποιεῖται τὴν συγκατάθεσιν. ἆρ' οὖν ἀπεσμήξατε τὴν γλῶσσαν ἀπὸ τῆς χαλεπῆς κηλῖδος; ἆρα ἐφυγαδεύσατε τὴν λύμην ἀπὸ τῆς ἱερᾶς ὑμῶν ψυχῆς; ἐγὼ στοχάζομαι, ὅτι ἀπεσμήξατε· καὶ γὰρ βασιλέα ὑποδέχεσθαι μέγαν μέλλετε καὶ διδασκαλίας ἀπολαῦσαι πολλῆς καὶ πνευματικῆς τῶν συνετωτέρων πατέρων. καὶ ὁ χρόνος δὲ ἱκανὸς καὶ ἡ δοθεῖσα προθεσμία πρὸς τὴν διόρθωσιν πρὸς τῷ τέλει λοιπόν ἐστι, καὶ ὑμεῖς εὐήνιοι καὶ καταπειθεῖς· "πείθεσθε γὰρ τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε", λέγει ὁ ἀπόστολος, καὶ ἐν παντὶ ὑπακούετε αὐτοῖς. ἀπὸ τούτων πάντων στοχαζόμενος νομίζω κατωρθῶσθαι τὸ πᾶν. ἀλλ' οὐκ ἐβουλόμην στοχάζεσθαι καὶ νομίζειν, ἀλλ' εἰδέναι σαφῶς· καὶ γὰρ ἂν προθυμότερον τῶν μυστικωτέρων ἡψάμην λόγων, τὴν φροντίδα ἀποθέμενος τὴν περὶ τῶν ὅρκων, καὶ μετὰ πλείονος ἀδείας ὑμᾶς ἐχειραγώγησα πρὸς τὴν φρικτὴν ταύτην μυσταγωγίαν, καὶ εἰσήγαγον ἂν εἰς τὰ ἄδυτα αὐτὰ καὶ ἔδειξα τὰ ἅγια τῶν ἁγίων καὶ τὰ ἐκεῖ πάντα, οὐχὶ ὑδρίαν χρυσῆν μάννα ἔχουσαν, ἀλλὰ σῶμα τὸ δεσποτικόν, τον ἄρτον τὸν οὐράνιον. ἔδειξα ἂν ὑμῖν οὐ κιβωτὸν ξυλίνην λιθίνας ἔχουσαν πλάκας καὶ νόμον, ἀλλὰ σάρκα ἄμωμον καὶ ἁγίαν ἔχουσαν αὐτὸν τὸν νομοθέτην. ἔδειξα ἂν ἔνδον οὐ πρόβατον ἄμωμον ἐσφαγιασμένον, ἀλλὰ τὸν ἀμνὸν τοῦ θεοῦ τεθυμένον, θυσίαν μυστικήν, ἣν καὶ αὐτοὶ τρέμουσιν οἱ ἄγγελοι βλέποντες. ἔδειξα ἂν ὑμῖν οὐ τὸν Ἀαρὼν εἰσιόντα μετὰ χρυσῆς στολῆς, ἀλλὰ τὸν μονογενῆ εἰσιόντα, τὴν ἀπαρχὴν τῆς ἡμετέρας φύσεως ἔχοντα, αὐτῷ δεικνύντα τῷ πατρὶ τοῦ κατορθώματος τὸ μέγεθος· "οὐ γὰρ εἰς χειροποίητα", φησίν, "ἅγια εἰσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς

---

2 τῇ γνώμῃ δὲ οὐκ ἐπινεύει om B 5 ἆρα usque ad ψυχῆς om B 6 ἀπεσμήξασθαι B || ὑποδέχεσθε A 7 μέλλετε μέγα B || ἀπηλαύσατε A 8 ἱκανὸς A ἴσος B 10 καταπειθεὶς A εὐπιθεῖς B 11 Hebr. xiii, 17 || καὶ ἐν παντὶ ὑπ. αὐτοῖς om A 12 ἁπάντων B 13 κατορθῶσθαι A κατορθῶσαι B 14 προθυμότερον A προθυμότερος B 15 λόγων om B 16 ἡμᾶς ἀδίας B 17 ἄδυτα αὐτὰ A ἅγια B 18 οὐχ' B 20 πλάκας ἔχουσαν B 21 αὐτὸν ἔχουσα B 22 νομοθ. καὶ θυσίαν ἔνδων. οὐ πρόβατον B || ἄμωμον A ἄλογον B || ἐσφαγμένον B 25 στολῆς χρυσῖς B 26 ἡμετέρας om A 27/28 Hebr. ix, 24 || φησὶν om B

αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ". ἔστιν ἐκεῖ καταπέτασμα οὐχὶ τοιοῦτον, οἷον εἶχεν ὁ ναὸς ὁ Ἰουδαϊκός, ἀλλὰ πολὺ φρικωδέστερον. ἄκουσον γοῦν, οἷόν ἐστι τοῦτο τὸ καταπέτασμα, ἵνα μάθῃς οἷα μὲν ἐκεῖνα τὰ ἅγια τῶν ἁγίων, οἷα δὲ ταῦτα. " ἔχοντες ", φησί, " πολλὴν παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος, τουτέστι τῆς σαρκὸς αὐτοῦ ". εἶδες, πῶς τοῦτο ἐκείνου φρικωδέστερον τὸ καταπέτασμα; πρὸς ταῦτα ἐβουλόμην ὑμᾶς ἅπαντα μυσταγωγῆσαι τήμερον.

2. Ἀλλὰ τί πάθω; οὐκ ἀφίησί με ἡ τῶν ὅρκων φροντὶς κατατήκουσά μου τὴν ψυχήν· καὶ οἶδα μέν, ὅτι πολλοὶ καταγνώσονται τὴν τῶν λεγομένων ὑπερβολήν, ἀκούσαντες ὅτι κατατήκει μου τὴν ψυχήν· καὶ γὰρ μικρὸν εἶναι νομίζουσι τὸ ἁμάρτημα· ἐγὼ δὲ διὰ τοῦτο μᾶλλον θρηνῶ. τὰ μὲν γὰρ ἄλλα τῶν ἁμαρτημάτων καὶ ἔστι χαλεπὰ καὶ νομίζεται εἶναι χαλεπά· οἷον ὁ φόνος καὶ ἡ μοιχεία καὶ ἔστι χαλεπὸν καὶ νομίζεται εἶναι χαλεπόν, ὁ δὲ ὅρκος ἔστι μὲν χαλεπόν, οὐ νομίζεται δὲ εἶναι χαλεπόν. διὰ τοῦτο θρηνῶ καὶ δέδοικα τὸ ἁμάρτημα· τοῦτο γάρ, τοῦτο τῆς μεθοδείας τοῦ διαβόλου, συγκεκαλυμμένην εἰσάγειν τὴν ἁμαρτίαν, καὶ ὥσπερ συνήθει τροφῇ δηλητήριον μιγνύς, οὕτω τῇ προλήψει τῶν ἀνθρώπων μηχανᾶται ἐγκατακρύψαι τὸν ὅρκον. τί οὖν εἰς τὸν ὅρκον ἅπασαν ἀναλώσομεν τὴν διδασκαλίαν καὶ τὸν χρόνον; οὐδαμῶς· καὶ γὰρ καὶ στοχάζομαι εἶναί τινας τοὺς κατωρθωκότας. ὥσπερ γὰρ τοῦ σπείροντος ἐξελθόντος οὐχ ἅπας ὁ σπόρος εἰς τὰς ἀκάνθας ἔπεσεν, οὐδὲ ἅπας εἰς τὰς πέτρας, ἀλλὰ πολλὰ καὶ εἰς τὴν γῆν κατηνέχθη τὴν καλήν, οὕτω καὶ νῦν ἀδύνατον τοσαύτης διδασκαλίας γενομένης ἐν πλήθει τοσούτῳ μηδένα εἶναι τὸν δυνάμενον ἐπιδείξασθαι τὸν καρπόν. οὐκοῦν ἐπειδὴ πολλοὶ μὲν κατώρθωσαν, οὔπω δὲ πάντες, μερίσωμεν καὶ ἡμεῖς τὸν λόγον. ἔδει μὲν

1 νῦν A νύμὶ=νυνὶ B 5/8 Hebr. x, 19-20 6 αἵματι A ὀνόματι B 9 σήμερον B 13 γὰρ usque ad ἐγὼ δὲ om B || δὲ A καὶ B 14 καὶ om B 15 νομίζονται B || φόνος A φθόνος B 16 καὶ ἔστι χαλεπὸν usque ad εἶναι χαλεπὸν om B 17 χαλεπὸς -- χαλεπὸς B 19 εἰσάγει B 20 μιγνὺς om B 21 ἀνθρώπων ἐγκατέκρυψε τῶνόρκων B 22 καὶ τὸν χρόνον om A 23 καὶ om B 24 οὐκ B 27 μηδένα εἶναι τὸν καρπὸν πλήρις μεταδιδόντα. οὐκοῦν ἐπ. μὲν B 28 κατόρθωσαν A



γὰρ τοὺς μὴ κατωρθωκότας μηδὲ ὅλως ἀκοῦσαι μυστικῶν λόγων· ἀλλ' ἵνα μὴ ἐπηρεάζωνται ἐκεῖνοι, χαρισώμεθα τοῖς ῥᾳθυμοτέροις διὰ τοὺς σπουδαιοτέρους· πολλῷ γὰρ βέλτιον τούτοις δι' ἐκείνους χαρίσασθαι, ἢ τοὺς σπουδαιοτέρους ἐπηρεάσαι διὰ τοὺς ῥᾳθυμοτέρους.

3. Ἀναμνῆσαι δὲ βούλομαι χρέους ὑμᾶς, ὃ τῇ προτέρᾳ διαλέξει ὑπεσχόμην μέν, οὐ κατέβαλον δέ, πρὸς ἀναγκαιότερα τοῦ λόγου κατεπείξαντος ἡμᾶς. τί οὖν ἦν τὸ χρέος ἐκεῖνο; ἐζήτουν πρὸς ὑμᾶς εἰπεῖν, τίνος ἕνεκεν οἱ πατέρες οἱ ἡμέτεροι πάντα τὸν χρόνον τοῦ ἐνιαυτοῦ παραδραμόντες ἐν τούτῳ τῷ καιρῷ ἐνομοθέτησαν τὰς ὑμετέρας μυσταγωγεῖσθαι ψυχάς· καὶ ἔλεγον, ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ ἡ τοῦ καιροῦ παρατήρησις γέγονεν. ἀεὶ μὲν γὰρ ἡ αὐτὴ χάρις καὶ οὐκ ἐμποδίζεται χρόνῳ· θεία γάρ ἐστιν ἡ χάρις· ἔχει δὲ μυστικόν τι καὶ ἡ τοῦ καιροῦ παρατήρησις. τίνος οὖν ἕνεκεν νῦν ἐνομοθέτησαν τὴν ἑορτὴν ταύτην οἱ πατέρες; νῦν ὁ βασιλεὺς ἡμῶν ἐνίκησε τὸν πόλεμον τὸν πρὸς τοὺς βαρβάρους· βάρβαροι γάρ εἰσι καὶ βαρβάρων ἀγριώτεροι πάντες οἱ δαίμονες. νῦν τὴν ἁμαρτίαν κατέλυσε, νῦν τὸν θάνατον ἔσβεσε καὶ τὸν διάβολον ὑπέταξε, τοὺς αἰχμαλώτους ἔλαβε. τῶν ἐπινικίων τοίνυν ἐκείνων ὑπομνήματα ἄγομεν τὴν παροῦσαν ἡμέραν. διὰ τοῦτο νῦν ἐνομοθέτησαν οἱ πατέρες τὰς βασιλικὰς δωρεὰς διανέμεσθαι· οὗτος γὰρ ἐπινικίων ὁ νόμος. οὕτω καὶ οἱ ἔξωθεν βασιλεῖς ποιοῦσι· τὰς ἡμέρας τῶν ἐπινικίων πολλαῖς τιμῶσι τιμαῖς. ἀλλ' ἐκείνης μὲν τῆς τιμῆς ὁ τρόπος ἀτιμίας γέμει· ποία γὰρ τιμὴ θέατρα καὶ τὰ ἐν θεάτροις πραττόμενα καὶ λεγόμενα; οὐχὶ πάντα αἰσχύνης ἐμπέπλησται καὶ πολλοῦ τοῦ γέλωτος; αὕτη δὲ ἡ τιμὴ τῆς τοῦ τιμήσαντός ἐστιν ἀξία μεγαλοδωρεᾶς. διὰ τοῦτο νῦν ἐνομοθέτησαν, ἵνα σε ἀναμνήσωσι διὰ τοῦ καιροῦ τῆς νίκης τοῦ δεσπότου, ἵνα ἐν τοῖς ἐπινικίοις ὦσί τινες οἱ τὰ λαμπρὰ φοροῦντες ἱμάτια καὶ εἰσιόντες εἰς τιμὴν τοῦ βασιλέως· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἵνα

1 γὰρ om B || μὴ A μὲν B || μηδόλως B 3 διεκείνοις B 4/5 ῥαθυμωτέρους A ῥαθύμους B 6 δέ μου B 7 μὲν οὖν οὐ κατέβαλα B || ἀναγκαιωτέραν B 8 κατεπήξαντος A 9 εἰπεῖν om B 13 οὐκ A οὐδενὶ B || ἐστιν A αὕτη B 14 μυστικόν τι A μυστικῶν λόγων (=μυστικὸν λόγον) B 18 νῦν τὸν A καὶ τὸν B 19 τοίνυν A νῦν B 21 οὕτως A 22 ὁ om B 26 δὲ om B 27 μεγαλωδωραιᾶς ἀξία B 29 οἱ λαμπροφοροῦντες B 30 εἰς τὴν τιμὴν B

καὶ κατὰ τὸν καιρὸν κοινωνῇς τῷ δεσπότῃ. ἐσταυρώθη, φησίν, ἐκεῖνος ἐν τῷ ξύλῳ· σταυρώθητι σὺ διὰ τοῦ βαπτίσματος· σταυρὸς γάρ φησι καὶ βάπτισμα καὶ θάνατος, ἀλλὰ θάνατος ἁμαρτίας, ἀλλὰ σταυρὸς τοῦ παλαιοῦ ἀνθρώπου.

4. Ἄκουσον γοῦν, τί φησιν ὁ Παῦλος, πῶς ἀμφότερα λέγει περὶ τοῦ βαπτίσματος, ὅτι θάνατος ἐστιν ἁμαρτίας καὶ ὁ σταυρός· "ἢ ἀγνοεῖτε ὅτι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθητε"; καὶ πάλιν· "ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας". ἵνα οὖν μὴ ἀκούσας θάνατον καὶ ἀκούσας σταυρὸν φοβηθῇς, ἐπήγαγεν ὅτι ἁμαρτίας θάνατός ἐστιν ὁ σταυρός. εἶδες, πῶς σταυρὸς τὸ βάπτισμα; μάθε, ὅτι καὶ τὸν σταυρὸν βάπτισμα ἐκάλεσεν ὁ Χριστός, ἀντιδιδούς σοι καὶ ἀντιλαμβάνων τὸ ὄνομα τοῦ βαπτίσματος. τὸ βάπτισμα τὸ σὸν ἐκάλεσε σταυρόν· τὸν σταυρὸν τὸν ἐμόν, φησί, καλῶ βάπτισμα. καὶ ποῦ τοῦτο φησί; "βάπτισμα ἔχω βαπτισθῆναι, ὃ ὑμεῖς οὐκ οἴδατε". καὶ πόθεν δῆλον, ὅτι περὶ τοῦ σταυροῦ λέγει; προσῆλθον αὐτῷ υἱοὶ Ζεβεδαίου, μᾶλλον δὲ "ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου" λέγουσα· "Εἰπέ, ἵνα οὗτοι οἱ δύο υἱοί μου καθίσωσιν, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων ἐν τῇ βασιλείᾳ σου". μητρὸς ἡ αἴτησις, εἰ καὶ ἀπερίσκεπτος. τί οὖν ὁ Χριστός; "δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι"; ὁρᾷς, ὅτι βάπτισμα τὸν σταυρὸν ἐκάλεσε· πόθεν τοῦτο δῆλον; "δύνασθε", φησί, "πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν"; ποτήριον τὸ πάθος λέγει καὶ διὰ τοῦτο φησί· "πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ". εἶδες, πῶς βάπτισμα τὸν σταυρὸν ἐκάλεσε καὶ τὸ πάθος ποτήριον; ἐκάλεσε δὲ οὕτως,

1 καὶ om B || τοῦ δεσπότου B || φησίν] cf. Gal. III, 13  1/2 ἐσταυρώθη usque ad ξυλῳ om B  3 φησι om A || φησὶ τὸ B || ἀλλὰ θάνατος om B  6 ἁμαρτίας om B || καὶ om A || ὁ om B  7 ἀγνωήται φησὶν ὅτι B  7/8 Rom. III, 3  9 Rom. III, 6 || καταργήσει B || οὖν B γὰρ A  10 ἐπίγαγεν εἰπὼν ἁμαρτίας τὸν θάνατον καὶ τοῦ παλαιοῦ ἀνθρώπου τὸν σταυρον B  11 ἴδες A εἶδε B  12 ὅτι καὶ A πῶς B  13 τὰ ὀνόματα B || τοῦ βαπτίσματος om B || τὸ βάπτισμα τὸ om A  14 σὸν B ὃν A || φησί om B  15 ποῦ om B || τὸ βάπτισμα ὃ εγῶ βαπτίζωμαι ὑμεῖς B || βάπτισμα — οἴδατε] agraphon? cf. Luc. XII, 50  17/19 Matth. XX, 20, 21  18 οὗτοι οἱ δύο om B || οἱ δύο υἱοί μου in marg. cod. A  19 ἐν τῇ βασιλείᾳ σου om A  20/21 Matth. XX, 22  21 πιεῖν B  22 ὅτι καὶ B  23 πίνειν A πιεῖν B  23/24 τὸ ποτήριον A  24/25 Matth. XXVI, 39  26 καὶ τὸ πάθος ποτήριον om A || ἐκάλεσε δὲ οὕτως om B



οὐκ ἐπειδὴ αὐτὸς ἐκαθαίρετο (πῶς γάρ, "ὅς γε ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ δόλος ἦν ἐν τῷ στόματι αὐτοῦ";), ἀλλ' ἐπειδὴ τὸ αἷμα τὸ ῥεῦσαν ἐκεῖθεν ἅπασαν τὴν οἰκουμένην ἐκάθηρε. διὰ τοῦτο καὶ ὁ Παῦλος φησί· "εἰ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ διὰ τοῦ βαπτίσματος". οὐκ εἶπε "τῷ θανάτῳ", ἀλλὰ "τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ". θάνατος μὲν γὰρ κἀκεῖνο καὶ τοῦτο, ἀλλ' οὐ τοῦ αὐτοῦ πράγματος· ἐκεῖνο μὲν γὰρ σώματος, τοῦτο δὲ ἁμαρτίας· διὰ τοῦτο ὁμοίωμα θανάτου.

4. Τί οὖν; ἀποθνήσκομεν μόνον μετὰ τοῦ δεσπότου καὶ ἐν τοῖς σκυθρωποῖς κοινωνοῦμεν μόνον; μάλιστα μὲν οὐδὲ τοῦτο σκυθρωπόν, τὸ κοινωνῆσαι θανάτῳ δεσποτικῷ. πλὴν μικρὸν ἀνάμεινον καὶ ὄψει καὶ ἐν τοῖς χρηστοῖς κοινωνοῦντά σε· "εἰ γὰρ ἀπεθάνομεν σὺν αὐτῷ", φησί, "πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ". ὁμοῦ γὰρ καὶ ταφὴ καὶ ἀνάστασίς ἐστιν ἐν τῷ βαπτίσματι κατὰ τὸν αὐτὸν καιρόν· ἀφίησι κάτω τὸν παλαιὸν ἄνθρωπον καὶ λαμβάνει τὸν καινὸν καὶ ἀνίσταται, "ὥσπερ ἠγέρθη ὁ Χριστὸς διὰ τῆς δόξης τοῦ πατρός". ὁρᾷς, πῶς πάλιν τὴν ἀνάστασιν λέγει; ἀλλὰ διατί ἡ μὲν ἡμετέρα ἀνάστασις καὶ ἡ ταφὴ και ὁ θάνατος ἐν τῷ αὐτῷ καιρῷ (ὁμοῦ γὰρ καὶ θαπτόμεθα καὶ ἀνιστάμεθα), ἡ δὲ τοῦ δεσπότου ἐβράδυνεν; ἐν τρισὶ γὰρ ἡμέραις ἠγέρθη. διατί οὖν ἡ μὲν ἡμετέρα ἀνάστασις ἀθρόον, ἡ δὲ δεσποτικὴ βραδυτέρα; ναὶ συμφερόντως, ἵνα μάθῃς ὅτι οὐ δι' ἀσθένειαν ἡ βραδυτής· ὁ γὰρ τὸν δοῦλον ἀναστῆσαι δυνηθεὶς ἐν βραχείᾳ καιροῦ ῥοπῇ πολλῷ μᾶλλον ἑαυτὸν ἀναστῆσαι ἠδύνατο. τίνος οὖν ἕνεκεν ἡ βραδυτής; τίνος ἕνεκεν ἡ τριήμερος ταφή; ἵνα βραδύναντος τοῦ θανάτου καὶ διὰ τῆς βραδυτῆτος ἀναμφισβήτητος τῆς ἀναστάσεως ἡ ἀπόδειξις γένηται. ὅπου γὰρ καὶ νῦν μετὰ τοσαύτην ἀπόδειξιν εἰσὶν ἄνθρω-

1/2 cf. Petri 1, II, 22  2/3 ἐπ. αὐτὸς τῷ αἵματι τὸ ῥεύσαντι B  3 ἐκάθηρεν B καθῆρε A ἐκάθῆρε corr. cod. A  4 cf. Rom. VI, 4, 5 || σύμφυτοι A  5 διὰ τοῦ βαπτίσματος om B || οὐκ εἶπε usque ad θαν. αὐτοῦ om B  7 ἀλλὰ τοῦ B || γὰρ om B  8 ὁμοίω θανάτω B  12 κοινωνοῦντας A κοινωνοῦντασε B  12/13 cf. Rom. VI, 8  13 σὺν αὐτῷ om B || συνζήσομεν A  16/17 Rom. VI, 4  16 ἠγέρθη A ἀνέστι B  18 ταφὴ et θάνατος sine artic. in B  21 οὖν usque ad συμφερόντως om B  22 βραδύτις B βραδυτὴς corr. cod. B  23 αὐτὸν B  24 οὖν om A || βραδυτής A βραδύτης corr. cod. A  25 ἡ et ταφὴ om B  26 ἡ απόδηξις τῆς αναστάσεως γέγωνεν B  27 εἰσὶν A οἱ B

ποι λέγοντες ὅτι δοκήσει ἔπαθεν, εἰ μὴ τοσαύτη γέγονε βραδυτής, τί οὐκ ἂν εἶπον ἐκεῖνοι; οὐδὲ γὰρ τῷ λόγῳ τῆς ἀναστάσεως ὁ διάβολος ἐπιβουλεῦσαι ἐβούλετο μόνον, ἀλλὰ καὶ τῇ πίστει τοῦ θανάτου· ᾔδει γάρ, ᾔδει σαφῶς ὅτι κοινὸν φάρμακον τῆς οἰκουμένης ὁ σωτήριος θάνατος ἦν καὶ ἐξελεῖν τοῦτον τῆς πίστεως τῶν ἀνθρώπων ἐσπούδαζεν, ἵνα ἀνέλῃ τὴν σωτηρίαν. διὰ τοῦτο βραδύνει ὁ δεσπότης ἐν τῇ ἀναστάσει καὶ προσέρχονται οἱ Ἰουδαῖοι λέγοντες · " Δὸς ἡμῖν στρατιώτας, ἵνα τηρήσωμεν τὸν τάφον ". ὦ τῆς ἀναισχυντίας· πότε νεκρὸν εἶδες, ὦ Ἰουδαῖε, τηρούμενον; εἰ γὰρ κοινὸς νεκρὸς ἦν καὶ ψιλὸς ἄνθρωπος ὁ σταυρωθείς, τί ξένα καὶ παράδοξα ποιεῖς πράγματα; τί φοβεῖ καὶ τρέμεις καὶ φύλακας συνάγεις; πλὴν ἀλλ' οὐδὲ τοῦτο ἐκώλυσεν ὁ θεός, ἀλλ' ἀφῆκε φυλάττεσθαι, ἵνα ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συλληφθῇ ὁ ἁμαρτωλός. ἐκεῖνοι μὲν γὰρ ἔλεγον· " Δὸς ἡμῖν στρατιώτας, ἵνα μὴ κλέψωσιν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ καὶ εἴπωσιν ὅτι ἀνέστη ". συνέβη δὲ τοὐναντίον· ἔλαβον γὰρ στρατιώτας, ἵνα μὴ ἀναστάντος αὐτοῦ λέγωσιν, ὅτι ἔκλεψαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ καὶ οὐκ ἀνέστη, καὶ τὰ κατὰ τῆς ἀναστάσεως σκευωρούμενα ὑπὲρ τῆς ἀναστάσεως γέγονε καὶ τοὺς ἐπιβούλους αὐτοὺς μάρτυρας ἐποίησε τῆς ἀναστάσεως ὁ Χριστός, ἵνα ἐκκόψῃ τὴν ἀπολογίαν αὐτῶν τὴν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

6. Τίνος μὲν οὖν ἕνεκεν ἐν τῷ καιρῷ τούτῳ μυσταγωγεῖσθαι ἐκέλευσαν οἱ πατέρες, ἱκανῶς (οἶμαι ἔγωγε) διὰ τῶν εἰρημένων ὑμῖν παρεστήσαμεν. βούλομαι δὲ καὶ ἕτερον ὑμῖν ἀποδοῦναι χρέος, εἰ μὴ πρὸς τὴν ἀκρόασιν ἀπεκάμετε, καὶ εἰπεῖν, τίνος ἕνεκεν γυμνοὺς καὶ ἀνυποδέτους ὑμᾶς πρὸς τὰς τῶν ἐξορκιζόντων ἐντεῦθεν παραπέμπομεν φωνάς· καὶ γὰρ καὶ ἐνταῦθα ἡ αὐτὴ αἰτία φανεῖται πάλιν, ὅτι πόλεμον νικήσας ὁ βασιλεὺς αἰχμαλώτους ἔλαβε. τοιοῦτον δὲ τῶν αἰχμαλώτων τὸ σχῆμα. ἄκουσον γοῦν, τί

1 τοσαύτη A αὔτη B || ἡ βραδύτις B ἡ βραδυτής corr. cod. B βραδύτης A βραδυτής corr. cod. A 4 ἴδη γὰρ φησὶ ἴδη B 8 cf. Matth. xxvii, 63-66. Evang. apocrypha, ed. Tischendorf², p. 254, 315, 316 10 ὁ νεκρὸς A 11 φοβεῖ A φοβῇ B 12 θεός. ἀλλ' A δεσπότης. ἀλλὰ B 13 συλληφθήει B 17 λέγουσιν B 18 ἀνέστη. συνέβει δὲ τοὐναντίον B || σκευορούμενα A σκεωρούμενα B 19 αὐτοῦ B 20 τὴν om B 22 μὲν om B || ἐν om B 23 ἐγῶ γε οἶμαι B 24 παραστήσαι B || χρέους B 26 ὑμᾶς post γυμνοὺς add. B || ἀνυποδήτους A 27 καὶ post. om B 28 φωνεῖται πᾶσιν. ὅτε πόλεμον B 29 τοιοῦτο A || σχίσμα B



φησι πρὸς τοὺς Ἰουδαίους ὁ θεός· " ὃν τρόπον ἐπορεύθη ὁ παῖς μου Ἡσαΐας γυμνὸς καὶ ἀνυπόδετος, οὕτως πορεύσονται υἱοὶ Ἰσραὴλ εἰς τὴν αἰχμαλωσίαν γυμνοὶ καὶ ἀνυπόδετοι ". βουλόμενος τοίνυν ἀναμνῆσαί σε τῆς προτέρας τοῦ διαβόλου τυραννίδος διὰ τοῦ σχήματος παραπέμπει σε πρὸς τὴν μνήμην τῆς δυσγενείας τῆς παλαιᾶς. διὰ τοῦτο οὐχὶ γυμνοὶ καὶ ἀνυπόδετοι μόνον ἑστήκατε, ἀλλὰ καὶ τὰς χεῖρας ὑπτίας ἔχοντες, ἵνα καὶ τὴν μετὰ ταῦτα ὁμολογῆτε τοῦ θεοῦ δεσποτείαν, ἣ νῦν προσέρχεσθε. σκῦλα ἐστὲ καὶ λάφυρα πάντες ὑμεῖς· καὶ τῶν σκύλων τούτων ὁ Ἡσαΐας μέμνηται πόρρωθεν πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως προαναφωνῶν οὕτως· " αὐτὸς τοῦ ἰσχυροῦ μεριεῖται σκῦλα ". καὶ πάλιν· " ἦλθε κηρῦξαι αἰχμαλώτοις ἄφεσιν ". ὁ Δαυὶδ δὲ μετὰ τούτου τὴν αἰχμαλωσίαν ταύτην προφητεύων ἔλεγεν· " ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν ". ἀλλὰ μὴ στυγνάσῃς ἀκούων αἰχμαλωσίαν· οὐδὲν γὰρ ταύτης τῆς αἰχμαλωσίας μακαριώτερον. ἡ μὲν γὰρ τῶν ἀνθρώπων αἰχμαλωσία ἀπὸ ἐλευθερίας εἰς δουλείαν ἄγει, αὕτη δὲ ἀπὸ δουλείας εἰς ἐλευθερίαν μεθίστησι· καὶ ἡ μὲν τῶν ἀνθρώπων ἀποστερεῖ πατρίδος καὶ πρὸς τὴν ξένην ἄγει, αὕτη δὲ ἡ αἰχμαλωσία ἐκβάλλει τῆς ξένης καὶ ἄγει πρὸς τὴν πατρίδα, τὴν ἄνω Ἱερουσαλήμ. ἡ τῶν ἀνθρώπων αἰχμαλωσία ἀποστερεῖ μητρός, αὕτη δὲ πρὸς τὴν μητέρα σε ἄγει τὴν κοινὴν πάντων ἡμῶν. ἐκείνη καὶ συγγενῶν καὶ πολιτῶν διαζεύγνυσιν, αὕτη δὲ πρὸς τοὺς πολίτας ἄγει τοὺς ἄνω· καὶ γὰρ " συμπολῖται ἐστέ " φησι " τῶν ἁγίων ". τὸ μὲν οὖν σχῆμα τοῦτον ἔχει τὸν λόγον.

7. Τίνος δὲ ἕνεκεν αἱ τῶν ἐξορκιστῶν φωναί, αἱ φοβεραὶ ἐκεῖναι καὶ φρικώδεις, ἀναμιμνήσκουσί σε τοῦ κοινοῦ δεσπότου, τῆς κολάσεως, τῆς τιμωρίας, τῆς γεέννης; διὰ τὴν ἀναισχυντίαν τῶν δαιμόνων. καὶ γὰρ πρόβατον ἀσφράγιστον ὁ κατηχούμενός ἐστι καὶ πανδοχεῖον ἔρημον καὶ ἀθύρωτον καταγώγιον πᾶσι προκείμενον

1 cf. Es. xx, 3 2 ἀνυπόδετως B ἀνυπόδητος A 3 ἀνυπόδητοι A 4 σε om B 5 συγγενείας B 6 ἀνυπόδητοι A || ἑστικότες B 7 καὶ post. om B 8 ὧ νῆν B 10 καὶ πρὸ A 11 cf. Es. liii, 12 12 Es. lxi, 1 13 Psalm. lxvii, 19 16 ἀνάγει B 20 ἄνω A ἁγίαν B 21 σε ἄγει A εἰσάγει B 23 γὰρ om B || Eph. ii, 19 25 ἐξορκόντων φωναὶ ἐκείναι ἐφοβεραὶ B 26 καὶ A αἱ B || ἀναμιμνήσκουσαι τοῦ AB.

ἁπλῶς, λῃστῶν καταδρομή, θηρίων καταφυγή, δαιμόνων οἴκησις. ἐπεὶ οὖν ἔδοξε τῷ βασιλεῖ διὰ πολλὴν φιλανθρωπίαν τὸ πανδοχεῖον τοῦτο τὸ ἔρημον, τὸ ἀθύρωτον, τὴν καταφυγὴν τῶν λῃστῶν βασιλικὰς αὐλὰς γενέσθαι, διὰ τοῦτο ἔπεμψε προετοιμάζοντας τὸ καταγώγιον ἡμᾶς τοὺς διδάσκοντας κἀκείνους τοὺς ἐξορκίζοντας. καὶ ἡμεῖς μὲν οἱ διδάσκοντες τοὺς τοίχους σαθροὺς ὄντας ποιοῦμεν ὀχυροὺς διὰ τῆς διδασκαλίας· "πᾶς" γάρ φησιν, "ὅστις ἀκούει μου τοὺς λόγους τούτους καὶ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν". ἀσφαλῆ καταβάλλωμεν τὰ θεμέλια, ἕως ἂν παραγένηται ὁ βασιλεύς. εἴ που ῥύπόν τινα καὶ βόρβορον ἴδωμεν, ἐξαντλοῦμεν· τοιοῦτον γὰρ ἡ συνήθεια τῆς ἁμαρτίας, δυσώδης καὶ ἀκάθαρτος. ἄκουσον γοῦν, πῶς αὐτῆς τὴν φύσιν ὁ Δαυὶδ λέγει· "ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ· προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου". ἡμεῖς μὲν ἐξαντλοῦμεν τὴν δυσωδίαν καὶ τίθεμεν τὸ μύρον τὸ πνευματικόν, οἱ δὲ ἐξορκίζοντες διὰ τῶν φοβερῶν ἐκείνων φωνῶν περισκοποῦσι, μή που θηρίον, μή που ὄφις, μή που ἔχις, μή που σκορπίος· μετὰ γὰρ τὸ τὴν φωνὴν ἀκοῦσαι τὴν φοβερὰν ἐκείνην, κἂν χαλεπὸν ᾖ τὸ θηρίον, οὐ δύναται καταδύεσθαι οὐδὲ φωλεύειν, ἀλλ' ἄνεισι καὶ δραπετεύει καὶ μὴ βουλόμενον.

8. Ἐβουλόμην εἰπεῖν καὶ ἕτερον, ὅπερ οὐχ ὑπεσχόμην εἰπεῖν· ἀναγκαῖον δὲ ἦν εἰπεῖν, τίνος ἕνεκεν ἡμεῖς μὲν πιστοί, οἱ δὲ ἀμύητοι κατηχούμενοι. καὶ γὰρ αἰσχρὸν ὄντως καὶ καταγέλαστον τιμὴν λαμβάνοντα μηδὲ τὸ ὄνομα τῆς τιμῆς εἰδέναι. ἀλλὰ τί πάθω; ἐπέστη μοι πάλιν ἡ τῶν ὅρκων φροντὶς καὶ βραδυτῆτα ἐνεκάλεσε καὶ τὸν λόγον ἕλκει πρὸς ἑαυτήν. διὰ τοῦτο τούτους εἰς τὴν ἐπιοῦσαν ἀναβαλλόμενοι τοὺς λόγους πρὸς τὴν περὶ τῶν ὅρκων παραίνεσιν τρεψώμεθα νῦν. δεινὸν ὁ ὅρκος, ἀγαπητέ, δεινὸν καὶ ἐπιβλαβές· φάρμακον ὀλέθριον, δηλητήριον χαλεπόν, τραῦμα

1 ὤκησις B 7 φησίν] Matth. VII, 24 8 τούτους om A 10 τὰ om B 11 τινα om B 13 Psalm. XXXVII, 5-6 15 ἀπὸ προσ. τ. ἀφροσ. μου om A 16 δυσωδείαν A || την δυσ. καὶ om B 20 καταδ. καὶ ἐμφολεύειν B 22 εἰπεῖν om B 24 ὄντως A οὕτως B 26/27 ἐνεγκάλεσεν B 29 τρεπώμεθα B || ἀγαπιτοι B



κεκρυμμένον, ἕλκος ἀφανές, νομὴ συνεσκιασμένη καὶ τὸν ἰὸν ἐπὶ τὴν ψυχὴν ἄγουσα· βέλος σατανικόν, ἀκόντιον πεπυρωμένον, μάχαιρα δίστομος, ῥομφαία ἠκονημένη, ἁμαρτία ἀσύγγνωστος, παρανομία ἀπολογίαν οὐκ ἔχουσα, βάραθρον βαθύ, κρημνὸς ἀπότομος, παγὶς ἰσχυρά, δίκτυον ἐκτεταμένον, δεσμὸς λυθῆναι μὴ δυνάμενος, βρόχος ἀδιεξόδευτος. ἆρα ἀρκεῖ ταῦτα καὶ πιστεύετε, ὅτι δεινὸν ὁ ὅρκος καὶ πάντων ἁμαρτημάτων χαλεπώτερον; πείσθητέ μοι, πείσθητε, παρακαλῶ· εἰ δέ τις ἀπιστεῖ, καὶ τὴν ἀπόδειξιν ἤδη παρέχομαι· ὅπερ γὰρ οὐδεμία ἁμαρτία κέκτηται, τοῦτο αὕτη ἡ ἁμαρτία ἔχει. τὰς μὲν γὰρ ἄλλας ἐντολὰς μὴ παραβαίνοντες ἀπαλλαττόμεθα τιμωρίας, τὸν δὲ ὅρκον πολλάκις καὶ φυλάττοντες καὶ παραβαίνοντες ὁμοίως κολαζόμεθα. τάχα οὐκ ἐνοήσατε τὸ λεχθέν; οὐκοῦν ἀνάγκη σαφέστερον αὐτὸ πάλιν εἰπεῖν. πολλάκις τις ὤμοσε πρᾶξαι πρᾶγμα παράνομον καὶ ἐνέπεσεν εἰς βρόχον ἄλυτον· ἀνάγκη γὰρ λοιπὸν ἢ φυλάξαντα τὸν ὅρκον παρανομεῖν, ἢ μὴ φυλάξαντα τὸν ὅρκον ἐγκλήματι ἐπιορκίας ἁλῶναι· καὶ γέγονεν ἑκατέρωθεν βαθὺς ὁ κρημνός, ἑκατέρωθεν ὁ θάνατος ἀπαραίτητος καὶ φυλάττουσι τὴν ἐντολὴν καὶ μὴ φυλάττουσιν. ἆρα ἔστιν ὀλεθριώτερόν τι τοῦ πλημμελήματος τούτου, ὅταν φυλάττηται καὶ μὴ φυλάττηται;

9. Καὶ ἵνα μάθητε, ὅτι τοῦτο οὕτως ἐστὶ καὶ πολλοὶ πολλάκις οὐχὶ παραβάντες τὸν ὅρκον μόνον, ἀλλὰ καὶ φυλάξαντες τὸν ὅρκον κολάσει ἑαυτοὺς ὑπευθύνους ἐποίησαν, ἐγὼ διήγημα τοιοῦτον ὑμῖν ἐρῶ. ὁ Ἡρώδης γενέσιά ποτε ἐπετέλει καὶ τὴν ἡμέραν ἦγεν, ἐν ᾗ ἐτέχθη· καὶ βουλόμενος αὐτὴν ποιῆσαι λαμπρὰν εἰσήγαγεν ὀρχήσασθαι τὴν θυγατέρα τῆς βασιλίδος, οὐκ εἰδὼς ὅτι μᾶλλον αὐτὴν κατῄσχυνε· καὶ γὰρ δέον εὐχαριστῆσαι τῷ φιλανθρώπῳ θεῷ, ὅτι οὐκ ὄντα αὐτὸν ἐποίησεν, ὅτι ψυχὴν ἔδωκεν, ὅτι αὐτὸν εἰσήγαγεν εἰς τὸ σεμνὸν τοῦτο τῆς κτίσεως θέατρον, ὅτι

2 βέλος σατανικὸν om B 3 ἀσύγνωστος B 4 οὐκ A μὴ B 5 δείκτυον A 6 δεινὸς B 10 μὲν om B 12 τάχα om B || οὐκ ἐνόησας B 13/14 ὤμωσε A ὁρκῶσε B 15 λοιπὸν usque ad παρανομεῖν ἢ om B || παρανομεῖν ἢ μὴ φυλάξαντα τὸν ὅρκον in margine codicis A 16 ἐγλήματι om B || ἐπιόρκία B 17 βαθύτερος A || ὁ post. om B 19 φυλάττει καὶ μὴ φυλάτ'την B 21 Καὶ om B || οὕτως A αὐτός B 23 κολάσεως αὐτοὺς B 24 ἐτέλει B 25 ἐν ᾗ A ὅτε B 29 εἰσήγαγεν αὐτὸν B || τὸ θέατρον B

θεατὴν ἐποίησε τῆς δημιουργίας τῆς καλλίστης ταύτης καὶ θαυμαστῆς, δέον ὕμνοις καὶ εὐχαριστίαις ταῖς εἰς τὸν δεσπότην τιμῆσαι τὴν ἡμέραν, ὁ δὲ τῇ ἀτιμίᾳ ἐτίμησεν. τί γὰρ ὀρχήσεως ἀτιμότερον; κατὰ ταύτην τὴν ἡμέραν ὠρχήσατο ἡ θυγάτηρ Ἡρωδιάδος. ἀκούσατε, καὶ ἄνδρες καὶ γυναῖκες, ὅσοι τοιούτοις ὀρχήμασι καὶ τοιούτοις ᾄσμασι τὰ ἄριστα τιμᾶτε τὰ ἑαυτῶν· οὐκ ἔστι ταῦτα μικρὰ τὰ κακά, εἰ καὶ δοκεῖ ἀδιάφορα εἶναι· διὰ γὰρ τοῦτό ἐστι μεγάλα κακά, ἐπειδὴ ἀδιάφορα εἶναι δοκεῖ· οὐδὲ γὰρ πολλῆς ἀπολαύει τῆς προνοίας· τὸ μὲν γὰρ μέγα νόσημα καὶ ἐπιμελείας τυγχάνον σβέννυται, τὸ δὲ μικρὸν εἶναι δοκοῦν, δι' αὐτὸ τοῦτο καταφρονούμενον, μέγα γίνεται. τί λέγεις; εἰς οἰκίαν πιστοῦ τολμᾷ τις ὄρχησιν εἰσάγειν καὶ οὐ δέδοικε, μὴ σκηπτὸς ἄνωθεν κατενεχθεὶς καταφλέξῃ πάντα; ταῦτα καὶ πρὸς τὰς γυναῖκας λέγω, ἵνα καὶ τοὺς ἄνδρας σωφρονίζωσι καὶ τῆς τοιαύτης ἀπαγάγωσι τέρψεως. κατὰ ταύτην τὴν ἡμέραν εἰσῆλθε καὶ ὠρχήσατο ἡ θυγάτηρ τῆς βασιλίδος. εὐλογητὸς ὁ θεός· πρὸς ὅσην σωφροσύνην τὸν βίον ἡμῶν μετέβαλεν. ἀκούσατε οἱ πιστοί, ποίῳ προσέρχεσθε νυμφίῳ, ὃς τὴν ζωὴν ἡμῶν ἀσχημονοῦσαν πρὸ τούτου κατεκόσμησεν αἰδοῖ καὶ σωφροσύνῃ καὶ σεμνότητι· ἃ γὰρ ἡ βασιλὶς τότε οὐκ ἐπῃσχύνετο πρᾶξαι, νῦν θεραπαινίδιον εὐτελὲς οὐκ ἂν ἕλοιτο ὑπομεῖναι. ὠρχήσατο τοίνυν ἐκείνη καὶ μετὰ τὴν ὄρχησιν ἑτέραν ἁμαρτίαν χαλεπωτέραν ἔπραξεν· ἔπεισε γὰρ τὸν ἀνόητον ἐκεῖνον ὁμολογῆσαι αὐτῇ μεθ' ὅρκου δοῦναι ὃ ἂν αἰτήσῃ. ὁρᾷς, ὅπως καὶ ἀνοήτους ὁ ὅρκος ποιεῖ; ὅπερ ἐὰν αἰτήσῃ, ἁπλῶς ὤμοσε δοῦναι. τί οὖν, εἰ τὴν κεφαλὴν ᾔτησε τὴν σήν; τί δέ, εἰ τὴν βασιλείαν ἅπασαν; πλὴν ἀλλ' οὐδὲν τούτων ἐκεῖνος σύνοιδεν. ἐφειστήκει γὰρ ὁ διάβολος τὴν παγίδα ποιῶν ἰσχυράν, καὶ

3 τῆς ὀρχίσεως B 4 κατ' αὐτὴν B 5 καὶ pr. om B || καὶόσοι B || ὀρχήσμασι A 6 καὶ τοιούτοις ᾄσμασιν in marg. cod. A 7 εἰ καὶ δοκεῖ in ras. cod. A εἰ om B || εἶναι δοκεῖ B 7/8 εἶναι usque ad ἀδιάφορα om B 12 εἰσαγαγῆν B 14 σωφρωνίζουσι B 14/15 ἀπαγάγωσι A ἀπαλλαγῶσιν B 15 κατ' αὐτὴν B ὀρχήσατο A 17 μετέβαλεν A εἰσήγαγεν B μετέβαλεν A εἰσήγαγεν B 18 ἄσχιμον οὖσαν B 19 αἰδεῖ καὶ A ἔδωκεν B || σωφροσύνην καὶ σεμνώτητα B 20 βασιλεὶς B βασίλισσα A || πρᾶξαι οὐκ ἐπαισχύνετω B 22 ἔπραξεν A ἔδιξεν B 23/24 αἰτίσηται B 24 ὁρᾷς om B || ὅπως δὲ καὶ ἀν. ὅρκους ποιεῖ B || ἂναιτήσει B 25 ὤμωσε A ὀμῶσαι B || δώσειν A || εἰ εἰς τὴν B 27 σύνηδεν B συνεῖδεν A || ἐφίστηκει A ἀφιστίκει B || ὁ διάβολος A ἁπλῶς B || καὶ om B



ἐξ οὗ τὸν ὅρκον ἀπήρτισε καὶ ἔθηκε τὴν παγίδα καὶ τὸ δίκτυον ἐξέτεινε πανταχοῦ, τότε ἐπάγει τὴν αἴτησιν ἐκείνην, ἵνα ἄφευκτος γένηται ἡ λαβή. "δός μοι", φησίν, "ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ". ἀναίσχυντος ἡ αἴτησις, ἀνόητος ἡ δόσις καὶ βλαβερά. ἀμφοτέρων τούτων ὁ ὅρκος αἴτιος. τί οὖν ἔδει ποιῆσαι; μνημονεύετέ μου ὅ τι ἔλεγον, ὅτι καὶ φυλάττοντες τὴν ἐντολὴν καὶ παραβαίνοντες ὁμοίως κολαζόμεθα. δοῦναι τὴν κεφαλὴν ἔδει τοῦ προφήτου; ἀλλ' ἀφόρητος ἡ κόλασις. ἀλλὰ μὴ δοῦναι; ἀλλ' ἐκδέξεται ἐπιορκίας ἔγκλημα. εἶδες, πῶς ἑκατέρωθεν ὁ κρημνός; "δός μοι", φησίν, "ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ". ὢ τῆς ἐναγοῦς αἰτήσεως· ἀλλ' ὅμως ἔπεισε καὶ ἐνόμιζεν ἐπιστομίζειν τὴν γλῶτταν ἐκείνην τὴν ἱεράν, ἣ δὲ μέχρι νῦν βοᾷ· καὶ γὰρ καθ' ἑκάστην ἡμέραν, μᾶλλον δὲ καθ' ἑκάστην ἐκκλησίαν ἀκούετε Ἰωάννου διὰ τῶν Εὐαγγελίων βοῶντος καὶ λέγοντος· "οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου". ἐξέτεμε τὴν κεφαλήν, ἀλλ' οὐκ ἐξέτεμε τὴν φωνήν· ἐπεστόμισε τὴν γλῶτταν, ἀλλ' οὐκ ἐπεστόμισε τὸν ἔλεγχον.

10. Ἴδετε, τί ποιεῖ ὁ ὅρκος· προφητῶν ἀποτέμνει κεφαλάς. εἶδες τὸ δέλεαρ, φοβήθητι τὸν ὄλεθρον· εἶδες τὸ δίκτυον, μὴ ἐμπέσῃς. ἀλλ' ἀνάγκη λοιπὸν φείσασθαι, ὥστε μὴ βαθυτέραν γενέσθαι τὴν τομήν· ἀνάγκη λοιπὸν ἀνασχεῖν τὴν χεῖρα καὶ τὸ σιδήριον ἡμαγμένον καὶ τὸν λόγον ἀπὸ τῶν τραυμάτων τῆς ἐπιορκίας εἰς σιγὴν ἀποθέσθαι. τοῦτο δὴ μέμνησθε καὶ οὐδέποτε ἁμαρτήσεσθε, ὅτι καὶ φυλάττοντες τὸν ὅρκον καὶ μὴ φυλάττοντες ὁμοίως κολάζεσθε. ποῦ νῦν εἰσιν οἱ λέγοντες, "Ἐὰν ἐπὶ δικαίῳ ὀμόσω"; ποῦ γὰρ δίκαιον τοῦτο, ὅταν νόμου παράβασις ᾖ; ποῦ δίκαιον, ὅταν ὁ θεὸς κωλύῃ, σὺ δὲ ποιεῖς; ἀλλὰ γὰρ ἀνάσχεσθε λοιπὸν ἐπιδεσμούντων ἡμῶν τὰ τραύματα· ἔχει γάρ τι καὶ ὁ ἐπίδεσμος ὀδυνηρόν. χαλεπὴ μὲν γὰρ καὶ τῆς ἐπιορκίας καὶ

1 δείκτυον B 2 ἐκείνη corr. cod. B 3 λαβὴ A βλάβη B || Matth. XIV, 8 8 προφήτου A προδρόμου B || ἀλλ' om B 9 ἀλλ' ἐκδέξεται A ἐδεδείει τὸ τῆς B 12 ἐπιστομῆσαι B 13 μαλλον δὲ κατὰ πάσαν B 14 διατοῦ εὐαγγελίου B 15 cf. Matth. XIV, 4. Marc. VI, 18 17 ἀπεστόμησεν B 18 ἴδε B || ἀπέτεμεν B 20 βαρυτέραν B 22 τραυμάτων om B 23 δὴ B δὲ A || μέμνησθε A τέμνησθαι B 25 κολάζονται B || ἂν B 26 ὀμώσω AB 26/27 νόμου usque ad ὅταν om B 27 κωλύει A κολύσει B || δὲ om B 27/28 ἀνέχεσθαι B

τῆς εὐορκίας ἡ κόλασις καὶ πρὸ τῆς διδασκαλίας τῆς ἡμετέρας, χαλεπωτέρα δὲ καὶ μετὰ τὴν διδασκαλίαν τὴν ἡμετέραν. "εἰ γὰρ μὴ ἦλθον", φησί, "καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας". τοῦτο καὶ ἐφ' ὑμῶν ἐστιν εἰπεῖν, ὅτι οὐδὲ μία λοιπὸν ὑμῖν ἀπολογία παραβαίνουσι. νῦν μὲν οὖν τὸ βάπτισμα, κἂν ἐπιορκίαν εὕρῃ, κἂν εὐορκίαν, κἂν πορνείαν, κἂν μοιχείαν, κἂν πᾶσαν τὴν κακίαν, ἀπορρύπτει καὶ καθαίρει μετὰ πολλῆς τῆς ἀκριβείας· γένοιτο δὲ καὶ εἰς τὸ ἑξῆς καὶ ὑμᾶς τὴν καθαρότητα διατηρῆσαι ταύτην, πάσης ἀπηλλαγμένους κηλῖδος, καὶ ἡμᾶς δυνηθῆναι παρρησίας τινὸς μετασχεῖν εὐχαῖς ταῖς ὑμετέραις· ἔξεστι γὰρ ὑμῖν καὶ ὑπὲρ διδασκάλων εὔχεσθαι λοιπόν. καὶ γὰρ μετὰ μικρὸν ἡμῖν ἀπὸ τῶν οὐρανῶν μέλλετε φαίνεσθαι τῶν ἀστέρων αὐτῶν φαιδρότερον λάμποντες. γένοιτο οὖν εὐχαῖς ταῖς ὑμετέραις παρρησίας ἡμᾶς μετασχεῖν ἅπαντας ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

## 2.

### *Τοῦ αὐτοῦ πρὸς τοὺς μέλλοντας φωτίζεσθαι κατήχησις ἐσχάτη.*

### Λόγος γ΄.

1. Ἐσχάτη τῆς κατηχήσεως ἡ σήμερον ἡμέρα· διὸ καὶ ὁ πάντων ἔσχατος εἰς τὴν ἐσχάτην ἀφῖγμαι· ἀφῖγμαι δὲ ἔσχατος ἀπαγγέλλων ὑμῖν, ὅτι μετὰ δύο ἡμέρας ὁ νυμφίος ἔρχεται. ἀλλὰ διανάστητε καὶ τὰς λαμπάδας ἀνάψατε καὶ φαιδρῷ τῷ φωτὶ τὸν βασιλέα τῶν οὐρανῶν ὑποδέξασθε. ἀνάστητε καὶ γρηγορήσατε· οὐ γὰρ ἐν ἡμέρᾳ, ἀλλὰ μέσον τῶν νυκτῶν ὁ νυμφίος

1 καὶ τῆς εὐορκίας om B 2 δὲ om B 3 Iohan. xv, 22 || φησί om B 5 ἡμῶν λοιπῶν B 7 κἂν μοιχείαν usque ad κακίαν om B 8 ἀπορίπτει A ἀποκρύπτει B 9 ταεξῆς B 10 ἀπηλ. πάσης B 12 εὔχεσθαι. λοιπῶν γὰρ καὶ μεταμικρὸν ἀπὸ B 15 μετασχεῖν ὑμᾶς πάντας B || καὶ om B 16 ἡ om B

19 **A**=cod. Mosquensis $\frac{129}{\text{cxxx}}$ f. 371b—380a.



πρὸς ὑμᾶς ἔρχεται· καὶ γὰρ τῆς νυμφαγωγίας τοῦτο τὸ ἔθος, ἐν ἑσπέρᾳ βαθείᾳ τὰς νύμφας παραδίδοσθαι τοῖς νυμφίοις. ἀλλὰ μὴ παραδράμητε ἁπλῶς τὸ ῥῆμα ἀκούσαντες, ὅτι νυμφίος ἔρχεται· μέγα γὰρ ὄντως καὶ πολλῆς γέμον φιλανθρωπίας. οὐχὶ τὴν φύσιν τῶν ἀνθρώπων πρὸς αὐτὸν ἀπελθεῖν ἐκέλευσεν, ἀλλ' αὐτὸς πρὸς ἡμᾶς παρεγένετο· καὶ γὰρ οὕτως γάμων ὁ νόμος, τὸν νυμφίον ἔρχεσθαι πρὸς τὴν νύμφην, κἂν ὁ μὲν εὐπορώτατος ᾖ, ἡ δὲ εὐτελὴς καὶ ἀπερριμμένη. ἀλλ' ἐπ' ἀνθρώπων μὲν οὐδὲν θαυμαστὸν τοῦτο γίνεσθαι· κἂν γὰρ τῆς ἀξίας πολὺ τὸ διάφορον ᾖ, ἀλλὰ τῆς φύσεως οὐδέν ἐστι τὸ μέσον· κἂν γὰρ εὔπορος ὁ νυμφίος, πτωχὴ δὲ ἡ νύμφη καὶ εὐτελής, ἀλλὰ τῆς αὐτῆς ἀμφότεροι φύσεως. ἐπὶ δὲ τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας τὸ θαῦμά ἐστιν, ὅτι θεὸς ὢν καὶ τῆς μακαρίας καὶ ἀκηράτου οὐσίας ἐκείνης (ἴστε δὲ ὅσον τὸ μέσον θεοῦ πρὸς ἀνθρώπους) κατηξίωσε πρὸς τὴν ἡμετέραν φύσιν ἐλθεῖν· καὶ τὸν πατρῷον οἶκον ἀφεὶς οὐ τῇ μεταβάσει, ἀλλὰ τῇ κατὰ τὴν σάρκα οἰκονομίᾳ πρὸς τὴν νύμφην ἔδραμε. τοῦτο γοῦν καὶ αὐτὸς ὁ μακάριος Παῦλος εἰδὼς καὶ θαυμάσας τῆς κηδεμονίας καὶ τῆς τιμῆς τὴν ὑπερβολὴν ἀνέκραγε μέγα καὶ εἶπεν· "ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ. τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν".

2. Καὶ τί θαυμαστόν, εἰ πρὸς τὴν νύμφην ἦλθεν, ὅπου γε καὶ τὴν ψυχὴν θεῖναι ὑπὲρ αὐτῆς οὐ παρῃτήσατο; καίτοι γε οὐδεὶς νυμφίος ὑπὲρ νύμφης ψυχὴν ἔθηκεν· οὐδεὶς γάρ, οὐδεὶς ἐραστής, κἂν σφόδρα ᾖ μανικός, οὕτω τῆς ἐρωμένης περικαίεται τῆς ἑαυτοῦ, ὡς ὁ θεὸς τῆς σωτηρίας τῶν ἡμετέρων ἐφίεται ψυχῶν. "κἂν ἐμπτυσθῆναι δέῃ", φησίν, "κἂν ῥαπισθῆναι, κἂν εἰς αὐτὸν ἀναβῆναι τὸν σταυρόν, οὐδὲ σταυρωθῆναι παραιτήσομαι, ὥστε τὴν νύμφην λαβεῖν". ταῦτα δὲ ἔπασχε καὶ ὑπέμεινεν οὐχὶ τὸ κάλλος αὐτῆς θαυμάσας· οὐδὲν γὰρ ταύτης αἰσχρότερον οὐδὲ ἀτερπέστερον ἦν πρὸ τούτου. ἄκουσον γοῦν, πῶς ὁ Παῦλος τὴν ἀμορφίαν αὐτῆς καὶ τὴν αἰσχρότητα διαγράφει· "ἦμεν γάρ ποτε καὶ ἡμεῖς

19/22 Ephes. vi, 31-32 28/30 κἂν — λαβεῖν] agraphon? 32/33 Tit. iii, 3

ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, στυγητοί, μισοῦντες ἀλλήλους". ἀλλήλους ἐμισοῦμεν (τοσαύτη τῆς κακίας ἦν ἡ ὑπερβολή), ὁ δὲ θεὸς ἡμᾶς τοὺς ἀλλήλους μισοῦντας οὐκ ἐμίσησεν, ἀλλὰ τοὺς ἐν αἰσχρότητι τοσαύτῃ, τοὺς ἐν ἀμορφίᾳ ὄντας ψυχῆς, τούτους διέσωσε. καὶ ἐλθὼν καὶ εὑρὼν τὴν μέλλουσαν αὐτῷ νυμφαγωγεῖσθαι γυμνὴν καὶ ἀσχημονοῦσαν ἱμάτιον αὐτὴν περιέβαλε καθαρὸν καὶ οὗ τὴν λαμπρότητα καὶ τὴν δόξαν οὐδεὶς οὐ λόγος οὐ νοῦς παραστῆσαι δυνήσεται. πῶς εἴπω; ὡς ἱμάτιον ἑαυτὸν ἡμῖν περιέβαλεν· "ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε". τοῦτο τὸ ἱμάτιον ἄνωθεν ἰδὼν προφητικοῖς ὀφθαλμοῖς ὁ Δαυὶδ ἐβόα καὶ ἔλεγε· "παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου". βασίλισσα ἀθρόον γέγονεν ἡ πτωχὴ καὶ ἀπερριμμένη καὶ πλησίον ἔστηκε τοῦ βασιλέως, καὶ καθάπερ νυμφίον καὶ νύμφην ἐν ἱερᾷ παστάδι ἑστῶτας οὕτω δείκνυσι τὴν Ἐκκλησίαν καὶ τὸν Χριστὸν ὁ προφήτης· "ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη". ἰδοὺ καὶ τὸ ἱμάτιον εἶπέ σοι· εἶτα, ἵνα μὴ χρυσὸν ἀκούσας πρὸς τὰ αἰσθητὰ καταπέσῃς, ἀνάγει σου τὴν διάνοιαν καὶ παραπέμπει πρὸς τὴν τῶν νοητῶν θεωρίαν ἐπάγων καὶ λέγων· "πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν". βούλει καὶ τὰ ὑποδήματα αὐτῆς ἰδεῖν; οὐδὲ ταῦτα ἀπὸ αἰσθητῆς ὕλης ἐστὶν ἐρραμμένα, οὐδὲ ἀπὸ κοινῶν συγκείμενα δερμάτων, ἀλλ' ἀπὸ εὐαγγελίου καὶ εἰρήνης· "ὑποδήσασθε" γάρ φησι "τοὺς πόδας ὑμῶν ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης". θέλεις σοι δείξω καὶ τὴν ὄψιν τῆς νύμφης αὐτὴν ἀπαστράπτουσαν καὶ κάλλος ἀμήχανον ἔχουσαν, πολὺ μὲν περὶ αὐτὴν πλῆθος ἀγγέλων, ἀρχαγγέλων; πλὴν ἀλλ' ἐπιλαβώμεθα τῆς χειρὸς τοῦ νυμφαγωγοῦ Παύλου, ὃς τὸ πλῆθος διατεμὼν εἰσαγαγεῖν ἡμᾶς πρὸς αὐτὴν δυνήσεται. τί οὖν οὗτος φησίν; "οἱ ἄνδρες, ἀγαπᾶτε τὰς ἑαυτῶν γυναῖκας, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι". εἶδες αὐτῆς τὸ σῶμα καθαρὸν καὶ φαιδρόν; εἶδες ὡραίαν ὑπὲρ τὰς ἡλιακὰς ἀστράπτουσαν ἀκτῖνας;

9/10 Gal. III, 27   11 et 15 Psalm. XLIV, 10   19 Psalm. XLIV, 14   22 cf. Ephes. VI, 15   26 ἐπιλαβόμεθα A   27 ὃς *: καὶ A   28 Ephes. V, 25-26   31 ἴδες A   32 ἴδες A



εἶτα ἐπάγει, "ἵνα ᾖ ἁγία καὶ ἄμωμος, μὴ ἔχουσα σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων". εἶδες αὐτὸ τῆς νεότητος τὸ ἄνθος, αὐτὴν τῆς ἡλικίας τὴν ἀκμήν; βούλει καὶ τὸ ὄνομα αὐτῆς μαθεῖν; πιστὴ καλεῖται καὶ ἁγία. "Παῦλος" γάρ φησιν "ἀπόστολος Χριστοῦ Ἰησοῦ τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ".

3. Ἀλλὰ τὸ ὄνομα τῆς νύμφης ἀκούσας ἀνέμνησα ἐμαυτὸν ὀφλήματος παλαιοῦ· καὶ γὰρ ἤμην ὑποσχόμενος ὑμῖν, τίνος ἕνεκεν πιστοὶ λεγόμεθα. τίνος οὖν ἕνεκεν λεγόμεθα; πράγματα ἐπιστεύθημεν οἱ πιστοί, ἅπερ οἱ τοῦ σώματος ἡμῶν ὀφθαλμοὶ ἰδεῖν οὐ δύνανται· οὕτως ἔστι μεγάλα καὶ φρικώδη καὶ τὴν φύσιν ὑπερβαίνει τὴν ἡμετέραν. οὔτε γὰρ λογισμὸς εὑρεῖν οὔτε λόγος ἀνθρώπινος ἑρμηνεῦσαι αὐτὰ δυνήσεται, μόνη δὲ ἡ τῆς πίστεως οἶδεν αὐτὰ διδασκαλία καλῶς. διὰ τοῦτο διπλοῦς ἡμῖν ἐποίησεν ὀφθαλμοὺς ὁ θεός, τοὺς μὲν τῆς σαρκός, τοὺς δὲ τῆς πίστεως. ὅταν εἰσέλθῃς εἰς τὴν ἱερὰν μυσταγωγίαν, οἱ μὲν ὀφθαλμοὶ τῆς σαρκὸς τὸ ὕδωρ ὁρῶσιν, οἱ δὲ ὀφθαλμοὶ τῆς πίστεως τὸ πνεῦμα βλέπουσι· κἀκεῖνοι μὲν τὸ σῶμα θεωροῦσι βαπτιζόμενον, οὗτοι δὲ τὸν παλαιὸν ἄνθρωπον θαπτόμενον· ἐκεῖνοι τὴν σάρκα λουομένην, οὗτοι τὴν ψυχὴν καθαιρομένην· ἐκεῖνοι τὸ σῶμα ἀναβαῖνον ἀπὸ τῶν ὑδάτων, οὗτοι τὸν καινὸν ἄνθρωπον καὶ ἀποστίλβοντα βλέπουσιν ἀναβαίνοντα ἀπὸ τῆς ἱερᾶς ταύτης καθάρσεως. κἀκεῖνοι μὲν τὸν ἱερέα βλέπουσιν ἄνωθεν ἐπιτιθέντα τὴν χεῖρα τὴν δεξιὰν καὶ τῆς κεφαλῆς ἁπτόμενον, οὗτοι δὲ τὸν ἀρχιερέα τὸν μέγαν ἐκ τῶν οὐρανῶν θεωροῦσι τὴν δεξιὰν τὴν ἀόρατον ἐκτείνοντα καὶ τῆς κεφαλῆς ἁπτόμενον· οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ τότε βαπτίζων, ἀλλ' αὐτὸς ὁ μονογενὴς τοῦ θεοῦ παῖς. καὶ ὅπερ ἐπὶ τῆς δεσποτικῆς ἐγένετο σαρκός, τοῦτο καὶ ἐπὶ τῆς ἡμετέρας γίνεται· καθάπερ γὰρ ἐκείνην τῷ μὲν δοκεῖν Ἰωάννης ἀπὸ τῆς κεφαλῆς κατεῖχεν, ὁ δὲ θεὸς λόγος εἰς τὰ Ἰορδάνεια ῥεῖθρα κατῆγε καὶ ἐβάπτιζε καὶ ἄνωθεν ἡ πατρικὴ φωνὴ λέγουσα, "οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός", οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον διὰ τῆς ἐπιφοιτήσεως.

1/2 Ephes. V, 27   2 ἴδες A   4 Ephes. I, 1   19 παλαιὸν ἄνθρωπον] cf. Ephes. IV, 22   21 καινὸν ἄνθρωπον] cf. Ephes. IV, 24   30 ἰορδάνια A   31 Matth. III, 17   32 ἐπιφυτήσεως A

τοῦτο καὶ ἐπὶ τῆς σῆς γίνεται σαρκός· εἰς γὰρ ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος τὸ βάπτισμα γίνεται. διὰ τοῦτο καὶ Ἰωάννης ἔλεγε παιδεύων ἡμᾶς, ὅτι οὐκ ἄνθρωπος ἡμᾶς βαπτίζει, ἀλλ' ὁ θεός· " ὀπίσω μου ἔρχεται ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ. αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί ". διὰ τοῦτο καὶ ὁ ἱερεὺς βαπτίζων οὐ λέγει " Βαπτίζω τὸν δεῖνα ", ἀλλὰ " Βαπτίζεται ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ", δεικνὺς ὅτι οὐκ αὐτός ἐστιν ὁ βαπτίζων, ἀλλ' ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὧν καὶ τὸ ὄνομα ἐπικέκληται. διὰ τοῦτο καὶ ἡ σήμερον ἡμῶν ἀπαγγελία πίστις λέγεται, καὶ οὐδὲν ἕτερον ὑμῖν ἐπιτρέπομεν εἰπεῖν πρότερον, ἕως ἂν εἴπητε ὅτι " Πιστεύω". τὸ ῥῆμα τοῦτο θεμέλιος ἄσειστος, οἰκοδομὴν ἔχων ἄνωθεν ἀσάλευτον. διὰ τοῦτο καὶ Παῦλος φησί· " πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ θεῷ, ὅτι ἔστι ". διὰ τοῦτο καὶ σὺ προσερχόμενος τῷ θεῷ πρῶτον πιστεύεις καὶ τότε τοῦτο φθέγγει τὸ ῥῆμα· ἐὰν γὰρ μὴ τοῦτο ᾖ, οὐδὲν τῶν ἄλλων οὔτε εἰπεῖν οὔτε νοῆσαι δύνασαι. καὶ ἵνα τὴν ἄρρητον ἐκείνην καὶ ἀμάρτυρον παραλείπω γέννησιν, ταύτην τὴν κάτω γενομένην, ἧς πολλοὶ μάρτυρες ἐγένοντο, παραγαγὼν εἰς μέσον δι' αὐτῆς σε τῶν πραγμάτων τῆς ἀποδείξεως πιστώσομαι, ὅτι πίστεως ἄνευ οὐ δυνατὸν οὐδὲ ταύτην καταδέξασθαί ποτε. ὁ ἀχώρητος, ὁ πάντα συνέχων καὶ διακρατῶν, εἰς μήτραν ἦλθε παρθενικήν· πῶς, εἰπέ μοι, καὶ τίνι τρόπῳ; ἀποδεῖξαι μὲν οὐκ ἔστιν· ἂν δὲ ἐπὶ τὴν πίστιν ἔλθῃς, ἐκείνη σε πληροφορῆσαι δυνήσεται· τὰ γὰρ ὑπερβαίνοντα τῶν ἡμετέρων λογισμῶν τὴν ἀσθένειαν τῇ τῆς πίστεως ἐπιτρέπειν διδασκαλίᾳ χρή. τοῦτον τὸν τρόπον τῆς γεννήσεως οὔτε Ματθαῖος οἶδεν αὐτὸς ὁ γράψας. ὅτι μὲν γὰρ " εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου" εἶπεν, τὸν δὲ τρόπον οὐκ ἐδίδαξεν. οὔτε Γαβριὴλ ἐπίσταται, καὶ γὰρ καὶ ἐκεῖνος, τοῦτό φησι μόνον· " πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι ". τὸ δὲ πῶς καὶ τίνι τρόπῳ οὐδὲ αὐτὸς ἐπίσταται.

4 cf. Luc. III, 16. Iohan. I, 27 6/7 βαπτίζων in margine codicis A 13 ἔχον A 14 Hebr. XI, 6 22 κατὰ δέξαισθαι A || ἀχώρητος *: ἀφόρητος A 27/28 Matth. I, 18 30 Luc. I, 35



4. Ἀλλὰ τὸν μὲν περὶ πίστεως λόγον τῷ διδασκάλῳ παραχωρήσομεν, καὶ ἡμῖν δὲ δυνατὸν ἐν ἑτέρῳ καιρῷ πρὸς ὑμᾶς εἰπεῖν, ὅταν πολλοὶ τῶν ἀμυήτων παρῶσιν· ἃ δὲ ἀνάγκη μόνους ἀκοῦσαι ὑμᾶς νῦν καὶ οὐ δυνατὸν ἐκείνων ἀναμεμιγμένων ὑμῖν εἰπεῖν, ταῦτα τήμερον ἀναγκαῖον εἰπεῖν. τίνα οὖν ἐστι ταῦτα; μετὰ τὴν αὔριον τῇ Παρασκευῇ, ὥρᾳ ἐνάτῃ, ἀνάγκη τινὰ ὑμᾶς ἀπαιτηθῆναι ῥήματα καὶ συνθήκας θέσθαι πρὸς τὸν δεσπότην. οὐχ ἁπλῶς δὲ ὑμᾶς οὐδὲ τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἀνέμνησα ταύτην· ἀλλὰ ἔστι καὶ ἀπὸ τούτων μαθεῖν τι μυστικόν. καὶ γὰρ τῇ Παρασκευῇ, ἐνάτῃ ὥρᾳ, ὁ λῃστὴς εἰς τὸν παράδεισον εἰσῆλθε καὶ τὸ σκότος κατελύθη τὸ ἀπὸ τῆς ἕκτης ὥρας ἕως τῆς ἐνάτης, καὶ τὸ αἰσθητὸν καὶ τὸ νοητὸν φῶς τότε ὑπὲρ τῆς οἰκουμένης ἀνηνέχθη θυσία· τότε γάρ φησιν ὁ Χριστός· " πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου ". τότε τὸν ἥλιον τῆς δικαιοσύνης ἰδὼν ἀπὸ τοῦ σταυροῦ λάμποντα ὁ αἰσθητὸς οὗτος ἥλιος τὰς ἀκτῖνας ἀπέστρεψεν. ὅταν οὖν μέλλῃς εἰσάγεσθαι καὶ σὺ κατὰ τὴν ἐνάτην ὥραν, ἀναμιμνήσκου καὶ σὺ τοῦ μεγέθους τῶν κατορθωμάτων καὶ τὰς δωρεὰς ἀρίθμει ταύτας παρὰ σαυτῷ, καὶ οὐκ ἔσῃ λοιπὸν ἐπὶ τῆς γῆς, ἀλλὰ διαναστήσῃ καὶ τῶν οὐρανῶν αὐτῶν ἐπιλήψῃ τῇ ψυχῇ. δεῖ τοίνυν εἰσαχθέντας ὑμᾶς τότε κοινῇ πάντας (καὶ γὰρ καὶ τοῦτο παρατήρει, ὅτι πάντα κοινῇ δίδοται πᾶσιν ὑμῖν, ἵνα μήτε ὁ πλούσιος ὑπερίδῃ τοῦ πένητος, μήτε ὁ πένης ἔλαττον ἔχειν τι τοῦ πλουσίου νομίζῃ· ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε ἄρσεν οὔτε θῆλυ, οὐ Σκύθης, οὐ Βάρβαρος, οὐχ Ἰουδαῖος, οὐχ Ἕλλην· οὐχ ἡλικίας δὲ μόνον καὶ φύσεως, ἀλλὰ καὶ ἀξίας πάσης ἀνωμαλία ἀνῄρηται· ἓν πᾶσιν ἀξίωμα, μία δωρεά, εἷς ἀδελφότητος ἡμῖν σύνδεσμος, ἡ αὐτὴ χάρις), δεῖ τοίνυν εἰσαχθέντας ὑμᾶς τότε κοινῇ κλῖναι γόνυ πάντας, οὐκ ὀρθοὺς ἑστάναι, καὶ τὰς χεῖρας ἀνατείναντας εἰς τὸν οὐρανὸν εὐχαριστῆσαι τῷ θεῷ τῆς δωρεᾶς ἕνεκεν ταύτης. ἐπὶ γόνυ δὲ οἱ ἱεροὶ κελεύουσι κεῖσθαι νόμοι, ὥστε καὶ διὰ τοῦ σχήματος ὁμολογῆσαι τὴν δεσποτείαν. ὅτι γὰρ τὸ γόνυ κάμψαι ⟨τῶν⟩ τὴν δουλείαν ὁμολογούντων ἐστίν, ἄκουσον τί φησιν ὁ Παῦλος· ὅτι " αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ

6 ὥραν ἐνάτην A; cf. lin. 10 13 Luc. XXIII, 46 14 ἥλ. τ. δικαιοσύνης] cf. Mal. IV, 2 24 cf. Colos III, 11 || οὐχ *: οὐκ A 25 οὐκ A 32 τῶν inserui 33 Phil. II, 10.

ἐπιγείων καὶ καταχθονίων ”. κλίναντας οὖν τὰ γόνατα κελεύουσι λέγειν μυσταγωγοῦντες ταῦτα τὰ ῥήματα· “ Ἀποτάσσομαί σοι, Σατανᾶ ”.

5. Δακρῦσαί μοι νῦν ἐπῆλθε καὶ συνεχύθην τὴν διάνοιαν καὶ πικρὸν ἐστέναξα. τίνος ἕνεκεν ἀνεμνήσθην τῆς ἱερᾶς ἑσπέρας ἐκείνης, καθ' ἣν τὴν μακαρίαν ταύτην κατηξιώθην ἀφεῖναι φωνήν, καθ' ἣν ἐπὶ τὴν φρικώδη καὶ ἁγίαν μυσταγωγίαν ἠγόμην; ἀνεμνήσθην τῆς τότε καθαρότητος καὶ τῶν ἁμαρτημάτων, ὅσα μετ' ἐκείνην εἰς τὴν παροῦσαν ἡμέραν συνέλεξα. καθάπερ οὖν γυναικῶν ὅσαι περ ἂν ἀπὸ πλούτου καὶ εὐπορίας εἰς πτωχείαν τὴν ἐσχάτην κατενεχθῶσιν, ὁρῶσαι κόρας ἑτέρας νυμφευομένας καὶ εὐπόροις διδομένας νυμφίοις καὶ πολλῆς ἀπολαυούσας τιμῆς καὶ μετὰ θεραπείας καὶ πομπῆς ἀπαγομένας ἀλγοῦσι καὶ ὀδυνῶνται, οὐ τοῖς ἀλλοτρίοις φθονοῦσαι καλοῖς, ἀλλ' ἐν ταῖς ἑτέρων εὐπραγίαις ἀκριβέστερον τὰς ἑαυτῶν καταμανθάνουσαι συμφοράς, τοιοῦτον δή τι καὶ αὐτὸς πέπονθα νῦν. ἀλλ' ἵνα μὴ τὰ ἐμαυτοῦ διηγούμενος κακὰ νῦν ἐπὶ τὸ σκυθρωπότερον τὸν λόγον ἀγάγω, φέρε πρὸς ὑμᾶς ἐπανέλθωμεν πάλιν.

6. “ Ἀποτάσσομαί σοι, Σατανᾶ ”. τί γέγονε; τί τὸ ξένον καὶ παράδοξον; ὁ δεδοικώς, ὁ τρέμων κατεξανέστης τοῦ τυράννου; καταφρονεῖς αὐτοῦ τῆς ὠμότητος; τίς σε εἰς τοσαύτην ἀπόνοιαν ἐπῆρε; πόθεν σοι τὸ θαρρεῖν ἐγένετο; “ Ὅπλον ἔχω ”, φησίν, “ ἰσχυρόν ”. ποῖον ὅπλον, ποίαν συμμαχίαν; εἰπέ μοι. “ Συντάσσομαί σοι, Χριστέ ”, φησί· “ διὰ τοῦτο θαρρῶ καὶ κατεξανίσταμαι· ἰσχυρὰν γὰρ ἔχω καταφυγήν. αὕτη με τοῦ δαίμονος ἐποίησεν ἀνώτερον, τὸν πρὸ τούτου δεδοικότα καὶ τρέμοντα. διὰ τοῦτο οὐχὶ αὐτῷ μόνῳ, ἀλλὰ καὶ πάσῃ αὐτοῦ ἀποτάσσομαι τῇ πομπῇ ”. πομπὴ δὲ διαβόλου πᾶν εἶδος ἁμαρτίας ἐστί, θέατρα παρανομίας, ἱπποδρομίαι, συνέδρια γέλωτος καὶ αἰσχρολογίας γέμοντα· πομπὴ διαβόλου οἰωνισμοὶ καὶ μαντεῖαι, κληδόνες καὶ παρατηρήσεις καιρῶν, καὶ σύμβολα καὶ περίαπτα καὶ ἐπῳδαί. θαυμαστὸν περίαπτον ὁ σταυρὸς ἔχει καὶ μεγίστην ἐπῳδήν, καὶ μακαρία ἡ ψυχὴ ἡ λέγουσα τὸ ὄνομα Ἰησοῦ Χριστοῦ τοῦ σταυρωθέντος· τοῦτο κάλεσον

15 τοιούτῳ A   16 ἑαυτοῦ A   24 σοι *: σου A



καὶ πᾶν νόσημα φεύξεται, πᾶσα ἐπιβουλὴ παραχωρήσει σοι σατανική. τούτων οὖν μέμνησο τῶν ῥημάτων· αὗται αἱ συνθῆκαι πρὸς τὸν νυμφίον εἰσί. καθάπερ γὰρ ἐπὶ τῶν γάμων τὰ τῶν ἕδνων καὶ τῆς φερνῆς ἀνάγκη συντελεῖσθαι γραμματεῖα, οὕτω καὶ νῦν πρὸ τῶν γάμων γίνεται· γυμνήν σε εὗρε καὶ πτωχὴν καὶ ἀσχημονοῦσαν, καὶ οὐ παρέδραμε· τῆς προαιρέσεώς σου γὰρ δεῖται μόνης. ἀντὶ προικὸς τοίνυν ταῦτα εἰσένεγκε τὰ ῥήματα καὶ μέγαν ἡγήσεται πλοῦτον ὁ Χριστός, ἂν ταῦτα φυλάττῃς διὰ παντός· πλοῦτος γὰρ ἐκείνου τῶν ἡμετέρων ψυχῶν ἡ σωτηρία. ἄκουσον, πῶς φησιν ὁ Παῦλος· “ πλουτῶν εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν ”.

7. Μετὰ δὲ τὰ ῥήματα ταῦτα, μετὰ τὴν ἀποταγὴν τοῦ διαβόλου, μετὰ τὴν συνταγὴν τὴν πρὸς τὸν Χριστόν, ἅτε οἰκείους γεγενημένους λοιπὸν καὶ οὐδὲν κοινὸν ἔχοντας πρὸς ἐκεῖνον, εὐθέως σφραγίζεσθαι κελεύει καὶ ἐπὶ τοῦ μετώπου δίδωσί σοι τὸν σταυρόν. ἐπειδὴ γὰρ εἰκὸς τὸ θηρίον ἐκεῖνο ταῦτα ἀκοῦσαν τὰ ῥήματα ἀγριωθῆναι μᾶλλον (ἀναίσχυντον γάρ ἐστι) καὶ αὐτῇ βούλεται ἐπιπηδῆσαι τῇ ὄψει, διὰ τοῦ χρίσματος ἐντυπῶν σου τῷ προσώπῳ τὸν σταυρὸν ἅπασαν αὐτοῦ καταστέλλει τὴν μανίαν· οὐ γὰρ τολμήσει πρὸς τοιαύτην ἀντιβλέψαι λοιπὸν ὄψιν, ἀλλ' ὥσπερ ἀκτῖνας ὁρῶν ἐκπηδώσας ἐκεῖθεν, οὕτως ἀποτυφλωθεὶς τοὺς ὀφθαλμοὺς ἄπεισιν. ἐντυποῦται δὲ ὁ σταυρὸς διὰ τοῦ χρίσματος· τὸ δὲ χρῖσμα τοῦτο ἔλαιον ὁμοῦ καὶ μύρον ἐστί, μύρον μὲν ὡς νύμφην, ἔλαιον δὲ ὡς ἀθλητήν. καὶ ὅτι πάλιν οὐκ ἄνθρωπος, ἀλλ' αὐτός σε χρίει ὁ θεὸς διὰ τῆς τοῦ ἱερέως χειρός, ἄκουσον τοῦ Παύλου λέγοντος· “ ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν καὶ χρίσας ἡμᾶς, θεός ”. ἐπειδὰν δὲ τοῦτο τὸ ἄλειμμα ἀλείψῃ πάντα τὰ μέλη, μετὰ ἀδείας τὸν δράκοντα κατέχειν δύνασαι καὶ οὐδὲν πείσῃ δεινόν.

8. Μετὰ τὴν χρῖσιν τοίνυν ταύτην ἐπὶ τὴν κολυμβήθραν τῶν ἁγίων ὑδάτων λείπεται ἐλθεῖν. τότε ἀποδύσας σε τὸ ἱμάτιον ὁ ἱερεύς, αὐτός σε κατάγει ἐπὶ τὰ νάματα. τίνος οὖν ἕνεκεν γυμνόν; ἀναμιμνήσκει σε τῆς προτέρας γυμνότητος, ὅτε ἦς ἐν τῷ παρα-

4 φέρνης A || γραμμάτεια A   10 Rom. x, 12   16 ἀκούσαντα τὰ A   26 Cor. 2, I, 21

δείσω καὶ οὐκ ᾐσχύνου· "ἦσαν" γάρ φησιν " Ἀδὰμ καὶ Εὔα γυμνοὶ καὶ οὐκ ᾐσχύνοντο", ἕως ἔλαβον τὸ τῆς ἁμαρτίας ἱμάτιον, τὸ πολλῆς γέμον αἰσχύνης. μὴ τοίνυν μηδὲ ἐνταῦθα αἰσχύνου· πολὺ γὰρ τοῦ παραδείσου βελτίων ἡ κολυμβήθρα. οὐκ ἔστιν ἐνταῦθα ὄφις, ἀλλὰ Χριστός ἐστιν ἐνταῦθα μυσταγωγῶν σε πρὸς τὴν ἐξ ὕδατος καὶ πνεύματος ἀναγέννησιν. οὐκ ἔστιν ἐνταῦθα δένδρα καλὰ καὶ ὡραῖα ἰδεῖν, ἀλλ' ἔστιν ἐνταῦθα χαρίσματα πνευματικά. οὐκ ἔστιν ἐνταῦθα ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ, οὐδὲ νόμος καὶ ἐντολαί, ἀλλὰ χάρις καὶ δωρεαί. "ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν".

9. Ἀλλ' ἐπειδὴ μετὰ τοσαύτης ἡδονῆς ἠκούσατε τῶν εἰρημένων, μίαν ὑμᾶς αἰτήσω τῆς ἡδονῆς ἀμοιβήν, ἣν καὶ παρὰ τὴν ἀρχὴν ὑμᾶς ᾔτησα. ὅταν εἰς τὴν κολυμβήθραν καταβῆτε τῶν ὑδάτων ἐκείνων, μνήσθητέ μου τῆς εὐτελείας. τοῦτο καὶ πρώην ἡμῶν ἐδεήθην, ὅτε καὶ τοῦ Ἰωσὴφ ἀνέμνησα, ὃς πρὸς τὸν ἀρχιοινοχόον ἔλεγε· "μνήσθητί μου, ὅταν εὖ σοι γένηται". κἀγὼ πρὸς ὑμᾶς παρὰ τὴν ἀρχὴν εἶπον· "μνήσθητέ μου, ὅταν εὖ ὑμῖν γένηται". νυνὶ δὲ οὐ λέγω "μνήσθητέ μου, ὅταν εὖ ὑμῖν γένηται", ἀλλὰ μνήσθητέ μου, ἐπειδὴ εὖ ὑμῖν ἐγένετο. κἀκεῖνος μὲν ἔλεγε· "μνήσθητι, ὅτι οὐδὲν ἐποίησα κακόν". ἐγὼ δὲ λέγω· μνήσθητέ μου, ὅτι πολλὰ καὶ πονηρὰ ἐποίησα κακά. πολλὴ παρρησία πρὸς τὸν βασιλέα νῦν ὑμῖν ἅπασι· κοινοὺς ὑμᾶς πέμπομεν πρέσβεις ὑπὲρ τῆς φύσεως τῶν ἀνθρώπων· οὐ χρυσοῦν στέφανον αὐτῷ προσφέρετε, ἀλλὰ πίστεως στέφανον· μετὰ πολλῆς ὑμᾶς δέξεται εὐνοίας. δεήθητε τοίνυν ὑπὲρ τῆς κοινῆς ἁπάντων μητρός, ὥστε ἀσάλευτον εἶναι αὐτὴν καὶ ἄσειστον· καὶ ὑπὲρ τοῦ ἀρχιερέως, δι' οὗ τῶν χειρῶν καὶ τῆς φωνῆς τῶν ἀγαθῶν τούτων τυγχάνετε. ὑπὲρ τῶν συνεδρευόντων ἡμῖν ἱερέων πολλὰ αὐτῷ διαλέχθητε, ὑπὲρ τοῦ ἀνθρωπείου γένους, ὥστε μὴ ἡμῖν χρημάτων λοιπάδας ἀλλὰ ἁμαρτημάτων ἀφεῖναι. κοινὰ γενέσθω τὰ κατορθώματα· πολλὴ γὰρ παρρησία πρὸς τὸν δεσπότην ὑμῖν καὶ ἀπὸ φιλήματος ὑμᾶς δέξεται.

1 φησίν] cf. Gen. III, 1 6 δένδρα — ὡρ. ἰδεῖν] cf. Gen. II, 9 8 ξύλον — πονηροῦ] cf. Gen. II, 10 9/10 Rom. VI, 14 16 Gen. XL, 14 20 cf Gen. XL, 15.



10. Ἀλλ' ἐπειδὴ φιλήματος ἐμνήσθην, βούλομαι καὶ περὶ τούτου νῦν ὑμῖν εἰπεῖν. ἐπειδὰν μέλλωμεν τῆς ἱερᾶς ἅπτεσθαι τραπέζης, φιλεῖν ἀλλήλους κελευόμεθα καὶ ἀσπάζεσθαι ἀσπασμὸν ἅγιον. τίνος ἕνεκεν; ἐπειδὴ τοῖς σώμασιν ἐσμὲν διῃρημένοι, τὰς ψυχὰς ἀλλήλαις συμπλέκομεν κατ' ἐκεῖνον τὸν καιρὸν διὰ τοῦ φιλήματος, ὥστε γενέσθαι τὸν σύλλογον ἡμῶν τοιοῦτον, οἷος ἦν ἐκεῖνος ὁ ἀποστολικός, ὅτε πάντων τῶν πιστευόντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. οὕτως γὰρ δεῖ προσιέναι τοῖς ἱεροῖς μυστηρίοις συνδεδεμένους ἀλλήλοις. ἄκουσον, τί φησιν ὁ Χριστός· "ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου καὶ τότε πρόσφερε τὸ δῶρόν σου". οὐκ εἶπε "πρότερον προσένεγκε", ἀλλὰ "πρότερον διαλλάγηθι καὶ τότε προσένεγκε". διὰ τοῦτο καὶ ἡμεῖς, τοῦ δώρου προκειμένου, πρότερον ἀλλήλοις καταλλαττόμενοι τότε τῇ θυσίᾳ προσερχόμεθα. ἔστι δὲ καὶ ἕτερος μυστικὸς λόγος τοῦ φιλήματος τούτου. ναοὺς ἡμᾶς ἐποίησε τοῦ Χριστοῦ τὸ πνεῦμα τὸ ἅγιον. φιλοῦντες οὖν ἀλλήλων τὰ στόματα, τὰ πρόθυρα τοῦ ναοῦ καταφιλοῦμεν. μηδεὶς τοίνυν μετὰ συνειδότος πονηροῦ, μετὰ ὑπούλου διανοίας τοῦτο ποιείτω· ἅγιον γάρ ἐστι τὸ φίλημα· "ἀσπάσασθε" γάρ φησιν "ἀλλήλους ἐν φιλήματι ἁγίῳ". τούτων πάντων μεμνημένοι ταῦτα διὰ παντὸς διατηρῶμεν, τὴν συνταγήν, τὴν ἀποταγήν, τὴν παρρησίαν, ἣν νῦν ἡμῖν ὁ δεσπότης χαρίζεται, καὶ ἀκηλίδωτον καὶ ἀκέραιον διαφυλάξωμεν, ἵνα μετὰ πολλῆς τῆς δόξης ἀπαντήσωμεν τῷ βασιλεῖ τῶν οὐρανῶν καὶ καταξιωθῶμεν ἐν νεφέλαις ἁρπαγῆναι καὶ φανῆναι τῆς βασιλείας τῶν οὐρανῶν ἄξιοι· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

---

9/12 Matth. V, 23-24 15 καταλαττόμενοι A 16/17 ναοὺς—ἅγιον] cf. Cor. 1, III, 16. VI, 19 20/21 Cor. 1, XVI, 20 24 ἀπαντήσομεν A

## 4.

***Τοῦ αὐτοῦ πρὸς τοὺς φωτισθέντας εἰς τὸ Πάσχα.***

### Λόγος δ'.

1. Εὐλογητὸς ὁ θεός· ἰδοὺ καὶ ἀπὸ γῆς ἀστέρες φαίνουσιν, ἀστέρες τῶν ἐν οὐρανῷ φαιδρότεροι. ἐπὶ γῆς ἀστέρες διὰ τὸν ἐξ οὐρανῶν ἐπὶ γῆς φανέντα· οὐκ ἐπὶ γῆς δὲ ἀστέρες μόνον, ἀλλὰ καὶ ἐν ἡμέρᾳ ἀστέρες· τοῦτο δεύτερον θαῦμα. ἐν ἡμέρᾳ ἀστέρες τῶν ἐν νυκτὶ φαιδρότεροι· ἐκεῖνοι μὲν γὰρ τοῦ ἡλίου φανέντος κατακρύπτονται, οὗτοι δὲ τοῦ ἡλίου τῆς δικαιοσύνης φανέντος μᾶλλον ἐκλάμπουσιν. εἶδες ἀστέρας ποτὲ μετὰ ἡλίου φαίνοντας; ἐκεῖνοι μέν, τῆς συντελείας καταλαβούσης, μειζόνως διαφαίνουσιν· περὶ μὲν γὰρ ἐκείνων φησίν, ὅτι "τὰ ἄστρα τοῦ οὐρανοῦ πεσοῦνται ὡς πίπτει φύλλα ἀπὸ ἀμπέλου"· περὶ δὲ τούτων φησίν, ὅτι "οἱ δίκαιοι ἐκλάμψουσιν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ". τί ἐστιν "ὡς πίπτει φύλλα ἀπὸ ἀμπέλου, οὕτως οἱ ἀστέρες τοῦ οὐρανοῦ πεσοῦνται"; καθάπερ ἡ ἄμπελος, ἕως μὲν ἂν τρέφῃ τοὺς βότρυας, χρείαν ἔχει τῆς σκέπης τῆς ἀπὸ τῶν φύλλων, ἐπειδὰν δὲ ἀπόθηται τὸν καρπὸν καὶ τὴν κόμην τῶν φύλλων ἀποτίθεται, οὕτω δὴ καὶ ὁ κόσμος, ἕως μὲν ἂν ἔχῃ ἐν ἑαυτῷ τῶν ἀνθρώπων τὴν φύσιν, κατέχει καὶ τὰ ἄστρα ὁ οὐρανός, καθάπερ ἡ ἄμπελος τὰ φύλλα. νυκτὸς γὰρ τότε οὐκ οὔσης, οὐδὲ ἄστρων χρεῖαι λοιπόν· πυρώδης τῶν ἄστρων ἐκείνων ἡ φύσις. ἀλλ' ἐκεῖ μὲν πῦρ αἰσθητόν, ἐνταῦθα δὲ πῦρ νοητόν· "αὐτὸς γὰρ ὑμᾶς" φησι "βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί". βούλει καὶ τὰ ὀνόματα ἑκατέρων μαθεῖν; ἐν ἐκείνοις τοῖς ἄστροις τὰ ὀνόματα ταῦτα, Ὠρίων καὶ Ἀρκτοῦρος καὶ Ἕσπερος καὶ Φωσφόρος· ἐνταῦθα δὲ ἕσπερος μὲν οὐδείς, φωσφόροι δὲ πάντες.

2. "Εὐλογητὸς ὁ θεὸς" πάλιν εἴπωμεν. "εὐλογητὸς ὁ θεός, ὁ ποιῶν θαυμάσια μόνος, ὁ ποιῶν πάντα καὶ μετασκευάζων" αὐτά. οἱ πρὸ τῆς χθὲς αἰχμάλωτοι νῦν ἐλεύθεροι καὶ πολῖται τῆς Ἐκκλησίας· οἱ πρώην ἐν αἰσχύνῃ ἁμαρτίας νῦν ἐν παρρησίᾳ δικαιοσύνης· οὐ γὰρ ἐλεύθεροι μόνον, ἀλλὰ καὶ ἅγιοι· οὐκ ἅγιοι μόνον, ἀλλὰ καὶ δίκαιοι· οὐ δίκαιοι μόνον, ἀλλὰ καὶ υἱοί· οὐχ υἱοὶ δὲ μόνον, ἀλλὰ καὶ ἀδελφοὶ τοῦ Χριστοῦ· οὐκ ἀδελφοὶ τοῦ Χριστοῦ μόνον, ἀλλὰ καὶ συγκληρονόμοι· οὐ συγκληρονόμοι μόνον, ἀλλὰ καὶ μέλη· οὐ μέλη μόνον, ἀλλὰ καὶ ναός· οὐ ναὸς μόνον, ἀλλὰ καὶ ὄργανα τοῦ πνεύματος. "εὐλογητὸς ὁ θεός, ὁ ποιῶν θαυμάσια μόνος". εἶδες, πόσαι τοῦ βαπτίσματος αἱ δωρεαί; καίτοι γε πολλοῖς δοκεῖ μόνον ἁμαρτημάτων ἄφεσιν ἔχειν ἡ δωρεά, ἡμεῖς δὲ δέκα ἀπηριθμήσαμεν τιμάς. διὰ τοῦτο καὶ τὰ παιδία βαπτίζομεν, καίτοι ἁμαρτήματα οὐκ ἔχοντα, ἵνα προστεθῇ ἁγιασμός, δικαιοσύνη, υἱοθεσία, κληρονομία, ἀδελφότης τοῦ Χριστοῦ, τὸ μέλη εἶναι, τὸ κατοικητήριον γενέσθαι τοῦ πνεύματος.

3. Ἀλλ', ὦ ποθεινότατοι ἀδελφοί, εἴ γε ἔξεστί μοι ἀδελφοὺς ὑμᾶς καλεῖν· τῶν μὲν γὰρ ὠδίνων ὑμῖν ἐκοινώνησα τῶν αὐτῶν, ἀλλὰ τῇ μετὰ ταῦτα ῥαθυμίᾳ τὴν συγγένειαν ἀπώλεσα τὴν ἀκριβῆ καὶ γνησίαν. πλὴν δότε μοι καλέσαι ὑμᾶς ἀδελφοὺς διὰ τὴν πολλὴν ἀγάπην καὶ παρακαλέσαι ὑμᾶς. ὅσῳ πλείονος ἀπηλαύσαμεν τῆς τιμῆς, τοσούτῳ μείζονα ἐπιδειξώμεθα τὴν σπουδήν· ὁ μὲν γὰρ πρὸ τούτου χρόνος παλαίστρα καὶ γυμνάσιον ἦν καὶ συγγνώμην εἶχε τὰ πτώματα, ἀπὸ δὲ τῆς σήμερον ἡμέρας τὸ στάδιον ἀνέῳγεν, ὁ ἀγὼν ἐφέστηκε, τὸ θέατρον ἄνω κάθηται. οὐκ ἀνθρώπων μόνον φύσις, ἀλλὰ καὶ ἀγγέλων δῆμος θεωρεῖ τὰ παλαίσματα· "θέατρον" γάρ φησιν "ἐγενήθημεν τῷ κόσμῳ, οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ ἀγγέλοις". ἄγγελοι θεωροῦσιν· ὁ τῶν ἀγγέλων δεσπότης ἀγωνοθετεῖ, καὶ τοῦτο οὐ τιμὴ μόνον ἐστίν, ἀλλὰ καὶ ἀσφάλεια, ὅταν ὁ τὴν ψυχὴν αὐτοῦ θεὶς ὑπὲρ ἡμῶν οὗτος κρίνῃ τὰ παλαίσματα.

4. Ἐπὶ μὲν γὰρ τῶν Ὀλυμπιακῶν ἀγώνων ὁ βραβεύων μέσος ἕστηκε τῶν ἀγωνιζομένων, οὔτε τούτῳ οὔτε ἐκείνῳ προσκείμενος, ἀλλὰ ἀναμένων τὸ τέλος. διὰ τοῦτο καὶ μέσος ἕστηκεν, ἐπεὶ καὶ

---

2 **A** = Cod. Mosquensis $\frac{129}{\text{CXXX}}$ f. 380a—387a. 5 ἀστέρες corr. est e φωστῆρες in A 9 ἡλίου τῆς δικαιοσύνης] cf. Mal. IV, 2 12 post μειζόνως corr. cod. A οὐ add. 12 Es. XXXIV, 4 14 cf. Matth. XIII, 43 23 Matth. III, 11. Luc. III, 16 28/29 Psalm. LXXI, 18. Am. V, 8

2 ἐλεύθεροι cf. Math. VIII, 36 || ἅγιοι] cf. Rom. I, 7 3 δίκαιοι] cf. Rom. II, 13 || υἱοί] cf. Rom. VIII, 14 4 ἀδελφοί] cf. Math. XII, 50 5 συγκληρονόμοι] cf. Rom. VIII, 17 6 μέλη] cf. Cor. 1, VI, 15 || ναός] Cor. 1, III, 16 16 κατοικητήριον] cf. Ephes. II, 22 24/25 cf. Cor. 1, IV, 9

τῇ γνώμῃ μέσος ἐστίν. ἐπὶ δὲ ἡμῶν καὶ τοῦ διαβόλου οὐ μέσος ἕστηκεν ὁ Χριστός, ἀλλ' ἡμῶν ὅλος ἐστί. καὶ ὅτι οὐκ ἔστι μέσος ἀλλὰ μεθ' ἡμῶν ὅλος, ἡμᾶς μὲν εἰς τὸν ἀγῶνα εἰσιόντας ἤλειψεν, ἐκεῖνον δὲ ἔδησεν· ἡμᾶς ἤλειψεν "ἔλαιον ἀγαλλιάσεως", ἐκεῖνον ἔδησε δεσμοῖς ἀλύτοις, ἵνα συμποδίζηται πρὸς τὰ παλαίσματα. κἂν ἴδητε πεσόντα, "πατεῖτε" φησὶν "ἐπάνω αὐτοῦ· εἶδον γὰρ τὸν Σατανᾶν ὡς ἀστραπὴν πεσόντα· πατεῖτε ἐπάνω αὐτοῦ". ἡμᾶς δὲ καὶ πεσόντας διανίστησι καί φησι· "μὴ ὁ πίπτων οὐκ ἀνίσταται"; καὶ καθεύδοντας ἐγείρει· "ἔγειρε" γάρ φησιν "ὁ καθεύδων". βούλει καὶ τὸ μεῖζον ἰδεῖν; ἡμῖν ὁ θεὸς μετὰ τὴν νίκην οὐρανὸν ἡτοίμασεν, ἐκείνῳ δὲ μετὰ τὴν νίκην γέενναν ἠπείλησεν. ἐγώ, ἐὰν νικήσω, στεφανοῦμαι· ἐκεῖνος, ἐὰν νικήσῃ, κολάζεται. καὶ ἵνα γνῷς, ὅτι τότε μάλιστα τιμωρεῖται, ὅταν κρατήσῃ, ἐνίκησε τὸν Ἀδὰμ καὶ ὑπεσκέλισε. τί οὖν τὸ ἔπαθλον τῆς νίκης; "ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου". εἰ δὲ τὸν αἰσθητὸν ὄφιν οὕτως ἐκόλασεν, ποίᾳ τιμωρίᾳ κολάσει τὸν νοητόν; εἰ τοιαύτη καταδίκη τοῦ ὀργάνου, εὔδηλον ὅτι πολλῷ μεῖζον μενεῖ τιμωρία τὸν τεχνίτην· καθάπερ γὰρ πατὴρ φιλόστοργος τὸν ἀποκτείναντα τὸν υἱὸν αὐτοῦ εὑρὼν οὐχὶ τὸν φονέα τιμωρεῖται μόνον, ἀλλὰ καὶ τὴν μάχαιραν αὐτὴν κατακάμπτει, οὕτω δὴ καὶ ὁ Χριστὸς εὑρὼν τὸν διάβολον ἀποκτείναντα τὸν ἄνθρωπον οὐχὶ τὸν διάβολον μόνον ἐκόλασεν, ἀλλὰ καὶ αὐτὴν τὴν μάχαιραν κατέκαμψεν.

5. Θαρροῦντες οὖν ἀποδυσώμεθα πρὸς τὰ παλαίσματα· καὶ γὰρ ὅπλα ἡμῖν περιέβαλε χρυσίου παντὸς τιμιώτερα, ἀδάμαντος παντὸς ἰσχυρότερα, πυρὸς παντὸς θερμότερα καὶ σφοδρότερα, ἀέρων ἁπάντων κουφότερα· οὐδὲ γὰρ βαρύνει τὰ γόνατα τῶν ὅπλων τούτων ἡ φύσις, ἀλλ' ἀναπτεροῖ τὰ μέλη καὶ μετεωρίζει. κἂν εἰς τὸν οὐρανὸν ἀναπτῆναι βουληθῇς μετὰ τῶν ὅπλων τούτων, τὸ κωλῦον οὐδέν· κενὴ γὰρ τῶν ὅπλων ἡ φύσις, ἐπειδὴ καὶ κενὸς τῆς μάχης ὁ πόλεμος. ἄνθρωπος ὢν δαίμοσι πυκτεύειν ἀναγκάζομαι· σάρκα περικείμενος πρὸς ἀσωμάτους δυνάμεις παλαίω. διὰ τοῦτό μοι τὸν θώρακα οὐκ ἀπὸ σιδήρου, ἀλλ' ἀπὸ δικαιοσύνης ἐποίησεν ὁ θεός. διὰ

4 ἔλαιον ἀγαλλιάσεως] cf. Hebr. I, 9  6 cf. Luc. x, 18-19  8 Ephes. v, 14  13 τιμωρεῖτε A  13/16 Gen. III, 14  33 θωρακα—δικαιοσύνης] cf. Ephes. vi, 14



τοῦτό μοι τὸν θυρεὸν οὐκ ἀπὸ χαλκοῦ, ἀλλ' ἀπὸ πίστεως κατεσκεύασεν. ἔχω καὶ μάχαιραν ἠκονημένην, τὸ τοῦ πνεύματος ῥῆμα. ἐκεῖνος ἀφίησι βέλη κατ' ἐμοῦ, ἐγὼ μάχαιραν ἔχω· ἐκεῖνος τοξότης ἐστίν, ἐγὼ ὁπλίτης εἰμί. μάθε καὶ ἀπὸ τούτου τὴν δειλίαν ἐκείνου· ὁ τοξότης ἐγγὺς ἐλθεῖν οὐ τολμᾷ, ἀλλὰ πόρρωθεν βάλλει. ἆρα οὖν ὅπλα μοι κατεσκεύασε μόνον; οὐχί, ἀλλὰ καὶ τράπεζαν ἡτοίμασεν ὅπλου παντὸς δυνατωτέραν, ἵνα μηδὲ κάμνων πολεμῇς, ἵνα τρυφῶν περιγίγνῃ τοῦ πονηροῦ. ἂν γὰρ ἴδῃ σε μόνον ἀπὸ τὸν δεῖπνον ἐπανιόντα τὸν δεσποτικόν, καθάπερ λέοντα ἰδὼν πῦρ ἀπὸ τοῦ στόματος ἀφιέντα, οὕτως φεύγει παντὸς ἀνέμου σφοδρότερον. κἂν δείξῃς αὐτῷ τὴν γλῶτταν ἡμαγμένην, οὐδὲ στῆναι δυνήσεται· ἂν δείξῃς τὸ στόμα πεφοινιγμένον, καθάπερ θηρίον εὐτελές, οὕτως εἰς τὰ ὀπίσω δραμεῖται.

6. Βούλει τοίνυν μαθεῖν τοῦ αἵματος τούτου τὴν ἰσχύν; ἀναδράμωμεν ἐπὶ τὸν τύπον αὐτοῦ τὸν πρῶτον, ἐπὶ τὰ παλαιὰ διηγήματα. ἐν Αἰγύπτῳ μέσῃ μὲν νυκτὶ ἔμελλεν ἐπάγειν πληγὴν ὁ θεὸς τοῖς Αἰγυπτίοις· τὰ πρωτότοκα γὰρ αὐτῶν ἔμελλεν ἀναιρεῖν, ἐπειδὴ τὸν πρωτότοκον αὐτοῦ κατεῖχον λαόν. τί οὖν ἵνα γένηται, ὥστε μὴ συναπολέσθαι τοῖς Αἰγυπτίοις τοὺς Ἰουδαίους, ἐπειδὴ εἷς κατεῖχεν αὐτοὺς τόπος; μάθε ἐν τῷ τύπῳ τὴν δύναμιν, ἵνα μάθῃς ἐν τῇ ἀληθείᾳ τὴν ἰσχύν. πληγὴ θεήλατος ἔμελλεν ἄνωθεν φέρεσθαι καὶ ὁ ὀλοθρεύων ἐπῄει τὰς οἰκίας. τί οὖν ὁ Μωσῆς; θύσατε, φησίν, ἀμνόν, πρόβατον ἄμωμον, καὶ τὸ αἷμα αὐτοῦ ἐπιχρίσατε ταῖς θύραις. τί λέγεις; αἷμα ἀλόγου σῴζειν ἀνθρώπους τοὺς λογικοὺς οἶδε; ναί, φησίν, οὐκ ἐπειδὴ αἷμά ἐστιν, ἀλλ' ἐπειδὴ τοῦ αἵματος τοῦ δεσποτικοῦ τύπος ἐστί. καθάπερ γὰρ οἱ ἀνδριάντες οἱ βασιλικοὶ ἄψυχοι καὶ ἀναίσθητοι ὄντες τοὺς καταφεύγοντας εἰς αὐτοὺς ἀνθρώπους τοὺς ἐμψύχους καὶ αἴσθησιν ἔχοντας διασῴζουσιν οἱ ἀναίσθητοι καὶ ἄψυχοι, οὐκ ἐπειδὴ χαλκοῖ εἰσιν, ἀλλ' ἐπειδὴ εἰκὼν τοῦ βασιλέως εἰσίν, οὕτω δὴ καὶ τὸ αἷμα ἐκεῖνο τὸ ἀναίσθητον καὶ ἄψυχον τοὺς ψυχὴν ἔχοντας ἀν-

1 θυραιον A || θυρεὸν — πίστεως] cf. Ephes. vi, 16  2 μάχαιραν — ῥῆμα] cf. Ephes. vi, 17  8 nota ἀπὸ cum accus.  12 πεφοινισμένον A  16 ἔμ. ἐπ. πληγὴν] cf. Exod. xi, 1-10. xii, 1-20  17 πρωτοτόκια A πρωτότοκα corr. cod. A  23 θύσατε etc.] cf. Exod. xii, 21-25  25 ναί—τύπος ἐστί] cf. Cor. 1, xi, 24-26

θρώπους ἔσωζεν, οὐκ ἐπειδὴ αἷμα ἦν, ἀλλ' ἐπειδὴ τοῦ αἵματος τούτου τύπος ἦν. τότε εἶδεν ὁ ὀλοθρεύων ταῖς θύραις ἐπικεχρισμένον τὸ αἷμα καὶ οὐκ ἐτόλμησεν εἰσπηδῆσαι. νῦν, ἂν ἴδῃ ὁ διάβολος οὐχὶ θύραις ἐπικείμενον τὸ αἷμα τοῦτο, ἀλλὰ τῷ στόματι τῶν πιστῶν ἐπικεχρισμένον τὸ αἷμα τῆς ἀληθείας, ταῖς θύραις τοῦ ναοῦ τοῦ χριστοφόρου, οὐ πολλῷ μᾶλλον ἑαυτὸν καθέξει; εἰ γὰρ ἄγγελος ἰδὼν τὸν τύπον ᾐδέσθη, πολλῷ μᾶλλον ὁ διάβολος ἰδὼν τὴν ἀλήθειαν φεύξεται.

7. Βούλει μαθεῖν καὶ ἑτέρωθεν τοῦ αἵματος τὴν ἰσχὺν τούτου; βλέπε, πόθεν ἔρρευσε τὴν ἀρχὴν καὶ τὴν πηγὴν ἔσχεν. ἄνωθεν ἀπὸ τοῦ σταυροῦ, ἀπὸ τῆς πλευρᾶς τῆς δεσποτικῆς· τεθνηκότος γάρ φησι τοῦ Ἰησοῦ καὶ ἐν τῷ σταυρῷ ὄντος ἔτι, προσελθὼν ὁ στρατιώτης ἔνυξε τὴν πλευρὰν τῇ λόγχῃ. εἶτα ἐξῆλθε, φησίν, ὕδωρ καὶ αἷμα, τὸ μὲν τοῦ βαπτίσματος σύμβολον, τὸ δὲ τῶν μυστηρίων. διὰ τοῦτο οὐκ εἶπεν "ἐξῆλθεν αἷμα καὶ ὕδωρ", ἀλλ' ἐξῆλθε πρῶτον ὕδωρ καὶ τότε αἷμα, ἐπειδὴ πρῶτον τὸ βάπτισμα καὶ τότε τὰ μυστήρια. ἔνυξε τὴν πλευρὰν ὁ στρατιώτης ἐκεῖνος καὶ διώρυξε τὸν τοῖχον τοῦ ἁγίου ναοῦ, κἀγὼ τὸν θησαυρὸν εὗρον καὶ τὸν πλοῦτον ἔλαβον. οὕτω καὶ ἐπὶ τοῦ ἀμνοῦ γέγονεν. οἱ Ἰουδαῖοι ἔσφαξαν τὸ πρόβατον καὶ ἐγὼ τὴν σωτηρίαν τὴν ἀπὸ τῆς θυσίας ἐκαρπωσάμην. ἐξῆλθεν ἐκ τῆς πλευρᾶς ὕδωρ καὶ αἷμα· μὴ παραδράμῃς ἁπλῶς, ἀγαπητέ, τὸ μυστήριον· ἔχω γὰρ καὶ ἕτερον εἰπεῖν λόγον μυστικόν. εἶπον, ὅτι τοῦ βαπτίσματος τὸ σύμβολον καὶ τῶν μυστηρίων ἐστὶ τὸ ὕδωρ καὶ τὸ αἷμα· ἐξ ἑκατέρων τούτων ἡ Ἐκκλησία δεδημιούργηται, "διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου", διὰ βαπτίσματος καὶ μυστηρίων. τὰ δὲ σύμβολα τοῦ βαπτίσματος καὶ τῶν μυστηρίων ἀπὸ τῆς πλευρᾶς· ἀπὸ τῆς πλευρᾶς ἄρα τὴν Ἐκκλησίαν ἐδημιούργησεν ὁ Χριστός, καθάπερ ἀπὸ τῆς πλευρᾶς τοῦ Ἀδὰμ τὴν Εὔαν ἐποίησε. διὰ τοῦτο καὶ Παῦλος φησί· "καὶ ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστῶν αὐτοῦ ἐσμέν", τὴν πλευρὰν αἰνιττόμενος. ὥσπερ γὰρ τότε ἔλαβε τὴν πλευρὰν ὁ θεὸς καὶ ἀνέπλασε γυναῖκα, οὕτως ἔδωκεν ἡμῖν ὕδωρ καὶ αἷμα ἐκ τῆς ἑαυτοῦ πλευρᾶς καὶ ἀνέπλα-

11/14 τεθνηκότος — αἷμα] cf. Iohan. xix, 33-34 25/26 Tit. iii, 5 26 ἀνακαινίσεως A 29 ἀπὸ τῆς πλευρᾶς] cf. Gen. ii, 21 30 Ephes. v, 4



σε τὴν Ἐκκλησίαν· ὥσπερ γὰρ τότε ἐν τῇ ἐκστάσει τὴν πλευρὰν ἔλαβε, καθεύδοντος τοῦ Ἀδάμ, οὕτω καὶ νῦν μετὰ τὸν θάνατον τὸ αἷμα καὶ τὸ ὕδωρ ἔδωκε· καὶ ὅπερ τότε ἔκστασις ἦν, τοῦτο νῦν θάνατος, ἵνα μάθῃς, ὅτι ὁ θάνατος οὗτος ὕπνος ἐστίν.

8. Ἴδετε, πῶς ἑαυτῷ συνῆψε τὴν νύμφην ὁ Χριστός· ἴδετε, ποίᾳ πάντας ἡμᾶς τρέφει τροφῇ· ἐκ τῆς αὐτῆς τροφῆς καὶ συνεστήκαμεν καὶ τρεφόμεθα. καθάπερ γὰρ ἡ γυνὴ τὸ τεχθὲν οἰκείῳ τρέφει αἵματι καὶ γάλακτι, οὕτω καὶ ὁ Χριστὸς οὓς ἐγέννησεν, αὐτὸς οἰκείῳ τρέφει διηνεκῶς αἵματι. ἐπεὶ οὖν τοσαύτης ἀπηλαύσαμεν δωρεᾶς, πολλὴν ἐπιδειξώμεθα τὴν σπουδὴν καὶ ἀναμνησθῶμεν τῶν συνθηκῶν, ὧν ἐθέμεθα πρὸς αὐτόν. ὑμῖν λέγω καὶ τοῖς νῦν μεμυημένοις καὶ τοῖς πάλαι καὶ πρὸ πολλῶν τῶν ἐτῶν, κοινῶς γὰρ πρὸς πάντας· ἡμῖν ὁ λόγος, ἐπειδὴ καὶ πάντες ἐθέμεθα πρὸς αὐτὸν συνθήκας, ἃς ἐγράψαμεν οὐ μέλανι, ἀλλὰ πνεύματι, οὐ καλάμῳ, ἀλλὰ γλώττῃ· τούτῳ γὰρ τῷ καλάμῳ αἱ πρὸς τὸν θεὸν συνθῆκαι γράφονται. διὰ τοῦτο Δαυὶδ φησίν· "ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου". ὡμολογήσαμεν αὐτοῦ τὴν δεσποτείαν, ἠρνησάμεθα τὴν τυραννίδα τὴν διαβολικήν· τοῦτο χειρόγραφον ἐγένετο, τοῦτο συνθῆκαι, τοῦτο γραμματεῖον.

9. Ὁρᾶτε, μὴ πάλιν ὑπόχρεοι γενώμεθα γραμματείῳ τοιούτῳ. ἦλθεν ἅπαξ ὁ Χριστός· εὗρεν ἡμῶν χειρόγραφον πατρῷον, ὅπερ ἔγραψεν ὁ Ἀδάμ. ἐκεῖνος τὴν ἀρχὴν εἰσήνεγκε τοῦ χρέους, ἡμεῖς τὸ δάνειον ηὐξήσαμεν ταῖς μετὰ ταῦτα ἁμαρτίαις. κατάρα ἦν ἐκεῖ καὶ ἁμαρτία καὶ θάνατος καὶ νόμου κατάκρισις, καὶ πάντα ταῦτα ἀνεῖλεν ὁ Χριστὸς καὶ συνεχώρησε· καὶ βοᾷ Παῦλος λέγων· "τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν, ὃ ἦν ὑπεναντίον ἡμῖν, αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ". οὐκ εἶπεν "ἀπαλείψας αὐτό", οὐκ εἶπε "χαράξας αὐτό", ἀλλὰ "προσηλώσας αὐτὸ τῷ σταυρῷ", ἵνα μηδὲ ἴχνος αὐτοῦ μένῃ. διὰ τοῦτο οὐκ ἀπήλειψεν, ἀλλ' ἔσχισεν· οἱ γὰρ ἧλοι τοῦ σταυροῦ διέρρηξαν αὐτὸ καὶ διέφθειραν, ἵνα ἄχρηστον γένηται τοῦ λοιποῦ. καὶ οὐκ ἐν γωνίᾳ καὶ λάθρᾳ, ἀλλ' ἐν τῷ μέσῳ τῆς οἰκουμένης ἐφ' ὑψηλοῦ τοῦ ἰκρίου τὴν διάλυσιν ἐποιήσατο. βλεπέτωσαν ἄγγελοι,

5 ἴδετε post. A εἴδετε corr. cod. A 16 Psalm. xliv, 1 19 γραμμάτειον A 25 Παῦλος] cf. Col. ii, 14 27 ἦρκεν A ἦρεν corrector cod. A

φησί· βλεπέτωσαν ἀρχάγγελοι, βλεπέτωσαν πᾶσαι αἱ ἄνω δυνάμεις· βλεπέτωσαν καὶ οἱ πονηροὶ δαίμονες καὶ αὐτὸς ὁ διάβολος, οἱ ποιήσαντες ὑπευθύνους τῶν ὀφλημάτων ἡμᾶς ἐπὶ τῶν δανειστῶν. ῥήγνυται τὸ χειρόγραφον, ἵνα μὴ μετὰ ταῦτα ἡμῖν ἐπιπηδῶσιν. ἐπεὶ οὖν διερράγη τὸ πρότερον, σπουδάσωμεν ὅπως μὴ γένηται πάλιν ἄλλο χειρόγραφον· δεύτερος γὰρ σταυρὸς οὐκ ἔστιν, οὐδὲ δευτέρα ἄφεσις "διὰ λουτροῦ παλιγγενεσίας". ἄφεσις μὲν γὰρ ἔστι, διὰ λουτροῦ δὲ οὐκ ἔστι δευτέρα ἄφεσις. ἀλλ' ὅμως μὴ ῥαθυμώτεροι γενώμεθα· διὰ τοῦτο ἐξῆλθες ἐξ Αἰγύπτου, ἄνθρωπε. μηκέτι μοι πάλιν Αἴγυπτον καὶ τὰ Αἰγύπτου ζήτει κακά· μηκέτι τοῦ πηλοῦ καὶ τῆς πλινθείας μέμνησο· πηλὸς γὰρ καὶ πλινθεία τὰ παρόντα τοῦ βίου πραγματα, ἐπεὶ καὶ αὐτὸ τὸ χρυσίον, πρὶν ἢ γενέσθαι χρυσίον, οὐδὲν ἕτερόν ἐστιν ἢ γῆ.

10. Εἶδες θαύματα καὶ σὺ νῦν μείζονα καὶ πολλῷ λαμπρότερα ἢ τότε, ὅτε οἱ Ἰουδαῖοι ἐξῄεσαν ἐξ Αἰγύπτου· οὐκ εἶδες τὸν Φαραὼ μετὰ τῶν ὅπλων καταποντιζόμενον. διέβησαν ἐκεῖνοι πέλαγος, διέβης σὺ θάνατον. ἀπηλλάγησαν Αἰγυπτίων ἐκεῖνοι, ἠλευθερώθης δαιμόνων σὺ δουλείας· ἀπέθεντο βαρβαρικὴν Ἰουδαῖοι θλῖψιν, σὺ δὲ τὴν πολλῷ χαλεπωτέραν, τὴν τῆς ἁμαρτίας. βούλει καὶ ἑτέρωθεν μαθεῖν, πῶς μειζόνων ἠξιώθης; οἱ Ἰουδαῖοι τότε οὐκ ἠδυνήθησαν ἰδεῖν τὸ πρόσωπον Μωσέως δοξαζόμενον, καὶ ταῦτα συνδούλου καὶ συγγενοῦς ὄντος· σὺ δὲ τὸ πρόσωπον εἶδες τοῦ Χριστοῦ ἐν τῇ δόξῃ αὐτοῦ, καὶ βοᾷ Παῦλος λέγων· "πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμεθα". εἶχον ἐκεῖνοι τὸν Χριστὸν ἑπόμενον τότε, ἀλλὰ πολλῷ μᾶλλον ἡμεῖς νῦν· ἐκείνοις μὲν γὰρ τότε ὁ Χριστὸς ἠκολούθει διὰ τὴν χάριν Μωσέως, ἡμῖν δὲ οὐ διὰ τὴν χάριν τοῦ νέου Μωσέως μόνον, ἀλλὰ καὶ διὰ τὴν οἰκείαν ἡμῶν εὐπείθειαν· ἐκείνοις μετὰ τὴν Αἴγυπτον ἔρημος, σοὶ μετὰ τὴν Αἴγυπτον οὐρανός.

11. Ἔχομεν καὶ ἡμεῖς στρατηγὸν ἄριστον· ἔχομεν τὸν θεὸν ἡμῶν ἡγούμενον, ἔχομεν Μωσέα παρόντα καὶ στρατηγοῦντα. τί γὰρ τὸ τεκμήριον Μωσέως; πραότατος, φησίν, ἦν ἁπάντων ἀνθρώ-

1 φησί] cf. Nem. xii, 3  4 ὑμῖν A  11 τοῦ πηλοῦ—μέμνησο] cf. Exod. i, 14 || πληνθίας . . . πληνθία A  14 ἴδες A εἶδες corr. cod. A  23 Cor. 2 iii, 18  29 σοί *: σὺ A



πων τῶν ἐπὶ τῆς γῆς. τοῦτό τις εἰπὼν καὶ περὶ τούτου τοῦ Μωσέως οὐκ ἂν διαμάρτοι· καὶ γὰρ καὶ τούτου πνεῦμα πραότητος ἐνιζάνει τοῖς χείλεσι, πνεῦμα πραότητος κατέχει τὴν ψυχήν. Μωσῆς τότε ἀνέτεινε τὰς χεῖρας εἰς τὸν οὐρανὸν καὶ κατήνεγκε μάννα, ἄρτον ἀγγέλων· οὗτος ὁ Μωσῆς ἀνατείνει τὰς χεῖρας εἰς τὸν οὐρανὸν καὶ καταφέρει ἄρτον οὐράνιον. ἐκεῖνος ἔκρουσε τὴν πέτραν καὶ ἐξέβαλεν ὑδάτων νάματα· οὗτος ἅπτεται τῆς τραπέζης, κρούει τὴν πέτραν τὴν νοητὴν καὶ πηγὰς πνεύματος ἀναβλύζειν ποιεῖ. διὰ τοῦτο καθάπερ πηγὴ ἐν τῷ μέσῳ ἡ τράπεζα κεῖται, ἵνα πανταχόθεν τὰ ποίμνια περιρρέῃ τῇ πηγῇ, ἵνα ἀπολαύῃ τῶν σωτηρίων ναμάτων. ἐπεὶ οὖν τοιαύτη μὲν ἐνταῦθα ἡ πηγή, τοιαύτη δὲ ἡ ζωὴ καὶ μυρίων ἡ τράπεζα γέμει τῶν ἀγαθῶν καὶ πανταχόθεν ἡμῖν βρύει τὰ δῶρα τὰ πνευματικά, μετὰ ἀληθινῆς καρδίας προσέλθωμεν, μετὰ συνειδότος καθαροῦ, ἵνα λάβωμεν χάριν καὶ ἔλεον εἰς εὔκαιρον βοήθειαν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ καὶ ἀγαθῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

4 μάννα] cf. Exod. xviii, 14-36  7 ὑδάτων νάματα] cf. Exod. xvii, 1—7  15 ἔλαιον A

# X.

# ΤΑΞΕΙΣ ΑΓΙΑΣΜΟΥ

## ΤΩΝ ΥΔΑΤΩΝ ΤΟΥ ΠΟΤΑΜΟΥ ΝΕΙΛΟΥ.

### Α.

### ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΤΩΝ ΑΓΙΑΣΜΩΝ ΥΔΑΤΩΝ ΤΟΥ ΝΕΙΛΟΥ,

ἣ τελεῖται τῇ Κυριακῇ τῶν ἁγίων Πατέρων τιη', πρὸ τῆς ἁγίας Πεντηκοστῆς, μετὰ τῆς θείας λειτουργίας.

Τοῦ διακόνου εἰπόντος "Ὀρθοὶ μεταλαβόντες", ὁ ἀρχιερεὺς ἐκφωνεῖ· "Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς": καὶ μετὰ τὴν ἐκφώνησιν λέγει τὴν ὀπισθάμβωνον εὐχήν. εἶτα ψάλλει ὁ λαὸς ἰδιόμελον.

Ἦχος β'.

Ἐτέχθης*, ὡς αὐτὸς ἠθέλησας·
ἐφάνης*, ὡς αὐτὸς ἠβουλήθης·
ἔπαθες σαρκί, ὁ θεὸς ἡμῶν·

C=codex chartaceus (N. 46), s. xiv, in biblioth. Patriarchatus Alexandrini, quæ nunc servatur in civ. Cahiro Aegypti; fol. 95—107. S=codex Sinaiticus 974, s. xvi, f. 114b—127a. Vide A. Дмитрiевскiй, Описанiе литург. рукописей, Кiевъ 1895—1901. tom. II, p. 668, 684—691.

1 γενομένη C 2 ἣ*: ἐν ᾗ CS ‖ ἁγ. θεοφόρων S 3 θείας om S 4 ὁ διάκονος S ‖ εἰπώντος C εἰπών S 5 ἁγι. ἡμῶν, Χριστὲ ὁ θεός S ‖ λέγει om S 6 ὀπισθάμβωνος C τῆς εὐχῆς τῆς ὀπισθάμβωνος S ‖ λαὸς σὺν τῷ κλήρῳ τροπάριον στιχηρόν, ἦχος β'. ἰδιόμελον S



ἐκ νεκρῶν ἀνέστης* πατήσας τὸν θάνατον·
ἀνελήφθης ἐν δόξῃ* ὁ τὰ σύμπαντα πληρῶν
καὶ ἀπέστειλας ἡμῖν πνεῦμα θεῖον
τοῦ ἀνυμνεῖν καὶ δοξάζειν σου τὴν θεότητα.

Δόξα: — Καὶ νῦν: — Ἦχος πλάγιος β'.

Ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ,
κύριος ἐν φωνῇ σάλπιγγος,
τοῦ ἀνυψῶσαι τὴν πεσοῦσαν εἰκόνα τοῦ Ἀδὰμ
καὶ ἀποστεῖλαι πνεῦμα παράκλητον
τοῦ ἁγιάσαι τὰς ψυχὰς ἡμῶν.

*Ὁ διάκονος λέγει μεγάλην συναπτήν·*

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν·
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας:
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος:
Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν:
Ὑπὲρ τοῦ πατρὸς καὶ πατριάρχου ἡμῶν (δεῖνα) καὶ τῆς:
Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων:
Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι:
Ὑπὲρ τῆς πόλεως ἡμῶν ταύτης, πάσης:
Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας:
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων:
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης:
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον:
Τῆς παναγίας ἀχράντου:

*Ὁ ἀρχιερεὺς ἐκφωνεῖ·*

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι:

Καὶ γίνεται εὐφήμησις παρὰ τοῦ δομεστίκου καὶ ἀποκρίνονται πάντες·

Ἅγιε τοῦ θεοῦ, πανάριστε
ἀρχιερεῦ ἀρχιερέων ὁ δεῖνα,

5/10 Δόξα usque ad ψυχὰς ἡμῶν om S 6 Ἀνέβη — σάλπιγγος] Psalm. XLVI, 6 8 ανυψωσε C ‖ οικονα C 11 λέγει τὴν συναπτήν S 25 Ὁ ἱερεὺς ἐκφώνως S 28 ἡ φήμησις S 30 τουδ(εῖνα) C

πατριάρχ(ης) πάπας πόλεως Ἀλεξανδρείας
γέγονας τοῦ θρόνου μεγάλης·
ἠξιώθης, διάδοχε Μάρκου τοῦ πρώτου πατριάρχου·
εἰς πολλά σου καὶ καλὰ τὰ ἔτη.
ἤλθομεν ποιῆσαι καλὸν καιρὸν
καὶ καλὸν ἐνιαυτὸν εἶναι
τοῦ θεσπεσίου καὶ. ἀρχιερέως ἡμῶν·
πρόδραμε καὶ συμπαρόντων ἡμῶν,
ταγμάτων τιμίων, ποιμένων, ἀγελαρχῶν
καὶ τοῦ ἁγίου πατρὸς ἡμῶν τοῦ δ(εῖνα),
ἀρχιεπισκόπου τῆς ἡμετέρας πόλεως Αἰγύπτου,
πρεσβυτέρων τε καὶ διακόνων καὶ λευϊτῶν,
ἡμέραν ἁγιωσύνης, εἰρήνην τοῦ κόσμου
καὶ καινῆς τῆς ἐκκλησίας ταύτης.

Ἄνω, τῇ προνοίᾳ καὶ τῇ προστάξει τοῦ θεοῦ, Νεῖλε.

Εἶτα λέγει ὁ αὐτὸς πάλιν καὶ ἀποκρίνονται πάντες ἕως τρίτης.

***Εἶτα λέγει*** Στίχος α΄. Ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων· ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία· τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς· ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.

***Καὶ ἀποκρίνεται ὁ λαός·***

Ἄνω, τῇ προνοίᾳ καὶ τῇ προστάξει τοῦ θεοῦ, Νεῖλε.

Στίχος β΄. Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, κύριε, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος.

***Καὶ ἀποκρίνεται ὁ λαός·***

Ἄνω, τῇ προνοίᾳ καὶ τῇ προστάξει τοῦ θεοῦ, Νεῖλε.

Στίχος γ΄. Πιανθήσονται τὰ ὡραῖα τῆς Αἰγύπτου καὶ ἀγαλ-

1 ὁ πατριάρχης S || πάπα CS  2 μεγάλως CS  5 ἤλθωμεν C  6 καλὸν om S  7 ἀρχιερέως * ἀρχιερέα C S  8 πρόδραμε *: προέδραμε CS  9 ἀγελάρχων C  11 Αἰγύπτου=Καΐρου  13 ἡμ. ἁγιωσύνης] sc. αἴτησον || ἁγιωσύνην CS || εἰρ. τε S  14 κενῆς C  16 πάλιν γ΄. καὶ ἀποκρίνεται τὸ αὐτὸ ὁ λαὸς ἕως τρίτου S  17/20 Ὁ ποταμὸς—ἀνατέλλουσα] Psalm. LXIV, 10-11  18 οὗτος CS  21 καὶ πάλιν. ἄνω S  23 β΄ om C  23/24 Εὐλόγησον — πιότητος] cf. Psalm. LXIV, 12  24 παιδεία C  25 καὶ ἀποκρίνεται om S  27 Στίχος γ΄ om CS  27 Πιανθήσονται — ὑμνήσουσιν] Psalm. LXIV, 13-14



λίασιν οἱ βουνοὶ περιζώσονται· ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον· κεκράξονται καὶ γὰρ ὑμνήσουσιν.

***Καὶ ἀποκρίνεται ὁ λαός·***

Ἄνω, τῇ προνοίᾳ καὶ τῇ προστάξει τοῦ θεοῦ, Νεῖλε.

***Ὁ διάκονος λέγει·***

Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας:

***Καὶ ἀποκρίνεται ὁ λαός·***

Ἄνω, τῇ προνοίᾳ καὶ τῇ προστάξει τοῦ θεοῦ, Νεῖλε

***Ὁ διάκονος λέγει·***

Ἄνω, Νεῖλε.

***Καὶ ἀποκρίνεται ὁ λαός·***

Ἄνω, Νεῖλε.

***Ὁ διάκονος λέγει·***

Ἄνω, Νεῖλε.

***Καὶ ἀποκρίνεται ὁ λαός·***

Ἄνω, Νεῖλε.

***Ὁ διάκονος λέγει·***

Ἄνω, Νεῖλε.

***Καὶ ἀποκρίνεται ὁ λαός·***

Ἄνω, Νεῖλε.

Εἶτα γίνεται εἴσοδος καὶ ἐξέρχεται ὁ ἀχιερεὺς σὺν τῷ κλήρῳ ⟨κρατῶν⟩ τὸν τίμιον σταυρὸν καὶ κηρίον μετὰ ῥιπιδίων καὶ θυμιατῶν καὶ τοῦ ἁγίου Εὐαγγελίου· καὶ ἐξέρχονται ἕως τῆς λεκάνης τῶν νερῶν καὶ ψάλλομεν ἰδιόμελον.

Ἦχος πλάγιος δ΄.

Δεῦτε, λαοί,
τὴν τρισυπόστατον θεότητα προσκυνήσωμεν,

2 πληθύνουσι C  3 Καὶ ἀποκρίνεται om S  5 λέγει om S  8 Καὶ ἀποκρίνεται om S  9 Ἄνω, ἄνω Νεῖλε, S  10 λέγει om S  11 Ἄνω ἄνω S  12 Καὶ ἀποκρίνεται om S  13/22 Ἄνω, ἄνω, ἄνω, Νεῖλε. καὶ ἀποκρίνονται τὸ αὐτὸ ὁμοίως ὁ λαὸς γ΄ καὶ γίνεται S  22 κρατῶν addidi  24 ἔρχονται S || ψάλλωμεν C  25 ἰδιόμελλον C τὸ στιχηρὸν C  27 Δεῦτε etc.] cf. *Goar* Εὐχολόγιον Venetiis 1730, p. 604

υἱὸν σὺν τῷ πατρὶ* καὶ ἁγίῳ πνεύματι·
πατὴρ γὰρ ἀχρόνως ἐγέννησεν
υἱὸν συναΐδιον καὶ σύνθρονον
καὶ πνεῦμα ἅγιον ἦν ἐν τῷ πατρὶ
σὺν υἱῷ δοξαζόμενον·
μία δύναμις *, μία οὐσία, * μία θεότης,
ἣν προσκυνοῦντες πάντες λέγομεν·
Ἅγιος ὁ θεός,* ὁ τὰ πάντα δημιουργήσας
δι' υἱοῦ συνεργίᾳ τοῦ ἁγίου πνεύματος·
ἅγιος ἰσχυρός, * δι' οὗ τὸν πατέρα ἐγνώκαμεν
καὶ τὸ πνεῦμα τὸ ἅγιον * ἐπεδήμησεν ἐν κόσμῳ·
ἅγιος ἀθάνατος *, τὸ παράκλητον πνεῦμα,
τὸ πατρὸς ἐκπορευόμενον
καὶ ἐν υἱῷ ἀναπαυόμενον.
τριὰς ἁγία *, δόξα σοι.

***Εἶτα λέγει·***

Παιδία, ταῦτα ἔφη· Ἅγιε τοῦ θεοῦ, πανάριστε ἀρχιερεῦ:

***Εἶτα λέγει ὁ ἀρχιδιάκονος συναπτὴν μικράν·***

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ δια(φύλαξον):

Τῆς παναγίας ἀχράντου καὶ ὑπερευ(λογημένης):

***Ὁ ἱερεὺς ἐκφωνεῖ·***

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρί:

***Εἶτα λέγονται ἀντίφωνα·***

Ἦχος πλάγιος δ'. Ψαλμὸς α'.

Μακάριος ἀνήρ, — ἀντιλαβοῦ με, κύριε.

Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν — ἀντιλαβοῦ με, κύριε.

Καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν, — ἀντιλαβοῦ με, κύριε.

1 ἐν τῷ πατρὶ σὺν ἁγίῳ ed. 13 ἐκ πατρὸς ed. 16/17 Εἶτα λέγουσι τὰ παιδία ταῦτα S 17 ἔφη C; an φατέ? || ἀρχιερεῦ om S 18 Ὁ διάκονος λέγει S 22 Ὁ ἱερεὺς om S || ἐκφώνως S 24 λέγονται *: λέγει CS || ἀντίφωνον S 25 Ψαλμὸς α' om S 26 Στίχος α'. Μακάριος S



Ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. — ἀντιλαβοῦ με, κύριε.

Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, — ἀντιλαβοῦ με κύριε.

Ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται. — ἀντιλαβοῦ με, κύριε.

Ὅτι γινώσκει κύριος ὁδὸν δικαίων καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται. — ἀντιλαβοῦ με, κύριε.

Δόξα:

Ἀντιλαβοῦ με, κύριε.

Καὶ νῦν:

Ἀντιλαβοῦ με, κύριε.

***Ὁ διάκονος τὴν μικρὰν συναπτήν·***

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον:

Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης δεσποίνης:

***Ἐκφώνησις.*** Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καί:

Ἀντίφωνον β'. Ἦχος β'. Ψαλμος κη'.

Ἐνέγκατε τῷ κυρίῳ, υἱοὶ θεοῦ. — ταῖς πρεσβείαις τῆς Θεοτόκου:

Ἐνέγκατε τῷ κυρίῳ, υἱοὶ θεοῦ· ἐνέγκατε τῷ κυρίῳ υἱοὺς κριῶν. — ταῖς πρεσβείαις τῆς Θεοτόκου:

Ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν· ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. — ταῖς πρεσβείαις (τῆς Θεοτόκου):

Φωνὴ κυριου ἐπὶ τῶν ὑδάτων· ὁ θεὸς τῆς δόξης ἐβρόντησε, κύριος ἐπὶ ὑδάτων πολλῶν. — ταῖς πρεσβείαις τῆς Θεοτόκου:

Φωνὴ κυρίου ἐν ἰσχύι, φωνὴ κυρίου ἐν μεγαλοπρεπείᾳ. — ταῖς πρεσβείαις τῆς Θεοτόκου:

Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ. — ταῖς πρεσβείαις τῆς Θεοτόκου:

Δόξα: — Καὶ νῦν: — Ταῖς πρεσβείαις:

6 ποιεῖ κατευοδοθήσεται C 11 Ἀντιλαβοῦ με, κύριε om S 14 Ὁ διάκονος—συναπτήν om S 18 Ἐκφώνως S 21 Ἐνέγκατε — θεοῦ om S 25/26 Προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ S 27 ἐβρόντισε C

*Ὁ διάκονος λέγει·*

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ:

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον:

Τῆς παναγίας ἀχράντου:

*Ἐκφώνησις·* Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ:

Ἀντίφωνον γ΄. Ἦχος γ΄. Ψαλμὸς ξδ΄.

Σοὶ πρέπει ὕμνος, ὁ θεός, ἐν Σιών.—ἀλληλούια, ἀλληλούια, ἀλληλούια.

Σοὶ πρέπει ὕμνος, ὁ θεός, ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ. — ἀλληλούια, ἀλληλούια, ἀλληλούια.

Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου· ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. — ἀλληλούια γ΄.

Ἐπάκουσον ἡμῶν, ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν. — ἀλληλούια γ΄.

Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις· ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν. — ἀλληλούια γ΄.

Ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων· ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία. — ἀλληλούια γ΄.

Τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς, ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα. —ἀλληλούια γ΄.

Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου καὶ τὰ πεδία σου πλησθήσονται πιότητος· πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται. — ἀλληλούια γ΄.

Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον· κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν. — ἀλληλούια γ΄.

---

1 λέγει om S 5 Ἐκφώνως S 6 ἀναπέμπωμεν C 8 Ψαλμὸς ξδ΄. ἀντίφωνον etc. S 21/22 Οὕτως ἡ ἑτοιμασία· ὁ ποταμὸς usque ad ὑδάτων S 27 παιδία C 30 πληθύνουσι C



Δόξα: — Ἀλληλούια: — Καὶ νῦν: — Ἀλληλούια:

*Ὁ διάκονος·*

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ:

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον:

Τῆς παναγίας ἀχράντου:

*Ἐκφώνησις·* Ὅτι ἅγιος εἶ, ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ:

*Ὁ λαὸς λέγει·*

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. — ἀλληλούια.

***Καὶ λέγει ὁ ἀρχιερεὺς τὴν εὐχήν·***

Κύριε ὁ θεὸς ἡμῶν, ὁ πάντα ποιησάμενος τῇ ἀκαταλήπτῳ σου σοφίᾳ· ἅγιε ἁγίων ὁ θεὸς ἡμῶν, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος· ἅγιος ὑπάρχεις ὁ τὴν ἀνυπέρβλητον δόξαν ἑαυτῷ κεκτημένος· ἅγιος ὁ θεός, ὁ τὰ πάντα λόγῳ συστησάμενος· ἅγιος ὁ θεός, ὃν τὰ τετράμορφα ζῷα ἀκαταπαύστῳ φωνῇ δοξάζουσιν· ἅγιος ὁ θεός, ὁ ὑπὸ πλήθους ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων ἀορασίᾳ τρεμόντων προσκυνούμενος καὶ δοξολογούμενος· ἅγιος ὁ θεός, ὁ τὰ πολυόμματα Χερουβὶμ τῇ ἀσιγήτῳ φωνῇ τῷ ἀκοιμήτῳ ὄμματι ἐπιβλέπων καὶ ὑποκλίνων τὸ οὖς σου· ἅγιος ὁ θεός, ὁ τοῖς ἑξαπτερύγοις Σεραφὶμ ἐποχούμενος καὶ ἐπικροτούντων τὰς ἑαυτῶν πτέρυγας καὶ τὸν ἐπινίκιον ὕμνον λεγόντων " ἅγιος ἅγιος ἅγιος κύριος Σαβαώθ " προσδεχόμενος· ἅγιος γὰρ εἶ, ὁ θεὸς ἡμῶν, ὃν αἱ ἀρχαὶ καὶ ἐξουσίαι ἐν οὐρανῷ προσκυνοῦσι καὶ ἐπὶ γῆς ἄνθρωποι ἀνυμνοῦσι καὶ σέβουσιν· αὐτός, φιλάνθρωπε δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, προσφερόμενον παρ' ἡμῶν καὶ παρὰ παντὸς τοῦ λαοῦ σου· κατάπεμψον ἐφ' ἡμᾶς πλούσια τὰ ἐλέη σου πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων.

---

1 Δόξα καὶ νῦν. Ἀλληλούια γ΄ S 2 Ὁ διάκ. λέγει S 6 Ὁ ἱερεὺς ἐκφώνησις S 7 ἀναπέμπωμεν C 9 λέγει om S 10 Ὅσοι — ἐνεδύσασθε] Gal. III, 27 || ἐνεδύσασθαι C 12 Καὶ λέγει om S || εὐχὴν ταύτην S 13 ποιησάμενος C συστησάμενος S 15 τῶν ἀνυπερβλήτων C 17 ὃν S ὁ C 20 τοῖς πολυόμμασι S 25 αἱ om S || προσκυνούμέν σοι S 26 σεσέβουσιν C 28 καὶ κατά - S

*Ὁ διάκονος λέγει·* Πρόσχωμεν.
*Ὁ ἱερεύς·* Εἰρήνη πᾶσιν.
*Ὁ διάκονος·* Σοφία:
***Καὶ λέγει ὁ ἀναγνώστης προκείμενον·***

Ἦχος β'.

Ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων· ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία.

Στίχος· Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου.

***Εἶτα λέγει ἀναγνώσματα γ'.***

Τὸ α'. Γενέσεως τὸ ⟨ἀνάγνωσμα⟩.

Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς, ὅτε ἐγένετο· ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι· οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τῆς γῆς καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι αὐτήν· πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζεν πᾶν τὸ πρόσωπον τῆς γῆς. καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. καὶ ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδέμ, κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασε. καὶ ἐξανέτειλεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν· καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον. ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. ὄνομα τῷ ἑνὶ Φισῶν· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ, ἐκεῖ οὗ ἔστι τὸ χρυσίον· τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· καὶ ἐκεῖ ἔστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ Γεών· οὗτος ὁ κυκλῶν

1 λέγει om S || πρόσχωμεν CS  4 Καὶ λ. ὁ ἀναγνώστης om S || προκείμενον C πρόσχωμεν S  10 Εἶτα om S  10/11 ἀνάγνωσμα α' S  11 Gen. II, 4-16  13 χλορὸν C  26 φυσῶν C || κυκλοῦν C  27 οὗ] οὖν C  29 γαιῶν. οὗτως ὁ κυκλοῦν C



πᾶσαν τὴν γῆν τῆς Αἰθιοπίας. καὶ ὁ ποταμὸς ὁ τρίτος Τίγρις· οὗτος ὁ πορευόμενος κατέναντι Ἀσσυρίας. ὁ δὲ ποταμὸς ὁ τέταρτος, οὗτος Εὐφράτης. καὶ ἔλαβε κύριος ὁ θεὸς τὸν ἄνθρωπον ὃν ἔπλασε καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν.

Τὸ β'. Βασιλειῶν τρίτον τὸ ἀνάγνωσμα.

Εἶπον οἱ ἄνδρες τῆς πόλεως Ἱεριχὼ πρὸς Ἐλισσαιέ· Ἰδοὺ ἡ κατοίκησις τῆς πόλεως ταύτης ἀγαθή, καθὼς σὺ κύριε ὁρᾷς, καὶ τὰ ὕδατα πονηρὰ καὶ ἀτεκνοῦντα. καὶ εἶπεν Ἐλισσαιέ· Λάβετέ μοι ὑδρίσκην καινὴν καὶ ἐμβάλλετε ἐκεῖ ἅλας. καὶ ἤνεγκαν πρὸς αὐτὸν καὶ ἔλαβεν αὐτὴν καὶ ἐξῆλθεν ἐπὶ τὰς διεξόδους τῶν ὑδάτων, καὶ ἔρριψεν ἐκεῖ τὸ ἅλας καὶ εἶπε· Τάδε λέγει κύριος· Ἴαμαι τὰ ὕδατα ταῦτα· οὐκ ἔσται ἔτι ἐκεῖ ὁ ἀποθνήσκων, οὔτε ἀτεκνουμένη δι' αὐτά. καὶ ἰάθη τὰ ὕδατα ἕως τῆς ἡμέρας ταύτης κατὰ τὸ ῥῆμα, ὃ ἐλάλησεν Ἐλισσαιέ.

Τὸ γ'. Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα.

Ἐξῆρε Μωσῆς τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ θαλάσσης ἐρυθρᾶς καὶ ἤγαγεν αὐτοὺς εἰς τὴν ἔρημον Σούρ· καὶ ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ καὶ οὐχ εὕρισκον ὕδωρ ὥστε πιεῖν. ἦλθον δὲ εἰς Μερρᾶν καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἐκ Μερρᾶς· πικρὸν γὰρ ἦν· διὰ τοῦτο ἐπωνομάσθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου Πικρία. καὶ διεγόγγυζεν ὁ λαὸς κατὰ Μωσῆ λέγοντες· Τί πιόμεθα; ἐβόησε δὲ Μωσῆς πρὸς κύριον· καὶ ἔδειξεν αὐτῷ κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ καὶ ἐγλυκάνθη τὸ ὕδωρ. ἐκεῖ ἔθετο αὐτῷ ὁ θεὸς δικαιώματα καὶ κρίσεις, καὶ ἐκεῖ αὐτὸν ἐπείραζε καὶ εἶπεν· Ἐὰν ἀκοῇ ἀκούσῃ τῆς φωνῆς κυρίου τοῦ θεοῦ σου καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιήσῃς καὶ ἐνωτίσῃ τὰς ἐντολὰς αὐτοῦ καὶ φυλάξῃς πάντα τὰ δικαιώματα αὐτοῦ, πᾶσαν νόσον, ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις, οὐκ ἐπάξω ἐπὶ σέ· ἐγὼ γάρ εἰμι κύριος ὁ ἰώμενός σε. καὶ ἦλθον εἰς Αἰλεὶμ καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων καὶ ἑβδομήκοντα στελέχη φοινίκων· παρενέβαλον δὲ

1 αἰθιοππίας C || τίγρης C  6 Τὸ β' S || cf. Reg. 4, II, 19-22  16 Τὸ γ' om S || Exod. XV, 22-27. XVI, 1  21 ἐπονομάσθη C  25 κρίσις C  27 ποιήσεις C 28 φυλάξεις C || νόσων C  29 αἰλὴμ C

ἐκεῖ παρὰ τὰ ὕδατα. ἀπῆραν δὲ ἐξ Αἰλεὶμ καὶ ἦλθον πᾶσα ἡ συναγωγὴ υἱῶν Ἰσραὴλ εἰς τὴν ἔρημον Σίν, ὅ ἐστιν ἀνὰ μέσον Αἰλεὶμ καὶ ἀνὰ μέσον Σινᾶ.

Ὁ ἀπόστολος. Πρὸς Κορινθίους.

Ἀδελφοί, ὁ σπείρων φειδομένως φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις ἐπ' εὐλογίαις καὶ θερίσει. ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ θεός. δυνατὸς δὲ ὁ θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν, καθὼς γέγραπται· Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν, ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ θεῷ.

Ἀλληλουάριον. Ἦχος δ'.

(Στίχος α'). Σοὶ πρέπει ὕμνος, ὁ θεός, ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.

Στίχος β'. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου· ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Στίχος γ'. Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος.

*Ὁ διάκονος·* Σοφία. ὀρθοί. ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

*Ὁ ἱερεύς·* Εἰρήνη πᾶσιν.

*Ὁ διάκονος·* Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου:

Τῷ καιρῷ ἐκείνῳ εἶδεν ὁ Ἰησοῦς πολὺν ὄχλον καὶ εὐσπλαγχνίσθη ἐπ' αὐτὸν καὶ ἐθεράπευσεν τοὺς ἀρρώστους αὐτῶν. ὀψίας δὲ γενομένης, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες· Ἔρημός ἐστιν ὁ τόπος καὶ ἡ ὥρα ἤδη παρῆλθεν· ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώ-

2 υἱὸν C  4 Cor. 2, IX, 6-11  5 φειδόμενος φειδομένος C  9 ἡμᾶς C  11 μένη C  15 ὑμῶν εὐχαριστεῖαν C  16 Ἀλληλούια S  19 Στίχος β' om S  22 ποιότητος C  24 post πᾶσιν S Ὁ λαός· Καὶ τῷ πνεύματί σου add.  26/28 Matth. XIV, 14-22  30 ἀγωράσωσιν ἑαυτοὺς βρώματατα C



ματα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν. οἱ δὲ λέγουσιν αὐτῷ· Οὐκ ἔχομεν ὧδε, εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Φέρετέ μοι αὐτοὺς ὧδε. καὶ κελεύσας τοὺς ὄχλους ἀναπεσεῖν ἐπὶ τοὺς χόρτους, λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησε καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν· καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων, δώδεκα κοφίνους πλήρεις. οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι, χωρὶς γυναικῶν καὶ παιδίων. καὶ εὐθέως ὁ Ἰησοῦς ἠνάγκασε τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐτοὺς εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους.

*Εἶτα λέγει ὁ ἀρχιδιάκων·*

Πάντες ἐκτενῶς δεόμεθά σου.—εἴπωμεν πάντες:

Κύριε παντοκράτορ, ἐπουράνιε βασιλεῦ, ὁ θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ὁ θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ κατελθὼν ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, δεόμεθά σου:

Ὁ δαψιλὴς ἐν ταῖς δωρεαῖς καὶ ἀναβλύζων ἡμῖν ἀεὶ τοῖς θείοις σου χαρίσμασι, δεόμεθά σου:

Ὁ βλαστάνων καὶ αὐξάνων καὶ πάντα τρέφων καὶ διηνεκῶς θάλπων ἡμᾶς τοὺς ἀναξίους σου δούλους, δεόμεθα:

Ὁ συναγαγὼν τὰ ὕδατα εἰς συναγωγὴν μίαν καὶ μετεωρίσας τὰ ὕδατα ὑπεράνω τῶν οὐρανῶν, δεόμεθά σου:

Ὁ μετρήσας τῇ χειρί σου τὸ ὕδωρ καὶ τὸν οὐρανὸν σπιθαμῇ καὶ πᾶσαν τὴν γῆν δρακί, ὁ στήσας τὰ ὄρη σταθμῷ καὶ τὰς νάπας ζυγῷ, δεόμεθά σου:

Ὁ παράδεισον φυτεύσας ἐν Ἐδὲμ κατὰ ἀνατολὰς καὶ τετράρρυτον πηγὴν ἐν αὐτῷ πηγάσας, δεόμεθα:

2 ἔχωμεν C  12 ἀπολύσει S  13 Εἶτα om S ‖ Ὁ διακονος λέγει S  15 παντοκράτωρ CS  17 ὁ κλίνας — κατελθὼν] cf. Psalm. XVII, 10  19 δαψιλῶς C δαψιλὸς S  20 δεηθῶμεν C  23 Ὁ συναγαγὼν — οὐρανῶν] cf. Gen. I, 9  25 μετρίσας C  25/27 μετρήσας — ζυγῷ] cf. Es. XL, 12  28/29 cf. Gen. II 8, 10

Ὁ διαρρήξας πηγὰς καὶ χειμάρρους καὶ οἰακίζων ὡς βούλεσαι τὸ ὕδωρ, δεόμεθά σου:

Ὁ ἀφάτῳ φιλανθρωπίᾳ σου πάντα πρὸς τὰ ἡμέτερα κατασκευάσας καὶ ποιῶν πάντα ὑπερεκπερισσοῦ τῆς αἰτήσεως ἡμῶν, δεόμεθά σου:

Αὐτός, πλουσιόδωρε καὶ ἐλεῆμον θεέ, ἐπίσκεψαι τὴν γῆν τῆς Αἰγύπτου καὶ μέθυσον αὐτὴν ταῖς καλαῖς ἀναβάσεσι τοῦ Νείλου ποταμοῦ, δεόμεθά σου:

Εὔφρανον καὶ ἀνακαίνισον τὸ πρόσωπον ⟨τῆς γῆς αὐτῆς διὰ⟩ τῆς ἀμέτρου πλημμυρίας τοῦ Νείλου ποταμοῦ, δεόμεθά σου:

Τὰς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα τῆς Αἰγυπτιακῆς χώρας τοῖς ὁρμήμασι τοῦ Νείλου, δεόμεθά σου:

Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου καὶ τὰ πεδία τῆς Αἰγύπτου ⟨πλησθήτωσαν πιότητος⟩, πληθυνάτωσαν αἱ κοιλάδες αὐτῆς τοῦ σίτου, δεόμεθα:

Πιανθήτωσαν τὰ ὅρια τῆς χώρας Αἰγύπτου καὶ περιζωσάτωσαν οἱ βουνοὶ αὐτῆς ἐν ἀγαλλιάσει τὴν εὐλογίαν σου, δεόμεθά σου:

Ὁ γενόμενος ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν καὶ ἀρχιερωσύνης κατὰ τὴν τάξιν Μελχισεδὲκ ⟨καὶ ταύτην⟩ διὰ τοῦ παναγίου σου πνεύματος τελειώσας, αὐτὸς καὶ νῦν, δέσποτα, τοὺς καταξιωθέντας τῆς ἀποστολικῆς Ἐκκλησίας, καθέδρας τοῦ ἁγίου πατρὸς ἡμῶν τοῦ δ(εῖνα) τοῦ πατριάρχου, τοὺς εὐαγεῖς καὶ θείους ἐπισκόπους ⟨μετὰ⟩ καὶ παντὸς ἱερατικοῦ τάγματος, τούτους ἡμῖν δώρησαι καὶ ταῖς ἁγίαις σου Ἐκκλησίαις σώους, ὁσίους, ἐντίμους, ὑγιεῖς, μακροημερεύοντας ἐν εἰρήνῃ ⟨εἰς⟩ πολλῶν ἐτῶν περιόδους, δεόμεθά σου:

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοστέπτων ἡμῶν ἀνάκτων,

1 διαρρήξας — χειμάρρους] cf. Psalm. LXXIII, 15 || οἰακίζων *: ὑπὸ οἰακείζων C ὑποοιακίζων S; cf. Iob. XXXVII, 9. Psalm. LXXIII, 15  1/2 βούλεσαι *: βούλετε C βούλεται S  4 ὑπὲρ περισσοῦ C  6 ἐλεήμων CS  9 ἀνακαίνισον — γῆς] cf. Psalm. CIII, 30 || τῆς γῆς αὐτῆς διὰ addidi τῆς γῆς τῆς ἀμ. S  11/13 Psalm. LXIV, 11-12  12 καὶ τοῖς C  14 παιδία C || πλησθήτωσαν πιότητος addidi; cf. Psalm. LXIV, 12 || πληθ. — σίτου] cf. Psalm. LXIV, 14  16 πιανθήτωσαν *: πιανθήσονται C πιανθησάτωσαν S || ὅρια C ὡραῖα S; cf. p. 190, $^{27}/_{28}$  17 βονοὶ C  20 καὶ ταύτην inserui  23 τοῦ$^{\delta}$ C τοῦδε S || εὐαγοὺς C  24 μετὰ addidi  26 εἰς πολλῶν *: πολλοὺς CS



παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν καὶ τῆς οὐρανόθεν βοηθείας, σκέπης, νίκης αὐτῶν, δεόμεθά σου:

Ὑπὲρ τοῦ διαφυλαχθῆναι καὶ ῥυσθῆναι τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν πόλεως καὶ τῆς βασιλευούσης πόλεως καὶ τῆς πόλεως ἡμῶν ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν ἐν πίστει καὶ εὐλαβείᾳ Χριστοῦ οἰκούντων ἐν αὐταῖς ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας καὶ ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου, εὐκραεῖς τε καὶ ἐπωφελεῖς δωρηθῆναι τοὺς ἀέρας καὶ εὐλογηθῆναι τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς τοῦ Κυρίου χρηστότητος δεηθῶμεν.

Ὑπὲρ τῆς ἀπολυτρώσεως τῶν ψυχῶν ἡμῶν καὶ ὑπὲρ τοῦ συντριβῆναι τὸν Σατανᾶν ἐν τάχει ὑπὸ τοὺς πόδας ἡμῶν, καὶ ὑπὲρ τοῦ ἵλεων καὶ εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν φιλάνθρωπον θεὸν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλεῆσαι ἡμᾶς καὶ ἀποστρέψαι πᾶσαν ὀργὴν κινουμένην καθ' ἡμῶν, δεόμεθά σου:

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς τε καὶ ἀνάγκης, πικροῦ θανάτου τῶν ἀνομιῶν ἡμῶν, δεόμεθά σου:

Ὑπὲρ τοῦ περιεστῶτος πιστοῦ λαοῦ καὶ ἀπεκδεχομένου τὸ παρὰ σοῦ, κύριε, μέγα καὶ πλούσιον ἔλεος ἱκετεύομέν σε, πολυέλεε· σπλαγχνίσθητι καὶ ἐλέησον ἡμᾶς.

Σῶσον, ὁ θεός, τὸν χριστώνυμον λαόν σου καὶ εὐλόγησον τὴν ἐκ πατρὸς κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν καὶ ἀνάγαγε ἡμῖν τὰ ποτάμια ὕδατα ἐπὶ τὸ μέτρον αὐτῶν κατὰ τὴν σὴν χρηστότητα, καὶ τὴν εὐθηνίαν βράβευσον διὰ τοὺς πτωχοὺς τοῦ λαοῦ σου· καὶ πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν τῇ πρεσβείᾳ τῆς πανάγνου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τοῦ προδρόμου Ἰωάννου, τῶν θείων καὶ πανευφήμων ἀποστόλων καὶ τοῦ ἁγίου καὶ μακαρίου πατρὸς ἡμῶν Μάρκου τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ καὶ πάντων τῶν ἁγίων σου. ἱκετεύομέν σε, πολυέλεε κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

3 καὶ ῥυσθῆναι om S  7 καὶ om S  10 δεηθῶμεν om S  13 καὶ pr. om S || ἵλεον C || ἀδιάλλακτον C || γεν. τὸν ἀγαθὸν καὶ φ. S  16/17 Ὑπερ τοῦ ῥυσθῆναι usque ad δεόμ. σου om S  18 Καὶ ὑπὲρ S  19 ἱκετεύωμεν C  20 ἡμᾶς om S  23 χριστιανὸν C  31 τῶν ἁμαρτ. δεομένων σου om S  32 ἡμᾶς om S

Εἶτα ἄρχεται ὁ ἀρχιερεὺς τὴν εὐχὴν ταύτην εἰς ἐπήκοον πάντων, λέγων οὕτως·

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Τρίς.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Τρίς.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. Τρίς.

Εὐχὴ τῶν ἁγιασμῶν τοῦ Νείλου.

Δέσποτα ὑπεράγαθε, κύριε παντοκράτορ, ὁ θεὸς πάσης παρακλήσεως, ὁ στερεώσας τὸν οὐρανὸν ἐν συνέσει καὶ τοῦτον τῇ χορείᾳ τῶν ἄστρων στεφανώσας· ὁ τὴν γῆν θεμελιώσας ἐπὶ τῶν ὑδάτων καὶ ταύτην ζωγραφήσας τοῖς ἄνθεσιν· ὁ παράδεισον φυτεύσας ἐν Ἐδέμ, θέμενος ἐν αὐτῷ τὸ ξύλον τῆς ζωῆς· ὁ τὴν θάλασσαν ἐξαπλώσας καὶ ἀφθονίᾳ ψάμμου χαλινώσας, ὁ τὴν τετράρρυτον πηγὴν ἀναβλύζειν κελεύσας καὶ ταύτην εἰς τέσσαρας ἀρχὰς ποταμῶν καταμερίσας καὶ ὀνόμασιν ἰδίοις γνωρίμους ποιήσας τῇ οἰκουμένῃ καὶ ἑκάστῳ πορείαν ἑτοιμάσας τοῖς οἰκείοις τόποις πρέπουσαν, τὸν μὲν Φισῶν τῇ Εὐιλατικῇ τοῦ βορρᾶ χώραν κατακοσμήσας, Τίγριν τε καὶ Εὐφράτην τὸ μέσον γῆς πορεύεσθαι κελεύσας, τὸν δὲ Νεῖλον ἐξαίρετον κίνησιν ἐπιρρέειν προστάξας, τὰ καυστικώτερα τοῦ Νότου καὶ Αἰθιοπικὰ μέρη ποτίζειν, πελαγίζειν δὲ τὴν Αἴγυπτον καὶ ἀρδεύειν εἰς τελεσφορίαν καρπῶν καὶ σιτοφορίας αὔξησιν, εἰς σωτηρίαν τῶν ἐνοικούντων προθυμούμενον· τούτου τοίνυν τῆς ἀναβάσεως ἀρχομένης τὴν ἀπαρχὴν προσφερομέν σοι γεραίροντες. δεόμεθα καὶ παρακαλοῦμέν σε, εὔσπλαγχνε,

1 ἐπήκοων C 4 ἀμὴν om C 5 Luc. II, 14 7 Psalm. L, 17 || ἀνοίξοις C 9 Psalm. LXX, 8 12 παντοκράτωρ CS 13/15 στερεώσας — ὑδάτων] cf. Psalm. CXXXV, 5, 6 13/14 χορία C 15 παράδεισον — ζωῆς] cf. Gen. II, 8, 9 17 καὶ ἀσθενεία ψάμμω χαληνώσας CS 19 καταμερίσας *: καταμετρήσας CS || ἰδίους γνωρίμω C || γνωριμοποιήσας S 20 τὴν οἰκουμένην CS || πορίαν C || τὴν τοῖς S 21 φεισὸν C φεισῶν S || εὐιλατικὴν C εὐειλατ. S || βορρᾶν C 22 τίγρην C || τὸ *: τὸν C τὴν S 23 προστράξας C 24 καυστηκότερα C 25 τελεσφορείαν καρπὸν C 25/26 σιτοφορίαν C 26 προθυμούμενος CS



οἰκτῖρμον, εἰρηνικὴν αὐτοῦ τὴν ἀνάβασιν γενέσθαι, ἐπὶ τὸ μέτρον τὸ οἰκεῖον τεινομένην τῇ σῇ χάριτι. ἀμήν.

Παράσχου, ἀγαθέ, τὴν εὐλογίαν σου τῇ γῇ διὰ τῶν τοῦ Νείλου ποταμοῦ ὑδάτων. — ἀμήν.

Αὔξησον τοὺς καρποὺς τῆς γῆς διὰ τὴν χρείαν τοῦ λαοῦ σου· τελείως τὴν εὐετηρίαν κατακόσμησον. — ἀμήν.

Παρὰ σοὶ γὰρ πηγὴ ζωῆς καὶ ἄβυσσος εὐλογιῶν καὶ πᾶσα δόσις ἀγαθή. — ἀμήν.

Διὸ δεόμεθά σου, δημιουργὲ τοῦ παντός, εὐλόγησον τὰ τοῦ Νείλου ποταμοῦ ὕδατα διὰ τῶν προκειμένων ὑδάτων. — ἀμήν.

Τὰ τοῦ Νείλου ποταμοῦ ῥεῖθρα αὔξησον πρὸς καρπογονίαν τῆς γῆς. — ἀμήν.

Ὡς γὰρ τῷ Νείλῳ ποταμῷ παριστάμενοι, τὸ προκείμενον ὕδωρ τύπον ἔχοντες, καθικετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, κύριε ὁ θεὸς ἡμῶν, τὴν εὐλογίαν σου κατάπεμψον τοῖς τοῦ Νείλου ποταμοῦ ὕδασιν. — ἀμήν.

Ὡς γὰρ τὸ ἐξ αὐτοῦ πινόμενον ὕδωρ ζωτικὴν δύναμιν ἐμποιεῖ τοῖς σώμασιν, οὕτως καὶ ταῖς λαγόσι τῆς γῆς καταποθούμενον αὔξησιν καρπῶν ἐμποιεῖ, θρεπτικῶς καὶ αὐξητικῶς τὰ ἐκ τῆς γῆς φυόμενα τελεσφοροῦν. — ἀμήν.

Ὅθεν δυσωποῦμέν σε, πολυοικτῖρμον καὶ φιλεύσπλαγχνε καὶ φιλόψυχε κύριε, ἀναβιβάσαι τὰ τοῦ Νείλου ποταμοῦ ὕδατα ἐπὶ τὸ μέτρον αὐτῶν. — ἀμήν.

Πληρωθήτω, δέσποτα, ὁ ποταμὸς τοῦ θεοῦ Νεῖλος ὑδάτων. — ἀμήν.

Ἑτοίμασον τῷ λαῷ σου τροφὴν δι᾽ αὐτοῦ, ὅτι οὕτως ἐστὶν ἡ ἑτοιμασία σου. — ἀμήν.

Ἐπίσκεψαι τὴν γῆν διὰ τῶν τοῦ ποταμοῦ ὑδάτων καὶ μέθυσον αὐτήν· πλήθυνον ἀμέτρως ὕδατα καὶ πλούτισον αὐτήν. — ἀμήν.

Τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς. — ἀμήν.

6 εὐετηρίαν *: εὐκτηρίαν CS 7 σοὶ] σοῦ CS; cf. Psalm. XXXV, 10 || ἀβύσσου CS 7/8 πᾶσα δ. ἀγαθή] cf. Iac. I, 17 19 καρπὸν C || καὶ αὐξητικῶς om S 21 πολλοικτείρμον C 22 ἀναβίβασαι C 24 Πληρωθήτω — ἀνατέλλουσα] cf. Psalm. LXIV, 10-11 26 αὐτὸν C αὐτῶν S || οὗτος CS 29 ἀμέτρος C ἄμετρα S

Εὐφρανθήτω ἡ γῆ ἀνατέλλουσα καρποὺς ἀγαθοὺς καὶ βρίθουσα φυτοῖς ὡραϊζομένοις τοῖς ἄνθεσιν διὰ τῶν τοῦ Νείλου ποταμοῦ ναμάτων. — ἀμήν.

Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου καὶ τὰ πεδία τῆς γῆς πλησθήσονται πιότητος. — ἀμήν.

Πιανθήτωσαν τὰ ὅρια τῆς γῆς Αἰγύπτου διὰ τῶν ποταμίων ὑδάτων. — ἀμήν.

Καὶ ἀγαλλίασιν αἱ ἄρουραι περιζωσάτωσαν, καὶ αἱ κοιλάδες αὐτῆς πληθυνέτωσαν σῖτον διὰ τὴν χρείαν τοῦ λαοῦ σου.—ἀμήν.

Εὐλόγησον δὲ καὶ ἡμᾶς, κύριε ὁ θεὸς ἡμῶν, καὶ καρποὺς ἀγαθοὺς καὶ σοὶ εὐαρέστους ποιῆσαι ἀξίωσον καὶ πνευματικῶς καρποφορῆσαι — ἀμήν.

Ἐν τριάκοντα — ἀμήν.

Καὶ ἑξήκοντα — ἀμήν.

Καὶ ἐν ἑκατόν, — ἀμήν.

Ἐξιλασκόμενος τὰς ἁμαρτίας ἡμῶν. — ἀμήν.

Ὅτι εὐλόγηταί σου τὸ ὄνομα, δεδόξασταί σου ἡ βασιλεία, ὑπερύμνηταί σου τὸ κράτος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

*Ὁ διάκονος λέγει·*

Τὰς κεφαλὰς ὑμῶν ⟨τῷ κυρίῳ κλίνατε⟩.

***Καὶ ὁ ἀρχιερεὺς τὴν εὐχήν·***

Κύριε ὁ θεὸς ἡμῶν, ὁ πάντα συστησάμενος τῇ ἀκαταλήπτῳ σου σοφίᾳ, ἔπιδε ἐπὶ τὴν ποίμνην σου, ἣν ἐκτήσω τῷ τιμίῳ σου αἵματι, καὶ λύτρωσαι αὐτὴν ἀπὸ πάσης ἀπειλῆς, πορίζων αὐτὴν ἐσθλοπαρόχως τοῖς θείοις σου οἰκτιρμοῖς· καὶ τὰ τοῦ Νείλου ποταμοῦ νάματα ἀνάγαγε ἐπὶ τὸ ἴδιον μέτρον αὐτοῦ· εὔφρανον καὶ ἀνακαίνισον τὸ τῆς γῆς πρόσωπον, ὅπως ἐν εὐθηνίᾳ δι-

---

1 γῆ καὶ S  1/2 βρίθουσα φυτοῖς ὡραϊζομένοις *: βρύθουσ (βρίθους S) ἀμφύτουσ. καὶ ὡραϊζομένους CS  4/8 cf. Psalm. LXIV, 12-13  6 πιανθήσονται CS  8 ἀροῦραι C || περιζώσονται CS || κυλάδες C  13 ἓν S  13/15 cf. Marc. IX, 8  14 ἓν ἑξήκ. S  15 ἓν S  21 λέγει om S  23 ἱερεὺς S  25 ἔπιδε S ἔφυ δὲ CS  27 ἐυσθλοπάραχος CS || τὰ S κατὰ C  28 αὐτῶν S  29 ἀνακαίνισον — πρόσωπον] cf. Psalm. CIII, 30 || εὐθηνεία S



άγωμεν δοξάζοντες τὸ πανένδοξόν σου ὄνομα σὺν τῷ ἀθανάτῳ σου πατρὶ καὶ τῷ ὁμοθρόνῳ σου πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ διάκονος λέγει·*

Ἔτι τοῦ κυρίου δεηθῶμεν.

*Ὁ ἀρχιερεὺς τὴν εὐχήν·*

Δέσποτα κύριε ὁ θεὸς ἡμῶν ὁ παντοκράτωρ, ὁ τὸν ἅγιόν σου Μᾶρκον ἀναδείξας μιμητὴν καὶ μαθητὴν τοῦ μονογενοῦς σου υἱοῦ, κυρίου δὲ καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ὁ τὴν τοῦ παρακλήτου σου πνεύματος δύναμιν εἰς αὐτὸν ἐπιφοιτήσας καὶ θεοκήρυκα καὶ εὐαγγελιστὴν αὐτὸν τῇ οἰκουμένῃ χαρισάμενος, ἀπελάσαντα τὴν ἀχλὺν τῆς εἰδωλομανίας καὶ φωτίσαντα τὰ πέρατα ταῖς θείαις καὶ ἀκηράτοις μαρμαρυγαῖς τῆς σῆς ἀληθοῦς θεογνωσίας· αὐτὸς οὖν, δέσποτα, τὴν δι' αὐτοῦ κηρυχθεῖσαν ἡμῖν ὀρθόδοξον πίστιν φυλάξαντας συμμετόχους καὶ κληρονόμους αὐτοῦ ἀνάδειξον ἡμᾶς ⟨εἰς⟩ τὴν τῶν οὐρανῶν βασιλείαν χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ· μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ εὐθὺς λαμβάνων ὁ ἀρχιερεὺς τὸ τίμιον ξύλον τοῦ ζωοποιοῦ σταυροῦ μετὰ χεῖρας εὐλογεῖ τὰ ὕδατα καὶ λέγει·

Ἀλληλούϊα.

*Ὁ ἱερεὺς ἐκφωνεῖ·*

Φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων· ὁ θεὸς τῆς δόξης ἐβρόντησε· κύριος ἐπὶ ὑδάτων πολλῶν.

Στίχος. Ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων· ἡτοίμασας τὴν τροφὴν αὐτῶν.

Στίχος. Τοὺς αὔλακας αὐτῆς μέθυσον· πλήθυνον τὰ γεννήματα αὐτῆς.

Στίχος. Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου καὶ τὰ πεδία σου πλησθή⟨σονται πιότητος⟩.

---

4 λέγει om S  6 ἱερεὺς S  8 καὶ μαθητὴν om S  14 κηρύχθησαν C  15 φυλάξαντα CS  16 εἰς inserui  18 σὺν τῷ ἀνάρχῳ σου πατρὶ ἅμα τῷ S  20 λαμβάνει S  21 και εὐλογεῖ τὰ ὕδ. λέγων S  23/31 Ἀλληλούια usque ad πιότητος om S

Δόξα: — Καὶ νῦν:

***Καὶ βάλλει ὁ ἀρχιερεὺς τὸ τίμιον ξύλον τοῦ ζωοποιοῦ σταυροῦ εἰς τὰ ὕδατα λέγων·***

Εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Εἶτα ῥαντίζεται ὁ λαὸς ἅπας ἐκ τῶν ἁγιασθέντων ὑδάτων, ψαλλόντων ψαλμὸν λγ'· «Εὐλογήσω τὸν κύριον». Καὶ τότε γίνεται ἡ εὐχὴ τῆς ἀπολύσεως.

---

# Β'.

## ΑΚΟΛΟΥΘΙΑ ΥΠΕΡ ΤΗΣ ΑΝΑΒΑΣΕΩΣ ΤΟΥ ΝΕΙΛΟΥ,

ἥτις ἐτελεῖτο πρότερον κατὰ τὴν ἐπομένην Κυριακὴν τῆς Ἀναλήψεως, νῦν δὲ μετετέθη τῇ Κυριακῇ τῶν Ἁγίων Πάντων.

---

Ἡ παροῦσα ἀκολουθία ἐφιλοπονήθη μὲν παρὰ τοῦ μακαριωτάτου, σοφωτάτου τε καὶ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας κυρίου κυρίου Γερασίμου, τοῦ μετὰ τὸν Κύριλλον Λούκαρην (ὥς φασιν) χρηματίσαντος· τῷ χρόνῳ ὅμως τῷ πανδαμάτορι καὶ αὕτη ὑποπεσοῦσα συνεφθάρη μετὰ καὶ τῶν ἄλλων αὐτοῦ ⟨πραγμάτων⟩ καὶ σχεδὸν ἔρρευσε καὶ μόλις που διεσώθη μία αὐτῆς ἀντιγραφὴ πλήρης πολλῶν καὶ παντοίων σφαλμάτων· ἥνπερ ὁ μακαριώτατος, θειότατος, σοφώτατός τε καὶ ἁγιώτατος ἡμῶν πάπας καὶ πατριάρχης κύριος κύριος Θεόφιλος Λιβύης ὢν διωρθώσατο· τανῦν δὲ μετ' ἀκριβοῦς ἐπιμελείας τε καὶ ζήλου ἀντέγραψεν ὁ ἐν ἐμπόροις ἐλάχιστος Δημήτριος Βλαστός, ὁ ἐκ τῆς νήσου Ῥόδου, ὡς ὁρᾶται, διὰ προτροπῆς καὶ παρακινήσεως τοῦ πανοσιολογιωτάτου ἁγίου μέγα ἀρχιμανδρίτου κυρίου κυρίου Νεκταρίου καὶ ἐπιτρόπου τοῦ θρόνου Ἀλεξανδρείας· ὅθεν οἱ ἀναγινώσκοντες ταύτην εὔχεσθε ὑπὲρ ἡμῶν. Ἐν Αἰγύπτῳ, τῇ δ' Μαΐου. ͵αωκβ^ψ. Ὁ ἐλάχιστος γραφεὺς Δημήτριος Βλαστός.

---

Μετὰ τὸ εἰπεῖν τὸν ἱερέα τὴν ὀπισθάμβωνον εὐχὴν ἐξερχόμεθα παρὰ τῇ φιάλῃ, ἐχούσῃ ὕδωρ, καὶ ψάλλομεν τὰ παρόντα τροπάρια.

Ἦχος πλάγιος δ'. Δίς.

Φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων * βοᾷ λέγουσα·
Θαῦμα παράδοξον * τετέλεσται σήμερον ἐν τῇ Αἰγύπτῳ,

6 ῥαντίζει S || ψάλλοντες S  7 γίνεται ἡ ἀπόλυσις τῆς θείας λειτουγίας. Ὁ ἱερεὺς λέγει ἐκφώνως. Ἀλληλούια, ἦχος δ'. Φωνὴ κυρίου usque ad πλησθ. πιότητος. δόξα καὶ νῦν. ἀμήν S  9 Codex chart. (№ 13) in biblioth. Patriarchatus Alexandrini, quæ servatur in civ. Cahiro.



πνεῦμα σοφίας *, πνεῦμα συνέσεως,
πνεῦμα φόβου θεοῦ *, τοῦ ἐπιφανέντος Χριστοῦ.

Ὅμοιον.

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων * βοᾷ λέγουσα.
Δεῦτε, ἴδετε πάντες * πρᾶγμα θαυμάτων *, θαῦμα πραγμάτων,
τῆς τοῦ Νείλου ποταμοῦ * πλημμύρας καὶ ἀναβάσεως,
κράζοντες *· "Μέγας εἶ, κύριε,
καὶ θαυμαστὸς ἐν τοῖς ἔργοις σου *. δόξα σοι".

Ὅμοιον.

Σήμερον τὰς εὐλογίας σου * αἰτοῦμεν κατιδεῖν, φιλάνθρωπε,
ἐπὶ τοῖς Νειλῴοις ὕδασι· * καὶ προσπίπτοντες ἐν κατανύξει
βοῶμέν σοι· * "Ὑδάτων πλήρωσον τὸν ποταμόν σου,
δέσποτα, * καὶ ἐλέησον ἡμᾶς".

Ὅμοιον.

Σήμερον ἄβυσσος ἄβυσσον ἐπικαλεῖται
εἰς βροχὴν ἑκούσιον * καὶ ῥανίδα ἐλέους τοῦ θεϊκοῦ
ἐπὶ τὸν ἐν Αἰγύπτῳ ποταμὸν κατελθεῖν
κατὰ τὴν τοῦ χρόνου περίοδον· * ὅθεν κράζομεν·
" Κύριε ὁ θεὸς ἡμῶν, * πλούσια τὰ ἐλέη σου
καὶ τοὺς οἰκτιρμούς σου * κατάπεμψον ἡμῖν ὡς φιλάνθρωπος ".

Ὅμοιον.

Τὴν πέτραν δίς ποτε πατάξας Μωϋσῆς
ὑδάτων ποταμοὺς ἐξήγαγεν,
οἱ δὲ διψῶντες παρ' ἐλπίδα ἔπιον·
σὲ δέ, σωτήρ, τὸν ζῶντα λίθον
τῇ χάριτι τῆς σταυρικῆς ῥάβδου κρούοντες
τῆς σῆς δωρεᾶς τὰ ῥεῖθρα * ἐλπίζομεν ἰδεῖν
ἐπὶ τὸν ποταμόν σου τὸν ἅγιον,
καὶ κατάπεμψον αὐτὰ * καὶ σῶσον ἡμᾶς.

Ὅμοιον.

Κύριε ὁ θεὸς ἡμῶν,
ὁ λόγῳ σου τῷ παντουργῷ * στερεώσας τὸν οὐρανὸν
καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας
καὶ τῷ πνεύματί σου τῷ ἁγίῳ

συνέχων καὶ τρέφων * πᾶσαν τὴν κτίσιν
καὶ τῇ θείᾳ σου προνοίᾳ
ποταμοὺς ἐκ τῶν ἀβύσσων τῆς γῆς
ἀναβλύζειν ὁρίσας, * αὐτός, κύριε.
καὶ τὰς τοῦ ἐν Αἰγύπτῳ * ποταμοῦ πλημμύρας
καὶ ἀναβάσεις πρυτάνευσον * ὡς μόνος παντοδύναμος.

Ὅμοιον.

Ἰουδαίων τῷ ἔθνει * τὰ πικρὰ ὕδατα
εἰς γλυκύτητα μεταβαλὼν
ἔδειξας τὸ ἀνείκαστόν σου ἔλεος·
τὰς δὲ ξηρὰς τῆς γῆς αὔλακας
ταῖς νεφέλαις σου ἐμέθυσας * ἐν ἱκεσίαις τῶν δούλων σου.
ἀλλὰ καὶ νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχόμενος
εὔφρανον ἡμᾶς ἐν τῇ πλημμύρᾳ τοῦ Νείλου
καὶ μέθυσον ἅπαν τὸ τῆς Αἰγύπτου πρόσωπον,
ἵνα σε δοξάζωμεν εἰς πάντας τοὺς αἰῶνας.

Δόξα. Καὶ νῦν. Ὁ αὐτὸς (ἦχος).

Δεῦτε, πάντα τὰ ἔθνη, * καὶ ἐνωτίσασθε
πάντες οἱ κατοικοῦντες τὴν γῆν
θαῦμα πᾶσαν ἔννοιαν ἐκπλῆττον.
ὄμβρους ἄνωθεν * τὰ ποικίλα τῶν δένδρων
ἐκ προνοίας καταδέχεται,
τὰ δὲ παντοδαπὰ τῶν φυτῶν κάλλη
ὑετοῖς καταποτίζεται·
ἐξ ὧν λίμναι πλουτοῦνται,
φρέατα ἐκβλύζουσι, * πηγαὶ νάουσι
καὶ ποταμοὶ πρόσφατοι * μετ' ἀεννάων καλλιρροοῦσι·
κάτωθεν δὲ πλῆθος ὑδάτων ἀναρριχᾶν
οὐδέ τις τῶν μυστιπόλων προέφη,
ὅτε ἐκ θεοῦ ἡ φύσις ἐτίκτετο.
ἀλλ' ἐθαυματούργησε τοῦτο
ὁ τῆς κτίσεως ἀρχιτέκτων
ἐπὶ τὸν ποταμὸν τῆς Αἰγύπτου,
ἐξ ἐλέους ὄντως αἰτιώμενος.
ἱλεώσωμεν τοίνυν τὸν ἡμᾶς ἐλεοῦντα



ἐν τοῖς ἀγαθοῖς * καὶ ἱεραῖς πράξεσιν,
ἵνα καὶ νῦν ἐλεήσηται * ἡμᾶς τῇ αὐτῇ πλημμύρᾳ
τῷ ἤθει τῆς αὐτοῦ ἀγαθότητος,
ὑμνοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

*Ὁ διάκονος·*

Σοφία. Πρόσσχωμεν.

Γενέσεως τὸ ἀνάγνωσμα· Αὕτη ἡ βίβλος:
Βασιλειῶν τετάρτης τὸ ἀνάγνωσμα· Εἶπον οἱ ἄνδρες:
Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα· Τάδε λέγει κύριος·
Ἀντλήσατε ὕδωρ etc. usque ad ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ αὐτῆς.

***Καὶ εὐθὺς τὸ προκείμενον τοῦ Ἀποστόλου.***

Προκείμενον. Ἦχος πλ. β'.

Πληθησόμεθα ἐν τοῖς ἀγαθοῖς:

Πρὸς Κορινθίους β' ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί, ὁ σπείρων φειδομένως:

***Εἶτα τὸ Εὐγγέλιον.***

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ εἶδεν ὁ Ἰησοῦς:

*Ὁ διάκονος·*

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν:
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας:
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου:
Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου:
Ὑπὲρ τοῦ πατρὸς ἡμῶν πάπα καὶ πατριάρχου:
Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως:
Ὑπὲρ εὐκρασίας:
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων:
Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα ταῦτα τῇ δυνάμει:
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως:
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον:
Τῆς παναγίας ἀχράντου:

***Ἐκφώνως.***

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις:

Μετὰ δὲ τὴν ἐκφώνησιν ταύτην ἄρχεται ὁ πατριάρχης καὶ ψάλλει μετὰ κατανύξεως τὸ κάτωθι τροπάριον.

Ἦχος πλ. β'.

Εὔσπλαγχνε, μακρόθυμε * καὶ πανοικτῖρμον κύριε,
κατάπεμψον τὸ ἔλεός σου ἐπὶ τὸν λαόν σου.

***Ὁ χορός·***

Ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων.
εὔσπλαγχνε, μακρόθυμε * καὶ πανοικτῖρμον κύριε,
κατάπεμψον τὸ ἔλεός σου ἐπὶ τὸν λαόν σου.

***Ὁ δεύτερος χορός·***

Ὅτι οὕτως ἡ ἑτοιμασία ⟨σου⟩,
τὰς αὔλακας αὐτῆς μέθυσον,
εὔσπλαγχνε, μακρόθυμε.

***Καὶ πάλιν ὁ πατριάρχης ἄρχεται·***

Ὡς οἰκτίρμων, κύριε,
σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου
καὶ ἀνάγαγε τοῦ Νείλου τὰ ὕδατα
καὶ ἐλέησον ἡμᾶς ὡς φιλάνθρωπος.

***Ὁ χορός·***

Πλήθυνον τὰ γεννήματα αὐτῆς.
ὡς οἰκτίρμων, κύριε etc.

***Ὁ δεύτερος ⟨χορός⟩·***

Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ etc.
ὡς οἰκτίρμων, κύριε etc.

***Ὁ πατριάρχης·***

Δόξα. Ὁ αὐτὸς ἦχος.

Τριὰς ὁμοούσιε, * πάτερ, υἱὲ
σὺν τῷ πνεύματι, * δέξαι μου τὴν δέησιν
καὶ εὐλόγησον * τοῦ ποταμοῦ σου τὰ νάματα,
ἵνα πάντες εὐφρανθῶμεν * καὶ δοξάσωμεν
τὸ ἅγιόν σου ὄνομα εἰς τοὺς αἰῶνας.

***Ὁ δὲ χορὸς τὸ***

Καὶ νῦν. Ὁ αὐτὸς ἦχος.

Παναγία δέσποινα, * ἱκέτευσον τὸν υἱόν σου
καὶ πλάστην σου, * τοῦ ἐλεῆσαι τοὺς δούλους σου
καὶ ἀναγαγεῖν τοῦ Νείλου τὰ ῥεῖθρα



εἰς ἀγαλλίαμα πάντων τῶν ἐθνῶν,
τῶν τιμώντων * τὸ ἅγιόν σου ὄνομα εἰς τοὺς αἰῶνας.

***Εἶτα ἄρχεται ὁ διάκονος·***

Ἐλέησον ἡμᾶς, ὁ θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλ' ἀναμένων αὐτοῦ τὴν ἐπιστροφὴν καὶ τὴν μετάνοιαν, ἐπάκουσον ἡμῶν δεομένων σου.

Ὁ ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς ἀνάγαγε τὰ ποτάμια ῥεῖθρα τοῦ Νείλου καὶ ἐλέησον ἡμᾶς δεομένους σου.

Ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς γῆς, κατάπεμψον τὴν εὐλογίαν σου ἐφ' ἡμᾶς δεομένους σου.

Αὐτὸς θεέ, πλουσιόδωρε, δέσποτα πανοικτῖρμον, ἐπίσκεψαι τὴν γῆν τῆς Αἰγύπτου καὶ μέθυσον αὐτὴν ταῖς καλαῖς ἀναβάσεσι τοῦ Νείλου ἐλεῶν ἡμᾶς δεομένους σου.

Εὔφρανον καὶ ἀνακαίνισον τὴν ἐπιφάνειαν τῆς γῆς Αἰγύπτου τῇ πλημμύρᾳ τῶν ὑδάτων τοῦ Νείλου, καὶ ἐλέησον ἡμᾶς δεομένους σου.

Τὰς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς τοῖς ἀγαθοῖς ὁρμήμασι τοῦ Νείλου· δέσποτα πολυέλεε, ἐπάκουσον ἡμῶν δεομένων σου.

Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου καὶ τὰ πεδία τῆς Αἰγύπτου πληθυνάτωσαν τῶν παντοδαπῶν γεννημάτων τῆς σῆς ἀγαθότητος, καὶ ἐλέησον ἡμᾶς ὡς φιλάνθρωπος.

Καταδρόσισον καὶ κατάρδευσον τοῖς αὐτοῖς τοῦ Νείλου ὕδασι καὶ τοὺς πέριξ χρῄζοντας καὶ δεομένους τόπους, φιλάνθρωπε, ἡμῶν δεομένων σου.

Ὁ οἰκτίρμων καὶ ἐλεήμων οἰκτίρησον καὶ ἐλέησον ἡμᾶς τοὺς ἁμαρτωλοὺς δούλους σου δεομένους σου.

***Καὶ ὁ πατριάρχης·***

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

*Εἶτα λέγει ὁ διάκονος·*

Τοῦ κυρίου δεηθῶμεν.

*Ὁ δὲ πατριάρχης τὴν παροῦσαν εὐχήν·*

Κύριε ὁ θεὸς ἡμῶν, ὁ μέγας τῇ δυνάμει καὶ θαυμαστὸς τοῖς ἀποτελέσμασιν· ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀνεξιχνίαστε, ὑπερούσιε καὶ ὑπέρθεε· ὁ λόγῳ σου τῷ παντουργῷ καὶ πνεύματί σου τῷ τελεσιουργῷ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα ὡς βουλήσει τὴν δύναμιν σύνδρομον ἔχων ἐν ἑαυτῷ· τῆς γὰρ δυνάμεώς σου μέτρον ἰσόρροπον τὸ θέλημά σου ἐστί, τὸ δὲ θέλημά σου προνοίας γνώρισμα ἐπὶ πᾶσαν τὴν κτίσιν ἀναδείκνυται· σὺ γὰρ βουλήσει ἐν ἀρχῇ τῆς δημιουργίας σου σοφίας δύναμιν ἐναρξάμενος τὸν οὐρανὸν καὶ τὴν γῆν ἐποίησας· καί γε σοφίας μείζονος γνώρισμα ἐνδεικνύμενος τὸν μὲν οὐρανὸν περιφερῆ ὡσεὶ καμάραν διέταξας καὶ τοῦτον διὰ τῶν μεγάλων φωστήρων καὶ τῶν ἄλλων ἀστέρων κατεκόσμησας, τὴν δὲ γῆν ἐπὶ ὑδάτων ἑδράσας χλόῃ τε καὶ χόρτῳ καὶ ποικιλίᾳ σπερμάτων φυτῶν τερπνοτέραν ἀνέδειξας. ἀλλὰ καὶ στοιχείων θέσιν καὶ ἡλίου τροπὰς καὶ καιρῶν ἐναλλαγὰς τῇ κτίσει διαρκέσας συνέχεσθαι καὶ συντηρεῖσθαι ταύτην παρεσκεύασας· σὺ γὰρ εἶ ὁ θεὸς ἡμῶν, ᾧ οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν ἄβυσσοί τε καὶ πᾶσαι αἱ πηγαὶ ὑπείκουσι καὶ τῷ προστάγματι τῷ σῷ ἀπαρατρέπτως ὑποτάττονται· πρόσταγμα γὰρ ἔθου, ὃ οὐ παρελεύσεται· σὺ γὰρ εἶ ὁ θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν καὶ ἐπισκεπτόμενος τὴν γῆν καὶ μεθύων αὐτὴν ἐξ ὑδάτων πολλῶν· σὺ γὰρ εἶ ὁ θεὸς ἡμῶν, ὁ ἀνάγων νεφέλας ἐξ ἐσχάτων τῆς γῆς καὶ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν τοῦ παντοδυνάμου σου νεύματος ὡς ἔργον ἔμμονον τῆς σῆς ἀγαθότητος· σὺ γὰρ εἶ ὁ θεὸς ἡμῶν, ὁ τὴν τῶν ὑδάτων ἄβυσσον εἰς λίμνας καὶ ὑλώδεις χώρας*, ἐπαρκῶν εἰς πλησμονὴν καὶ εὐφορίαν τῶν ἐπιγείων σου ἀγαθῶν· σὺ γὰρ εἶ ὁ θεὸς ἡμῶν, ὁ προσκαλούμενος τὸ ὕδωρ τῶν θαλασσῶν καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον πάσης

14 ὡσεὶ καμάραν] cf. Es. XL, 22 22 προσταγμα—παρελεύσεται] cf. Psalm. CXLVIII, 6 23 ὁ ἐν ὑψηλοῖς — ἐφορῶν] cf. Psalm. CXII, 5, 6 || ἐπισκεπτόμενος — ὑδάτων] cf. Psalm. LXIV, 10 25 ἀνάγων — θησαυρῶν] cf. Psalm. CXXXIV, 7 29/30 ὁ προσκαλούμενος — τῆς γῆς] cf. Am. V, 8. IX, 6



τῆς γῆς καὶ πληθύνων τὰ γεννήματα αὐτῆς εἰς ἔνδειξιν προνοίας σου τῆς φιλανθρώπου· σὺ γὰρ εἶ ὁ θεὸς ἡμῶν, ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης καὶ ὑψῶν τὰ κύματα αὐτῆς, μὴ τὰ κατὰ ψάμμον ὅρια ὑπερβαίνειν δυναμένης εἰς φυλακὴν τοῦ προστάγματός σου. θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, κύριε· θαυμαστοὶ οἱ μετεωρισμοὶ τῶν ὑδάτων, δέσποτα· θαυμαστοὶ οἱ μετεωρισμοὶ καὶ αἱ ἀναβάσεις τοῦ ἐν Αἰγύπτῳ ποταμοῦ Νείλου, παντοδύναμε· βροχὴν γὰρ ἑκούσιον ἀφορίζεις καὶ χορηγεῖς ἐν αὐτῷ, κύριε ὁ θεὸς ἡμῶν, ὅθεν ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων· ἐπῆραν οἱ ποταμοί, κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν ἀπὸ φωνῶν ὑδάτων πολλῶν. ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας καὶ ποιεῖς· οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, κύριε· οὐκ ἔστιν ὅμοιός σοι ἐν θαυμασίοις, ὅτι σὺ εἶ θεὸς μόνος ὁ ποιῶν θαυμάσια καὶ ἐπιτελῶν τεράστια μεγάλα τε καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια. σὲ τοίνυν τὸν ποιητὴν καὶ συνοχέα τοῦ παντὸς ἱκετεύομεν καὶ σοῦ δεόμεθα λέγοντες· κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ ἁγίου σου καὶ σπλαγχνίσθητι ἐπὶ τὸ πλάσμα σου· κύριε, ἄνοιξον τὴν χεῖρα τῆς πανσθενουργοῦ σου δυνάμεως, ὅπως τὰ σύμπαντα πλησθήσωνται χρηστότητος· κύριε, ἄνοιξον τὴν θύραν τοῦ ἐλέους σου, ἵνα καρποφορήσῃ πᾶσα ἡ γῆ· κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν καὶ πάριδε τὰ πταίσματα ἡμῶν ὡς πολυέλεος· μνήσθητι, κύριε ὁ θεὸς ἡμῶν, ὅτι ἔργα τῶν χειρῶν σου ἐσμέν· μνήσθητι κύριε, ὅτι χοῦς ἐσμεν· μνήσθητι, κύριε, τῆς ἀσθενείας καὶ τῆς ταπεινώσεως ἡμῶν καὶ ἐλέησον ἡμᾶς καὶ δώρησαι τὴν ἀνάβασίν τε καὶ πλήμμυραν τοῦ ποταμοῦ Νείλου εἰς ἕλη καὶ ὑλώδεις χώρας γενέσθαι, εἰς καρποφορίαν καὶ εὐθηνίαν τῆς ἀνίκμου καὶ ἀνύδρου ταύτης γῆς· σὺ γάρ, κύριε ὁ θεὸς ἡμῶν, κατ' ἰδίαν ἀγαθότητα καὶ φιλανθρωπίαν τὸν υἱόν σου τὸν μονογενῆ ἐξαπέστειλας καὶ ἐκ παρθένου Μαρίας σάρκα φορέσαι καὶ ἐνανθρωπῆσαι ηὐδόκησας, σταυρόν τε καὶ θάνατον

2 ὁ συνταράσσων — κύματα αὐτῆς] Psalm. LXIV, 8 5 θαυμαστοὶ —θαλάσσης] Psalm. XCII, 4 9 ὁ ποταμὸς — ὑδάτων] Psalm. LXIV, 10 10/11 ἐπῆραν — πολλῶν] Ps. XCII, 3 11/12 ὡς ἐμεγαλύνθη — ἐποίησας] Ps. XCI 6. CIII, 24 13 οὐκ ἔ. ὅμ. σοι] Ps. LXXXV, 8 14 μόνος — θαυμάσια] cf. Ps. LXXI, 18 17 ἐπίβλ. ἐξ οὐρανοῦ] Ps. LXXIV, 15 19 πλησθ. χρηστότητος] cf. LXIV, 12

καὶ ταφὴν τριήμερον σαρκὶ καταδέξασθαι ἠθέλησας διὰ τὴν τοῦ κόσμου σωτηρίαν· ὃς μὲν τῇ τρίτῃ ἡμέρᾳ ἀναστὰς εἰς οὐρανοὺς ἀνελήφθη, ἔνθεν καὶ κατέπεμψε τὸ παρὰ σοῦ θεοῦ καὶ πατρὸς ἐκπορευόμενον πνεῦμα ἅγιον ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους· ὃ καὶ ἐφώτισε καὶ ἐθάρρυνεν αὐτοὺς ἐν τῷ κόσμῳ κηρύξαι τὸ τῆς ἁγίας καὶ ὁμοουσίου τρισυποστάτου τε καὶ ἀδιαιρέτου τριάδος ὑπερούσιον καὶ ὑπέρθεον μυστήριον, ὡσαύτως δὲ καὶ τὸ τῆς ἐνανθρωπήσεως τοῦ υἱοῦ σου μέγα καὶ ὑπὲρ φύσιν θαυμαστὸν καὶ ἀνερμήνευτον ἀποτέλεσμα καὶ διήγημα. αὐτὸς οὖν, κύριε ὁ θεὸς ἡμῶν, καὶ νῦν τὸ πνεῦμά σου τὸ ἅγιον κατάπεμψον καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο (ἐκ τρίτου), καὶ δὸς ἡμῖν καὶ παντὶ τῷ λαῷ σου πλούσια τὰ ἐλέη σου πρεσβείαις τῆς ἀπειράνδρως σε τεκούσης ἁγνῆς θεομήτορος ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τοῦ τιμίου ἐνδόξου προφήτου Ἠλιοὺ τοῦ θεσβίτου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου ἐνδόξου πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου, τῶν ἐν ἁγίοις πατέρων οἰκουμενικῶν διδασκάλων καὶ ἱεραρχῶν, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας, τοῦ θαυματουργοῦ, τῶν ἁγίων ἐνδόξων καὶ πολυάθλων μαρτύρων, τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου καὶ θαυματουργοῦ, τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν Ἀναργύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Ἀντωνίου τοῦ μεγάλου, Μακαρίου τοῦ Αἰγυπτίου καὶ Σάββα τοῦ ἡγιασμένου, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ τῶν λοιπῶν ἁγίων σου πάντων, ὧν καὶ τὴν ἁγίαν πανήγυριν ἐπιτελοῦμεν. καὶ φύλαττε, κύριε, τοὺς ἀπανταχοῦ τῆς οἰκουμένης πιστοὺς καὶ εὐσεβεῖς χριστιανούς· καὶ φύλαττε, κύριε, τοὺς δούλους σου, τοὺς εὐσεβεῖς χριστιανοὺς τοὺς κατοικοῦντας ἐν τῇ πόλει ταύτῃ· καὶ φύλαττε, κύριε, τοὺς δούλους σου, τοὺς ἐπιτρόπους τῆς ἁγίας ἐκκλησίας ταύτης· καὶ φύλαττε, κύριε, τοὺς δούλους σου τοὺς περιεστῶτας, καὶ ἐλέησον αὐτοὺς κατὰ τὸ μέγα σου ἔλεος, πάσης ἀνάγκης ῥυόμενος. μνήσθητι, κύριε, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν ἐλεούντων ἡμᾶς καὶ ἐλεησάντων,



καὶ τῶν διακονούντων ἀδελφῶν ἡμῶν· μνήσθητι, κύριε, παντὸς ἱερατικοῦ τάγματος καὶ μοναχικοῦ σχήματος· μνήσθητι, κύριε, τῶν ἀδελφῶν τῶν αἰχμαλώτων· μνήσθητι, κύριε, τῶν ἐν ἀσθενείαις ταλαιπωρουμένων· μνήσθητι, κύριε, καὶ τοῦ περιεστῶτος λαοῦ σου καὶ πᾶσι τοῖς ἐπικαλουμένοις τὴν σὴν ἐξ ὕψους βοήθειαν τοὺς οἰκτιρμούς σου δώρησαι. ναί, εὐδιάλλακτε καὶ μακρόθυμε καὶ πολυέλεε κύριε, ἐπίβλεψον ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἴδε καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου· χάρισαι αὐτοῖς τε καὶ ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον,

(ἐκφώνως)

ὅτι σὺ ὁ δοτὴρ τῶν ἀγαθῶν καὶ θεὸς πάσης παρακλήσεως καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

⟨*Ὁ πατριάρχης*⟩·

Εἰρήνη πᾶσι.

*Ὁ διάκονος*·

Τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνωμεν.

***Καὶ ὁ πατριάρχης λέγει τὴν εὐχὴν ⟨ταύτην⟩ μυστικῶς.***

Κλῖνον, κύριε, τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος καὶ ἁγιάσας τὰ ὕδατα· καὶ εὐλόγησον πάντας ἡμᾶς τοὺς διὰ τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένος σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα, καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου διὰ τῶν τοῦ ποταμοῦ Νείλου ἀναβάσεων εἰς δόξαν ἀκατάπαυστον τῆς σῆς ἀγαθότητος·

(ἐκφώνως)

σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν, Χριστὲ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Εἶτα λαμβάνει τὸν τίμιον σταυρὸν καὶ εὐλογεῖ τὰ ὕδατα ἐκ τρίτου, κατάγων καὶ ἀνάγων αὐτὸν ὄρθιον καὶ ψάλλων τὸ παρὸν ἐκ τρίτου.

---

6 εὐδιάλλακτε: * cod. ἀδιάλλακτε   8/9 ἐπίσκεψαι—δεξιά σου] Psalm. LXXIX, 15

Ἦχος α΄.

Ἐν Ἰορδάνῃ σὺ ἐβαπτίσθης, * ὦ κύριε,
καὶ ἐν τῷ Νείλῳ ἐθαυμαστώθης, * ὦ δέσποτα.
ὡς γὰρ ἐκεῖ ἡ τριὰς πεφανέρωται,
οὕτω κἀνταῦθα τριὰς σεσημείωται
ἐν τῷ πλήθει που τῶν ὀρέων σου
καὶ τροφῇ τῶν ἀνθρώπων καὶ τῶν κτηνῶν.
ὁ πλημμυρήσας τὰ ὕδατα, ὁ θεός,
καὶ τὸν κόσμον χορτάσας, * δόξα σοι.

Εἶτα ἀσπάζεται τὸν τίμιον σταυρόν, ὡσαύτως καὶ πᾶς ὁ λαός, ῥαντίζων αὐτοὺς καὶ τὸν ναόν· ὁ δὲ χορὸς ψάλλει τὰ τροπάρια. ζήτει αὐτὰ ἔμπροσθεν.

Εἶθ' οὕτως ἀπόλυσις.

Τέλος καὶ τῷ Θεῷ δόξα.

---

Sequitur prælonga oratio cum titulo: Ἰδοὺ καὶ ἑτέρα εὐχὴ ὁμοία τῇ πρώτῃ, ἐξ ὧν ἀναγινώσκει ὁ προεστὼς οἷαν βούλεται. Inc. Δέσποτα παντοκράτορ καὶ θεὲ τοῦ πατρὸς etc. Vide A. Дмитрiевскiй, Описанiе etc. II, p. 985—991.

---

# XI.

# ΛΕΟΝΤΟΣ

ἐν Χριστῷ τῷ θεῷ πιστοῦ βασιλέως Ῥωμαίων

## ΟΙΑΚΙΣΤΙΚΗ ΨΥΧΩΝ ΥΠΟΤΥΠΩΣΙΣ.

Ἰσχυρὸν ἡ φιλία βιάζεσθαι, καὶ μάλιστα περιδραττομένη προφάσεως προτεινούσης τὸ εὔλογον· καὶ γὰρ δύο ταῦτα, φιλία καὶ ἀξίωσις εὔλογος, συνιόντα συγχωρεῖν οὐκ ἐθέλει τὴν ἀνάνευσιν τῶν τούτων ὑπ' ἀμφοῖν βιαζομένων· ὑφ' ὧν καὶ νῦν ἡ σὴ ὁσιότης, καίτοι τὸ βάρος ἡλίκον ὃ περικείμεθα τῶν κοσμικῶν φροντίδων, τῇ προτροπῇ πειθομένους ἔσχεν· οὐδὲ γὰρ ἦν ἀντιλέγειν, τῆς σῆς ὁμολογούσης γλώττης, ὡς ἐν τοῖς πολλάκις προτιθεμένοις σωτηριώδεσι τῶν ψυχῶν λόγοις ἀναπηγάζει τις ὠφέλεια τῶν ἡμετέρων χειλέων. εἰ καὶ μὴ τὸ βλύσμα ἡμέτερον, τῆς δὲ τοῦ πνεύματος χάριτος, πλήν, ὅτι πλειστάκις ὁμολογοῦντος καὶ δυσώπησιν οὐ βουλομένην ἐνδιδόναι προσφέροντος ἐν ταῖς ἱεραῖς ταύταις ἡμέραις, αἳ μάλιστα πρὸς τοὺς θείους ἀγῶνας ὑπαλείφειν ἐοίκασιν, ἐκθεῖναί τινας σωτηρίους ὑποτυπώσεις ἡμᾶς τοῖς τὴν ἐλεύθερον τῆς ἐπικήρου συγχύσεως εἰληχόσι πολιτείαν, τῇ φίλῃ δυσωπήσει τυραννηθέντες προσθήκην τῶν ἐπὶ ταῖς ἄλλαις μερίμναις καμάτων καὶ τοῦτον δὴ τὸν σοὶ περισπούδαστον ἀνεδεξάμεθα κά-

P = codex Petropolitanus 205, s. XI, f. 1—98 (cf. Отчетъ Имп. Публ. Библiотеки за 1881 г. СПБ., 1883, p. 74—75).

ματον καὶ ἃ στρεφομένοις ἡμῖν ἐν μέσῃ τῇ τοῦ βίου θυέλλῃ παρέσχεν εἰς ἐποψίαν τῶν μακαρίων θεαμάτων ἡ χάρις τοῦ πνεύματος, ὡς ὁρᾷς, προτεθείκαμεν. ἀλλὰ γὰρ εἰς γένεσιν τῷ φιλοπονήματι προελθεῖν ἔδωκεν ἡ σὴ τοῦ τε φίλτρου καὶ τῆς εὐλόγου δυσωπήσεως τυραννίς· ἐπιγέγραπται δὲ οἰακιστικὴ ψυχῶν ὑποτύπωσις, τῆς τοιαύτης ἐκ τῆς ἐπαγγελίας ἀντιποιούμενον κλήσεως. ἐν κεφαλαίοις δὲ ἐνενήκοντα καὶ ἑκατὸν ἡ ἀρίθμησις, ὧν ἔνια μὲν ἐκ προλαβούσης τινῶν λογίων μελέτης εἰς ἀνάμνησιν ἥκοντα τὴν ἔγγραφον ἔκθεσιν εἴληφε παρ' ἡμῶν, ἃ δέ, καὶ τά γε πλείω, τοιαύτης ἀμοιρεῖ μελέτης εἰς πρόοδον. πάντως δ' οὐχ ὑποπτεύεις ἡμᾶς προσποιεῖσθαι· πόρρω γὰρ τούτου (σὺν θεῷ φαμεν) τὸ ἡμέτερον, εἰ καὶ συμπίπτειν δοκεῖ τοῖς ἀρχαιότερον περὶ τούτων διαλαβοῦσι· μόνῃ δὲ τῇ τοῦ νοῦ καθ' ἑαυτὸν περιστροφῇ τε καὶ συζητήσει σὺν τῇ ἄνωθεν ἐπιλάμψει τὴν γένεσιν ἔσχηκεν. ἀλλὰ περὶ μὲν τοῦ φιλοπονηθέντος τοσοῦτον· σὺ δέ, ἱερὲ τοῦ θεοῦ ἄνθρωπε, εἴ τι κἀντεῦθεν ὁρᾷς τοῖς οὐρανίοις ἀγωνισταῖς ἐσόμενον χρήσιμον εἰς ὑπάλειψιν, ἀνάφερε τὴν εὐχαριστίαν (ὡς ἔθος) τῷ χορηγῷ τῶν καλῶν· εἰ δ' εἰς κέρδος αὐτοῖς ἀσυντέλεστον, ἅτε κεκτημένοις οἴκοθεν ἀνελλιπῆ τὴν ἐν τούτοις ἐπιστήμην, ἀλλ' ἡμῶν γε καὶ οὕτως τὴν προαίρεσιν ἴσως ἀποδέχεσθαι ἄξιον, ὅτι πεφορτισμένοι τῶν κοσμικῶν φροντίδων τὰ βάρη καὶ τοῦτον ὑπεισιέναι τὸν πόνον προεθυμήθημεν. ἡ δὲ τῆς ἐννοίας πρὸς τὸ δυσεύρετον ἀναχώρησις τοῖς φιλοπονωτέροις πάντως οὐκ ἄληπτος· ἢ γὰρ ἐπιμελεστέρᾳ ζητήσει καὶ αὐτοὶ ζητοῦντες εὑρήσουσι καθ' ἑαυτοὺς τὸ κρυπτόμενον, ἢ πρὸς τὸν πόνον ὀκνοῦντες καὶ οὕτως ἔχουσι τὸ ζητούμενον ἀναπόδραστον, τῆς ἐκ τῶν προσπαρακειμένων ἐξηγήσεως σχολίων ἀταλαίπωρον τὴν λῆψιν χαριζομένης.

## ΟΙΑΚΙΣΤΙΚΗ ΨΥΧΩΝ ΥΠΟΤΥΠΩΣΙΣ.

### *Βιβλίον πρῶτον.*

Α. Εὔτμητος ἡμῶν ἡ ζωή, ἐντεταμένη τῶν ἀρετῶν ἡ ἀκρώρεια, εὐόλισθος ἡ φύσις καὶ ἡ ⟨ἐ⟩πίκρισις δυσδιάγνωστος.

Σχόλιον. Ἡ ζωὴ τέμνεται ταχέως· τὸ τῆς ἀρετῆς ὕψος δυσχερὲς καὶ σύντονον· ἡ φύσις εὔκολος εἰς πτῶσιν. διὰ ταῦτα οὖν



ἡ τῆς ἀρετῆς καὶ κακίας κρίσις δυσκατανόητος:—ἢ ἄλλως. εὔτμητον εἶπεν τὴν ζωὴν διὰ τὸ ταύτης ὀλιγοχρόνιον καὶ παρόμοιον τῷ μαρασμῷ τῶν ἀνθέων· τὸ τῆς ἀρετῆς ὕψος πολὺ καὶ σύντονον, ἡ φύσις πρὸς κατάπτωσιν εὔκολος. διὰ ταῦτα οὖν δύσκολος ἡ τῆς ἀρετῆς καὶ κακίας κρίσις.

Β. Δέον μὴ μόνον τὸν καθηγεμόνα προσφέρειν τῷ ὑποκειμένῳ τὸ χρήσιμον, ἀλλὰ καὶ αὐτὸ συνεισφέρειν τὸ πρόθυμον καὶ τὸ συνόμιλον τούτῳ εὔελπι καθιστᾶν, ἀλλ' οὐκ ἐπιτιμᾶν πρὸς ἀπόγνωσιν.

Β. Ὅτι δεῖ τὸν ὁδηγὸν τῆς σωτηρίας, τουτέστι τὸν καθηγούμενον, μὴ μόνον αὐτὸν εἴ τι χρήσιμον καὶ πρὸς ὠφέλειαν συντεῖνον ὑποτίθεσθαι τῷ ὁδηγουμένῳ, ἀλλὰ καὶ αὐτὸν τὸν ὁδηγούμενον πρόθυμον εἶναι πρὸς τὸ πείθεσθαι τοῖς τοῦ ὁδηγοῦντος παραγγέλμασιν· ἔτι δὲ καὶ τοὺς συνασκητὰς διεγείρειν αὐτὸν διὰ τῶν οἰκείων λόγων καὶ χρηστὰς ἐλπίδας ὑποτιθέναι, ἀλλ' οὐχὶ ἐπιτιμᾶν καὶ ἐξονειδίζειν ἕνεκεν τῶν ἡμαρτημένων καὶ διὰ τῆς ἐπιτιμήσεως συνωθεῖν αὐτὸν πρὸς ἀπόγνωσιν.

Γ. Καὶ τοῦτο ἄξιον ἐπισκοπῆς, τὸ μὴ παραυτίκα τὴν ἕξιν ἐναλλάσσειν, ἀλλὰ σταθμᾶσθαι τό τε εὔδαιμον καὶ εὔπορον καὶ τὴν ἄλλην λαμπρότητα καὶ οὕτω στῆναι πρὸς ὃ ἔξεστι.

Γ. Καὶ τοῦτο δὲ παρατηρεῖν δεήσει τὸν τὴν ψυχικὴν ἐπαγγελλόμενον θεραπείαν, τὸ μὴ εὐθέως παντελῶς τῆς συνήθους διαγωγῆς τε καὶ διαίτης πειρᾶσθαι μετάγειν τὸν ἄνθρωπον, ἀλλὰ συγκρίνειν τὴν τοῦ προλαβόντος βίου τάξιν, φημὶ δὴ ἄν τε μετ' εὐπορίας καὶ πλούτου ἦν ὁ βίος αὐτῷ καὶ ἁπαλωτέρας τῆς καταστάσεως, ἄν τε μετ' ἐνδείας καὶ πόνων, καὶ οὕτως πρὸς ἐκείνην καταστῆσαι τὴν δίαιταν, ἥτις οἰκεία πρὸς τὸ ὑπ' αὐτὴν μεῖναι τοὺς πρὸς τοὺς ἀγῶνας ἐμβαίνοντας.

Δ. Τὸ ἀγωνιστικὸν εἰς ἄκρον ἐλάσαν κίνδυνον ἀπήντησε· τὸ γὰρ τοιοῦτον κατάντημα εἰς ὄλισθον παρατρέπει· ἀμήχανον γὰρ οὕτως ἀνιέναι καὶ στῆναι καὶ θεωρίας μείζονος καταλαβεῖν· ἀλλὰ πρὸς τὰ δεινὰ καταρρυΐσκεται. οὐκοῦν τὸ ὕψος σκοπείτω τὸ ὑποπέζιον, ὅπως ἀμέμπτως ἐπιδιδῷ.

Δ. Ὅτι ἐνίοτε ὁ ἀγωνιστὴς λίαν καὶ πρὸς ἄκρον ἀγωνιζόμενος καὶ εἰς ὕψος ἀνελθὼν ἀρετῆς ἐκ τοῦ τοιούτου ὕψους εἰς περίπτωσιν κινδυνεύει· διότι παρακολουθεῖ ἔστιν ὅτε τοῖς εἰς ὕψος κα-

30 καταρυΐσκεται P

τορθωμάτων ἀναβαίνουσιν ὑψηλοφροσύνη, δι᾽ ἣν ἀδύνατόν ἐστι τὸν τοιοῦτον ἀγωνιστὴν ἑδρασθῆναι καὶ τοῖς κατορθωθεῖσιν ἐμμεῖναι, ἢ πρὸς ὑψηλοτέραν ἔτι ἀνάγεσθαι θεωρίαν· ὥστε ἀνάγκη πρὸς τὰ χείρω λοιπὸν καταφέρεσθαι. οὐκοῦν πρὸς τὸ ὕψος ἀναβὰς τῶν ἀρετῶν τὴν ταπείνωσιν ἐχέτω, ἵνα δι᾽ αὐτῆς ἀεὶ προκόπτῃ.

Ε̅. Τὰς δ᾽ ἄκρως ἐπιτιμήσεις καὶ τὴν ἄλλην τῶν πειρατηρίων οἰκονόμησιν οὐ δεῖ ἄκρως προσφέρειν, πρὸς δὲ τοῦ στέγοντος τὴν ἰσχὺν ὑποτίθεσθαι.

Ε̅. Ὅτι καὶ τὰς ἐπιτιμήσεις καὶ τὰς δοκιμασίας, ἃς οἱ προεστῶτες ποιοῦνται πρὸς πειρασίαν τῆς ὑπομονῆς καὶ καρτερίας τῶν ἀσκητῶν, οὐ δεῖ λίαν ἐπαχθεῖς ὑπάρχειν, ἀλλὰ συγκρίνειν τὴν τοῦ πειραζομένου δύναμιν καὶ κατὰ τὴν ἐκείνου καρτερίαν καὶ τὴν ἐπιτίμησιν καὶ τὴν πεῖραν προσάγειν.

ϛ̅. Ταὐτὸ δὲ καὶ ἐξάγγελσις· καὶ ἀρετῆς τελευταία ἐπίδραξις ταὐτοπαθές.

ϛ̅. Ὅτι καὶ ἐξαγγελία πρὸς ἄκρον συνωθουμένη καὶ ἄνοδος πρὸς ἀρετὴν ἐσχάτως ἐπειγομένη ὁμοίως ἐπισφαλῆ· καὶ νῦν ἡ διδασκαλία πρὸς τοὺς καθηγουμένους ἀφορᾷ. φησὶν οὖν μὴ δεῖν τὸν τῆς ἀρετῆς παιδευτήν, τὸν ἄρτι πρὸς τὸ παιδευτήριον ἥκοντα, μήτε πάντα πρὸς ἀκρίβειαν ἀπαιτεῖν ἔκφορα τὰ οἰκεῖα πάθη ποιεῖσθαι (βαρὺ γὰρ καὶ ἐπαχθές τισιν ἔστιν ὅτε καὶ τοῦτο δοκεῖ), μήτε πάλιν πρὸς ἀρετῆς συνελαύνειν ἀκρότητα· καὶ τοῦτο γὰρ τῷ νῦν εἰς ἀγῶνας καθισταμένῳ ἐπίπονόν τε ἅμα καὶ οὐκ ἀσφαλές.

Ζ̅. Τὸ τῆς ἐγκρατείας ἰσχνὸν καὶ ἀκριβάζον πολυχρονίῳ καὶ κραταιῷ πάθει, οἷς ἀνένδεκτον, ἐπισφαλές.

Ζ̅. Τὸ λίαν ἀκριβῶς ἐγκρατεύεσθαι ἐφ᾽ ἁμαρτήματι χρῄζοντι πολυχρονίου μετανοίας καὶ ἐπεκτεταμένης ἀσύμφορον· ἡ γὰρ ἐπὶ πολὺν χρόνον οἰκονομουμένη μετάνοια δεῖται σωματικῆς δυνάμεως πρὸς τὸ μέτρον ἀρκούσης τοῦ χρόνου, τὸ δὲ τῇ ἐγκρατείᾳ λίαν δαπανᾶσθαι σῴζειν οὐκ οἶδεν τὴν σωματικὴν δύναμιν. ἀνάγκη οὖν, συνεκδαπανωμένης αὐτῆς, μὴ πρὸς τὸν ὀφειλόμενον τῆς μετανοίας χρόνον διαμεῖναι τὸν μετανοοῦντα.

Η̅. Ἀκρίζουσα νηστεία καὶ πλήρωσις σιτίσεως ἐπίμεμπτα.

Η̅. Ὅτι ἡ πολλὴ καὶ ἐπιτεταμένη ἐγκράτεια καὶ ἡ τῆς τροφῆς

14 τελευταῖαι P



πλησμονὴ φαῦλα· ἡ μὲν γὰρ ἄτονον ποιεῖ τὸν ἀγωνιστὴν καὶ παντελῶς πρὸς τὰς πράξεις ἀνενέργητον, ἡ δὲ τὰ πάθη τῆς σαρκὸς ἐπὶ πλέον διεγείρει καὶ σφοδρότερον τὸν κατὰ τῆς ψυχῆς ἀνίστησι πόλεμον.

Θ̅. Ὑστάτῳ πάθει τελευταία καὶ ἀκριβὴς ἐγκράτεια βέλτιστος.

Θ̅. Ὕστατον φησὶ πάθος οὐκ αὐτὴν τὴν ἁμαρτίαν, ἀλλὰ τὸ κίνημα τῆς ἁμαρτίας, τὸ πρὸς τὴν ἁμαρτίαν ἐγκείμενον καὶ ἀποτελέσαι ταύτην ἀγωνιζόμενον, οἷον τὴν ἐπιθυμίαν· λέγει γὰρ ὅτι τῆς ἐπιθυμίας τελείως κατακρατεῖν δοκούσης, τότε ἡ ἀκριβὴς καὶ λίαν ἰσχνὴ ἐγκράτεια σωτήριος.

Ι̅. Τὸ μετανοοῦν ἐγκρατείᾳ λεπτῇ διήμαρτεν, ἢ μᾶλλον βλάβους οἰστική· πᾶν γὰρ ἔνθεν σύμπτωμα μεῖζον ἢ ἁδροτέρῳ βραχεῖ· καὶ γὰρ καὶ ἀμέμπτοις τὸ λίαν ἰσχνὸν ἐγκρατὲς καὶ τεταγμένον ἐπισφαλές. ὥστε τὸ ἐπισφαλὲς οὐ ῥᾴδιον φέρει· ὅθεν τὸ ἰσχνὸν καὶ τεταγμένον ὡς ἐπὶ πολὺ τοῦ μεστοῦ βραχέος σφαλερόν.

Ι̅. Ὅτι ὁ πρὸς μετάνοιαν ἐλθὼν ὑπὸ τῆς λεπτῆς καὶ ἄγαν σκληρᾶς ἐγκρατείας μᾶλλον πρὸς τὸ ἀσύμφορον καθίσταται· βλάβην γὰρ ἡ τοιαύτη ἐγκράτεια φέρει. πᾶν γὰρ ὃ ἐὰν συμβῇ ἐναντίωμα τῷ ἀσκητῇ, μεῖζον γίνεται, τῇ παντελεῖ ἐγκρατείᾳ κατατηκομένου αὐτοῦ, ἢ τῇ ὀλίγον παχυτέρᾳ διαιτωμένου διαίτῃ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἐπειδὴ πολλάκις γίνεται καὶ ἄνεσις καὶ ἐπίτασις τῶν παθῶν, πολυτρόπως τοῦ πονηροῦ πολεμοῦντος, δεῖ τὸν ἀσκητὴν μὴ τῇ πολλῇ ἐγκρατείᾳ καταβάλλειν τὴν ἑαυτοῦ ἰσχύν. διατί; ὅτι πολέμου σφοδροτέρου ἐπιστάντος, ἐὰν ᾖ διὰ τῆς πολλῆς ἐγκρατείας καταβεβλημένος τὴν ἰσχύν, οὐ δυνήσεται οὔτε προσευχαῖς πλείοσι καὶ μακροτέραις ἑαυτὸν ἐπιδοῦναι, οὔτ᾽ ἀγρυπνίαις οὔτε μελέτῃ τῶν θείων λογίων, οὔτ᾽ ἄλλῃ τινὶ πράξει, ἃς ἀπαιτεῖ ὁ ἀγὼν καὶ ἡ κατὰ τοῦ διαβόλου ἀντιπαράταξις. ὥστε συμφέρει μᾶλλον ὀλίγον τι διαιτᾶσθαι παχύτερον, ἵν᾽, ὅτε προσβολὴ γένηται σφοδροτέρα τινὸς πάθους, δύνηται ὁ ἀσκητὴς εὐχῇ συντονωτέρᾳ καὶ ἀγρυπνίᾳ καὶ τῇ ἄλλῃ τῆς ἀρετῆς ἐργασίᾳ πρὸς τὸν ἐπηρεαστὴν ἀνταγωνίσασθαι. ἀλλ᾽ οὐδὲ τοῖς θείᾳ χάριτι μὴ προσδεομένοις μετανοίας διὰ τὴν τοῦ βίου καθαρότητα, οὐδ᾽ ἐκείνοις ἐστὶν ἀσφαλὲς τὸ λίαν ἀεὶ ἐγκρατεύεσθαι καὶ μηδαμῶς ἐκβαίνειν τὴν τοιαύτην τάξιν τῆς ἐγκρατείας· καὶ γὰρ καὶ οὗτοι βουληθέντες πολλά-

κις ἢ στάσεις ἐκτελεῖν παννύχους, ἢ μελέτης ἐπὶ πλέον ἀπολαύειν θείων λογίων, ἢ ἄλλο τι πονεῖν, δι' ὧν θεραπεύεται πλέον τὸ θεῖον, ὑπὸ τῆς πολλῆς ἐκ τῆς ἐγκρατείας τοῦ σώματος κατατήξεως κωλυομένην ἔχουσι τὴν προθυμίαν. οὐκοῦν καὶ οὕτως τὸ λίαν ἐγκρατεύεσθαι καὶ ἀπαραλλάκτως φυλάττειν τὴν τῆς διαίτης λεπτότητα ἐπιβλαβὲς εὑρίσκεται μᾶλλον τῆς ὀλίγον ἐχούσης διαίτης πλέον τι πρὸς παχύτητα.

ΙΑ. Οἷς μέγα καὶ κραταιὸν ὄφλημα καίριον καὶ τὸν μέλλοντα ἐπάγει κίνδυνον, τούτοις τὸ λίαν ἐγκρατὲς χρειῶδες· οἷς δὲ οὐ τοιοῦτον, ἀλλ' ἔξεστιν οἰκονομεῖν, τοσοῦτον μετριοῦν, ὅσον τὸ πάθος τοῦ κραταιοῦ καθυφεῖται.

ΙΑ. Ἐν οἷς ἐπιθυμία ὀξεῖα καὶ ῥοπὴ τῆς φύσεως πρὸς τὴν ἁμαρτίαν καὶ ὁ κίνδυνος ὁ ἐκ τῆς πράξεως ἐπαγόμενος σφοδρός, τούτοις χρήσιμον καὶ τὸ λίαν ἐγκρατεύεσθαι· ἐν οἷς δὲ οὐχ οὕτω πρὸς τὴν ἁμαρτίαν ῥύμη τῆς ἐπιθυμίας, ἀλλ' ἐπιδέχεται οἰκονομίαν τινὰ γίνεσθαι περὶ τροφῆς, τοσοῦτον μετριώτερον τῆς ἐπιτεταμένης ἐγκρατείας ἔνδοσιν ποιεῖσθαι, ὅσον καὶ τὸ πάθος τὸ πρὸς τὴν ἁμαρτίαν κινοῦν ἔλαττόν ἐστι τοῦ πάνυ πρὸς αὐτὴν συνωθοῦντος κινήματος.

ΙΒ. Τὸ μετάμελον τοῖς πρὶν ἀκολασταῖνον νοερῶς πλημμελήμασι πρὸς ἀγωνίσματα φέρειν ἀνυστικώτερα· τοῦ γὰρ ἰδίου τὸ κραταιὸν ἐνίοτε τὸ τῶν λογισμῶν ἀσελγαῖνον ὑπόπτερον ἀπειργάσατο.

ΙΒ. Τοὺς πρὸς μετάνοιαν ἥκοντας καὶ πρὸς τὰ πρὶν ἀτοπήματα διὰ τῆς τῶν λογισμῶν φαντασίας εἰς ἐπιθυμίαν ἀκρατῶς καθισταμένους πρὸς ἐπιπονωτέρους ἄγειν ἀγῶνας, ἤτοι παννύχῳ στάσει καὶ τῇ λεπτοτάτῃ νηστείᾳ, ὡς διὰ τούτων συνταχῆναι τὸ σῶμα· πολλάκις γάρ, εὐθαλοῦς ὄντος τοῦ σώματος, οἱ λογισμοὶ τοῦτο συνήγορον εὑρόντες κατὰ τῆς ψυχῆς νίκην ἤραντο.

ΙΓ. Βρενθυομένῳ πάθει θεῖος λιμὸς ἐπιτεινέσθω, ἀνάλογος δὲ τῇ τοῦ παθαινομένου ῥώμῃ προσήτω· τὸ γὰρ τοιοῦτον πόνος μακρὸς ἐξιάσατο.

ΙΓ. Ἁμαρτήματος σφοδρυνομένου, θεῖος λιμός, τουτέστι νηστεία, ἐπαυξανέσθω· πλὴν ἀνάλογος τῆς τοῦ ἁμαρτήσαντος ἰσχύος οἰκονομείσθω· τὰ γὰρ σφοδρὰ τῶν ἁμαρτημάτων χρονιωτέρων δεῖται καμάτων πρὸς ἴασιν.

ΙΔ. Ἡσυχαστικὸν ἀγώνισμα ᾧ παραίτιον ἄχθους, ἀπώλειαν ὑπεδήλωσεν.



ΙΔ. Ὁ λόγος φησίν, ὅτι δεῖ τὸν ἡσυχαστὴν διὰ τῆς ἡσυχίας ἱλαρὰν καὶ ἄλυπον ἔχειν τὴν γνώμην καὶ τῶν τῆς κακίας παθῶν ἐλαφρυνομένην τοῦ βάρους, ὡς, εἴ γε βαρύνοιτο λογισμοῖς ἐμπαθέσιν ὁ συνὼν ἡσυχίᾳ, κίνδυνος ἀπωλείας· εἰ γὰρ ἐξ ὧν ἐστι βέλτιστον διακεῖσθαι, τουτέστι κουφίζεσθαι διὰ τῆς ἡσυχίας, τοῦτο μὴ προσῇ, ἀλλὰ μᾶλλον βαρύνηται ἡ ψυχή, τί ἄλλο προσδοκητέον ἢ ἀπώλειαν;

ΙΕ. Ἀπροφάσιστος ὄκνος πρὸς τὰ φαῦλα παρατροπῆς ἄγγελος.

ΙΕ. Ὅτι ῥαθυμία γνώμης, μὴ προηγουμένης αἰτίας τινός, τουτέστιν ἀρρωστίας σωματικῆς ἐνίοτε, ἤ τινος δυσχεροῦς, δηλοῖ τὴν ψυχὴν ὅτι πρὸς τὰ χείρω παραφέρεται· ἀπροφάσιστον γὰρ ὄκνον ἔφη τὴν ἐξ οὐδεμιᾶς αἰτίας περιστατικῆς πρὸς ἐργασίαν τῆς ἀρετῆς ἀκηδίαν καὶ ἀμέλειαν.

Ις. Οἷς οὐχ ὕπεστι τῶν ἡμαρτημένων αἴσθησις, τούτων κατηγορεῖται τὸ ἄθεον.

Ις. Ὁ στρεφόμενος καταφρονητικῶς ἐν ταῖς ἁμαρτίαις, οὗτος δῆλός ἐστιν εἰς ἀθεΐαν καταπεσών. βούλεται οὖν παιδεύειν ὁ λόγος, ὡς εἰ καὶ διὰ τὸ εὐόλισθον τῆς φύσεως ἀπερίτρεπτοι πρὸς ἁμαρτίαν οὐ διαμένομεν, ἀλλ' οὐκ ἀφροντίστους ἐπὶ τοῖς ἁμαρτανομένοις εἶναι τοὺς παραπεσόντας, μηδ' ὥσπερ ἐπιλανθάνεσθαι τῶν ἀτοπημάτων, ἀλλὰ τὸ συνειδὸς ἀεὶ ἐφ' οἷς παραπεπτώκασι νύττεσθαι.

ΙΖ. Χρονίως ἠσκημένῳ τοῖς πάθεσιν ὀκνηροτέρως ἄγειν τὴν βελτίωσιν, τοῖς δ' ἐλάττω προθυμότερον.

ΙΖ. Τὸν τρόπον παιδεύει τῆς τῶν ἁμαρτανόντων θεραπείας, τὸν ἐξιᾶσθαι τούτους ἐπαγγελλόμενον· καί φησιν, ὅτι τοὺς ἐν πλείονι χρόνῳ ταῖς ἁμαρτίαις ἐγκυλισθέντας μὴ βουληθῇς ἀθρόον διὰ τῆς πολλῆς καὶ συντόνου μετανοίας πρὸς τὴν σωτηρίαν ἄγειν· οὐ γὰρ εἰκὸς τὰ διὰ πολλῶν χρόνων παρολισθήματα διὰ βραχέος θεραπεύειν. ὥστε δεῖ μὴ συντόνοις λίαν πόνοις ὑποβάλλειν τὸν ἁμαρτήσαντα, ἵνα μή, τῆς δυνάμεως ὑπὸ τούτων αὐτῷ καταβληθείσης, πρὸς τὴν δεομένην πλείονος χρόνου μετάνοιαν ἀπιλιγγιάσῃ, ἀλλὰ μᾶλλον ἀνεκτικωτέροις ὑπάγειν πόνοις καὶ κατὰ μικρὸν πρὸς τὰ τῆς μετανοίας ἐμβιβάζειν ἐπίπονα. τοὺς δὲ μὴ πολλῷ χρόνῳ τοῖς

29 βραχέως P

πάθεσι καταδουλωθέντας, τούτους, ἅτε δὴ μὴ δεομένους τοσούτου χρόνου πρὸς ἴασιν, ἐπιπονωτέροις τρόποις τῆς μετανοίας ἐκθεραπεύειν, ὡς μέλλοντας καὶ τῶν πόνων ἀπαλλάττεσθαι τάχιον.

ΙΗ. Μετανοοῦντι καὶ μυσταγωγουμένῳ εἰ βελτίωσις οὐχ ἕψεται, ὄχλου παραινέσεως μήνυτρον· εἰ δ' ἄνευ τὸ τοιοῦτον ὀχληρίας, δήλωσις ἐνδομύχου πονηρεύματος.

ΙΗ. Κἀνταῦθα τῷ χειραγωγοῦντι πρὸς σωτηρίαν κανόνα ὑποτίθεται καί φησιν· "ὦ τῆς σωτηρίου μετανοίας μυσταγωγέ, σκόπει τὸν ὑπὸ σοῦ παραινούμενον, καὶ εἰ μὴ φέρῃ σοι τῶν σῶν σπερμάτων καρπὸν ἡ τοῦ παραινουμένου καρδία τὴν ἑαυτῆς ἐν τῇ ἀρετῇ προκοπήν, γίνωσκε τὸ πλῆθος τῆς παραινέσεως εἰς ὠφέλειαν τέως μὴ συμβάλλεσθαι, ἀλλὰ μᾶλλον καταβαρύνειν τὸν παραινούμενον. δεῖ οὖν ὑποστέλλειν τὴν παραίνεσιν. εἰ δὲ χωρὶς τοῦ πλήθους τῶν λόγων βαρύνηται τὴν ψυχήν, ἴσθι πονηρὰς ἔτι κινήσεις ἐμπεριπολεύειν ἐν αὐτῇ, αἳ ταύτην στενοχωροῦσαι πρὸς ἄχθος καθιστῶσι τὸν ἄνθρωπον.

ΙΘ. Ὑποπεζίοις καὶ φθαρτοῖς προσηλωμένῳ, ὅσον παραίνεσις ἐπιδαψιλεύεται, τὸ βλάβος ἐμπαρέσχετο.

ΙΘ. Ψυχὴ τοῖς φθειρομένοις καὶ ῥέουσι προσκειμένη, ὅσον πλείονα δέχεται τὴν παραίνεσιν, πλέον ἐπισπᾶται κατάκρισιν· τὸ γὰρ ὠφέλιμον τῆς παραινέσεως αὐτῇ διὰ τῆς ἰδίας κακίας ἐκ τοῦ προσηλωμένη τοῖς ματαίοις τυγχάνειν ἄχρηστον ἀποδεικνῦσα μᾶλλον τὴν ἑαυτῆς ηὔξησε καταδίκην.

Κ. Λείψανον ἁμαρτήματος πειρατηρίοις παλιννόστησις.

Κ. Ἐνίοτε τὰ ψυχικὰ πάθη μὴ τυχόντα τελείας ἰάσεως, ἀλλ' ἐγκαταλείψεως αὐτῶν ἐναπομενούσης, φαντασίας καὶ μελέτης πειρασμοῦ προσβαλόντος ἐκ τοῦ πονηροῦ δαίμονος, ὑποστρέφειν φιλεῖ.

ΚΑ. Ψευδαλήθης τῶν κραταιῶν πλημμελημάτων προφαντορία τῆς τε στέρξεως καὶ ἀποιχήσεως.

ΚΑ. Τῶν μεγάλων ἁμαρτημάτων ἄδηλος καὶ ἡ ἀποφυγὴ καὶ ἡ μέχρι τέλους ἐπίσχεσις, καὶ οὐκ ἔστι θαρρῆσαι καὶ ἀποφήνασθαι περὶ τοῦ σωθῆναι ἢ ἀπολέσθαι τὸν μεγίστοις ἁμαρτήμασι συνεχόμενον. διὰ τοῦτο προσέχειν δεῖ καὶ μήτε πρὸς ἀπόγνωσιν συνωθεῖν διὰ τοῦ ἀπογινώσκειν τὴν σωτηρίαν, μήτε πάλιν πρὸς κα-

10 καρπῶν P 24 παλινόστησις P 31 ἀποφήνασθαι P



ταφρόνησιν ἄγειν διὰ τοῦ ὑποσχέσθαι τὴν τελείαν τῶν τοιούτων ἁμαρτημάτων ἀπαλλαγήν, ἀλλ' ἀφορῶντα πρὸς τοὺς θείους οἰκτιρμοὺς καὶ τὴν σύντριψιν τῆς καρδίας τοῦ κρατηθέντος ἐν ἁμαρτίαις οὕτω προλέγειν τὴν ὑπόσχεσιν.

ΚΒ. Τῷ τῆς ἁμαρτάδος ἀποδράντι, φιλοπονοῦντι δὲ πρὸς τὴν τῶν Γραφῶν ἐντυχίαν, εἰ μή τις ἐπίδοσις ἀρετῆς, δεινὸν συμβήσεται.

ΚΒ. Κἂν τις θείᾳ φιλανθρωπίᾳ τῆς ἁμαρτίας ἐλευθερωθεὶς μελετᾷ φιλοπόνως τὰ θεῖα λόγια, μηδὲν δὲ προκόπτῃ πρὸς ἀρετὴν διὰ τῆς τοιαύτης μελέτης, φόβος ἔσται τὸν τοιοῦτον πάλιν ἁλῶναι τῇ ἁμαρτίᾳ.

ΚΓ. Κατ' ἄρξιν ἐνίοτε πρόθυμος ἐπίληψις ἀρετῆς πρὸς τὸ πέρας ἀπώκνησε, τούτου δὲ τὸ ἀντίθετον λυσιτελέστερον.

ΚΓ. Ἐνίοτε τῆς ἐργασίας τῆς ἀρετῆς προθυμότερόν τινες ἀπαρχόμενοι μετὰ τοῦτο πρὸς ῥαθυμίαν τὴν σπουδὴν καταλύουσι· κρεῖττον δὲ μᾶλλον τὸ ἐναντίον, ἤτοι τὸ ἄρξασθαι μὲν ἀτονώτερον, κατ' ὀλίγον δ' αὐξῆσαι τὴν σπουδὴν καὶ ταύτην συντηρῆσαι ὑπὸ ῥαθυμίας ἀνέκλυτον.

ΚΔ. Παντὶ πλημμελήματι πίστεως συντήρησις καὶ τὸ πρὸς τὴν παραίνεσιν φίλιον εὔχρηστον, τὸ δ' ἀντίπαλον φαυλότατον.

ΚΔ. Τῆς πίστεως ἡ φυλακὴ καὶ τὸ τῆς δόξης ὀρθόν, ἔτι δὲ καὶ τὸ εὐαπόδεκτον εἶναι πρὸς τὰς παραινέσεις σωτήριον τῷ ἁμαρτωλῷ· τὸ δ' ἐναντίον τούτων πρὸς σωτηρίαν ἀνάρμοστον· ὥσπερ γὰρ κεφαλῆς δίχα καὶ τροφῆς προσενέξεως ἀμήχανον ζῆν, οὕτω καὶ χωρὶς πίστεως καὶ τῆς πνευματικῆς τροφῆς, τῆς παραινέσεως, ἀδύνατον ψυχῇ τὸν ἐξ ἁμαρτίας διαφυγεῖν θάνατον.

ΚΕ. Ἐθὰς μὲν ἀγῶν ὑπερήλιξιν ἢ σφριγῶσιν ἀήθης ἀλυπότερος.

ΚΕ. Τὸ ἔθος κουφοτέρους ποιεῖ τοὺς πόνους, κἂν ἤδη γέροντες ὦσιν οἱ ἀσκούμενοι· καὶ γὰρ οὗτοι συνήθεις ὄντες πρὸς τὴν ἄσκησιν εὐχερέστερον φέρουσιν ἤπερ οἱ νέοι καὶ πρὸς τοὺς ἀγῶνας ἄρτι ἀποδυόμενοι. διὰ τοῦτο δέον τὸν καθηγεμόνα τῆς ἀρετῆς μὴ ἐν ἴσῳ τῶν ἤδη πεῖραν τῆς ἀσκήσεως προλαβόντων τοὺς ἀήθεις ἀναγκάζειν πονεῖν, κἂν νέοι τυγχάνωσιν.

Κϛ. Ἁρμοζόντως μεταχειριζομένῳ παραίνεσιν, εἴ τι μὴ γίγνοιτο κατὰ τὸ δέον, μὴ μετατάττειν ἑτέρᾳ, μένοντος τοῦ προκατειλημμένου δόγματος.

7 κἄντις P 11 κατάρξιν P 29 ἧπερ P 31 ἐνίσῳ P

Κϛ. Ὁ λόγος πρὸς τὸν διδάσκαλον τῆς ἀρετῆς ἀφορᾷ. φησὶν οὖν· ὦ παιδευτά, κατὰ τὸν πρέποντα λόγον γινομένης σοι τῆς παιδευτικῆς παραινέσεως, ἐὰν συνείδοις μὴ ὠφελούμενον τέως τὸν παραινούμενον, μηδὲν πάθῃς φυρόμενος, μηδὲ καταλίπῃς τῆς παραινέσεως τὸν τρόπον καὶ μεταβῇς ἐφ' ἑτέραν θεραπείας ἐγχείρησιν· ἀλλὰ μένε καὶ καρτέρει τὰ αὐτὰ διδάσκων καὶ παραινῶν, ἐπεί σοι δοκεῖ ἁρμόδιος καὶ πρεπόντως γίνεσθαι ἡ παραίνεσις.

ΚΖ. Μονάζοντι πρόοδος ἀκάθεκτος ὡς ἐπίπαν παρόλισθον ἐξειργάσατο.

ΚΖ. Ὅτι οὐ δεῖ τὸν μοναχὸν συχνὰς ποιεῖσθαι τὰς προόδους· ὡς ἐπὶ πολὺ γὰρ ἐκ τούτων τὰ παραπτώματα.

ΚΗ. Τὸ ἑλόμενον ἄρχειν οἴκοθεν λάβοι τὴν γνῶσιν.

ΚΗ. Ὅστις ἐπιστατεῖν ἐφίεται, πρότερον ἐξ ἑαυτοῦ τὰ τῆς ἐπιστασίας ἐκπαιδευέσθω· τουτέστιν ὁ πρότερον ἑαυτοῦ ἄρξας οὗτος ἄρχειν ἑτέρων ἐπιτήδειος.

ΚΘ. Ὁ πεδήσας σκίρτημα σαρκὸς καὶ ψυχῆς ἄτοπον ἐγκατασχὼν κίνημα τῆς ποιμαντικῆς οὐκ ἀπείργεται.

ΚΘ. Ὁ σώματος καὶ ψυχῆς ἀτόπους ὀρέξεις κολάσας, τουτέστιν ἐπὶ μὲν τοῦ σώματος πορνείαν, γαστριμαργίαν καὶ τὰ ὅμοια, ἐπὶ δὲ ψυχῆς ὀργήν, θυμόν, κενοδοξίαν καὶ τὰ παραπλήσια, οὗτος πρὸς τὸ ποιμαίνειν ἀκώλυτος.

Λ. Ἡ φιλία τοῦ κόσμου τὸν κρείττονα κατεμυκτηρίσατο ἔρωτα.

Λ. Ὅτι τοῦ κόσμου ἡ φιλία, τουτέστι τῆς σαρκός, πείθει τὸ πλάσμα τὸν οὐράνιον ἔρωτα καὶ πόθον παραλογίζεσθαι.

---

### *Βιβλίον δεύτερον.*

Α. Τὸ ἀπαθὲς ὑπὸ τοῦ ἐμπαθοῦς προσκεκλημένον χαῖρον ὡς ὀνῆσον ἀπιέτω.

Α. Ὅτι προσκαλούμενος ἐνάρετος καὶ εὐλαβὴς ὑπὸ ἁμαρτωλοῦ, σκοπὸν ἐχούσης τῆς ἀφίξεως τὴν τοῦ προσκαλοῦντος ὠφέλειαν, μετὰ προθυμίας ἀπιέτω, ὡς τούτου γε μὴ συνεπακολουθοῦντος οὐ δεῖ ἀπιέναι.

5 συνείδοις sic P 6 καταλείπῃς P



Β. Πρὸ τῶν λόγων τὸ ἦθος παιδευέτω.

Β. Ὅτι δεῖ τὸν εὐλαβῆ πρὸ τοῦ τὴν γλῶσσαν εἰς παίδευσιν τῶν ἐντυγχανόντων προτείνειν διὰ τοῦ ἤθους παιδεύειν. ἦθος δε φησι τό τε τῆς κινήσεως εὔτακτον καὶ τὸ τῆς ὄψεως εὐσχημον καὶ ἱλαρὸν καὶ τὸ τῆς ἄλλης σεμνὸν καταστάσεως· πολλοὺς γάρ ἐστιν ἰδεῖν ἐνίοτε λόγου μὲν καταφρονήσαντας, αἰδῶ δὲ πρὸς τὸ ἦθος κτωμένους.

Γ. Ἡ τῆς γλώττης προπέτεια τὸν ἥσυχον ἐξυβρίσατο.

Γ. Ὅτι τὸ προπετεύεσθαι γλώσσῃ τῆς ἡσυχίας ὕβρις καθέστηκεν.

Δ. Τὸ πολυλόγον μεμπτὸν καὶ ἀπρόσιτον.

Δ. Οἱ πολυλογοῦντες οὐ μόνον εἰσὶ μεμπτοί, ἀλλὰ καὶ τοὺς συνδιατρίβειν καὶ προσεγγίζειν αὐτοῖς θέλοντας ἀποστροφὴν ἐμποιοῦσιν.

Ε. Πυνθανομένῳ τὸ τῆς γλώσσης ἀταλάντευτον μὴ ἐξιέτω πρόβλημα.

Ε. Ὅτι δεῖ πρὸς τὴν ἐρώτησιν ἁρμοδίως ἀποκρίνεσθαι καὶ μὴ ἀβασανίστως ποιεῖσθαι τὴν ἀπόκρισιν.

ϛ. Ἐν ὁμιλίαις ἡσυχάζοντος βλέφαρον ἡμέρως ἐδάφει προσνεῦον ἐπαινετώτατον, τὸ δὲ πεταννύμενον καὶ κυκλοφερὲς ἐπίψογον.

ϛ. Ὅτι ἐν ταῖς ὁμιλίαις δεῖ τὸν ἡσυχαστὴν ὀφθαλμὸν ἥσυχον καὶ ἀρέμβαστον ἔχειν καὶ τοῖς κάτω προσνεύοντα· μεμπτὸν γὰρ τὸ τούτου ἄστατον καὶ ἀσύμφορον.

Ζ. Μονάζοντος ἐντυχία μὴ σφοδρυνομένη μηδ' ἐμβριθὴς καὶ ταχεῖα, ἀλλ' ἐν ἱλαρῷ καὶ ῥαθύμῳ τῷ φθέγματι προϊοῦσα ψυχῆς εὐσχήμονος ὑποδήλωσις.

Ζ. Ὅτι δεῖ τὸν μοναστὴν ἐν ταῖς συνομιλίαις μὴ ἐπηρμένῃ φωνῇ καὶ κομπαστικῇ καὶ ταχυγλωττίᾳ χρῆσθαι, ἀλλὰ πραεῖαν καὶ ἄνετον ποιεῖσθαι τὴν ὁμιλίαν· τοῦτο γὰρ εὐσχήμονος ψυχῆς γνώρισμα.

Η. Τὸν ἐργάτην κουφίσαι τῆς κακίας ἐν τῷ τῆς ἁμαρτίας ἆραι τὸν φόρτον μέγα καὶ κατὰ Χριστὸν τὸ μεταχείρημα.

Η. Ὅτι οἱ τοῦ βάρους τῶν ἁμαρτημάτων τοὺς ὑπ' αὐτῶν καταπεφορτισμένους ἐλαφρύνοντες μέγα ἔργον καὶ κατὰ Χριστοῦ μίμησιν ἐργάζονται.

Θ. Αὐτοκίνητον ἐξάγγελμα ἐν ἐπικλωμένῃ διαθέσει ἀγαθόν, ἀσύμφορον δὲ τὸ μὴ κατανενυγμένον.

Θ. Ὅτι ἐκ προαιρέσεως διαγόρευσις γινομένη καὶ συντετριμμένην τὴν γνώμην ἐμφαίνουσα χρηστὴ τῷ ἐξαγορεύοντι καὶ σωτήριος· κατανύξεως δὲ μὴ παρακολουθούσης, ἀνωφελής ἐστι καὶ ἄχρηστος. εἰ γὰρ μὴ πρὸς κατάνυξιν ἡ ψυχὴ καταστῇ διὰ τῆς ἐξαγορεύσεως, τίς λοιπὸν ὄνησις τοῦ θριάμβου τῆς ἁμαρτίας;

Ι. Οἰκείωσις παραπτώματος μέγαν τὸν κίνδυνον ἐπήγαγεν· εἰ δέ τις ἱκάνωται, μακάριον τὸ πρόθυμον.

Ι. Ἐπικίνδυνον τὸ ἁμαρτίας ἀναλαβεῖν, ὁ δ' ἱκανὸς πρὸς τοῦτο μακάριος τῆς προθυμίας.

ΙΑ. Μέγα καὶ περιούσιον ὑπὲρ ἄλλου λόγων ἀπότισις.

ΙΑ. Μέγα καὶ πάμπολυ τὸ ὑπὲρ ἄλλου πρὸς ἀπολογίαν καταστῆναι· τοῦτο δέ φησιν ἀσφαλιζόμενος τὴν προπετῆ τῶν ἀλλοτρίων ἁμαρτημάτων ἀναδοχήν.

ΙΒ. Τὸ πρὸς ἑαυτὸν ἕλκειν ἑτέρου θάνατον φρικωδέστατον· χαλεπὸν γὰρ καὶ τὸ τὸν οἰκεῖον ἐξαπώσασθαι.

ΙΒ. Τὸ βούλημα τοῦ λόγου τοιοῦτον. θάνατόν φησι τὸ ἑαυτὸν ἀνθυποβάλλειν ἀλλοτρίων ἁμαρτημάτων φορτίῳ· διὸ προσεπάγει τὸ χαλεπὸν καὶ τὸν οἰκεῖον ἀπώσασθαι, τουτέστι τὴν οἰκείαν ἁμαρτίαν ἀποθέσθαι.

ΙΓ. Ψυχῆς αἰσχρόν τις ἐφόλκιον ἐξαποθέμενος μεγάλης ἀπέδρα στενοχωρήσεως.

ΙΓ. Ὅτι ὁ βάρος ἁμαρτήματος ἐν ψυχῇ φέρων καὶ τοῦτο δι' ἐξαγορεύσεως ἀποθέμενος τὴν μέλλουσαν στενοχωρίαν ἐκπέφευγεν.

ΙΔ. Ἡ ἐν λόγῳ αἰσχύνη ἔμπρακτον αἶσχος διελύσατο.

ΙΔ. Ἡ κατὰ τὸν νῦν αἰῶνα διὰ λόγου ἐξαγορεύσεως τῷ ἐξαγορεύοντι γινομένη αἰσχύνη τὴν κατ' ἐκείνην ἡμέραν αὐτῷ πραχθήσεσθαι μένουσαν ἐνώπιον ἀγγέλων δημοσίευσιν ἀπεσκέδασέ τε καὶ διέλυσεν.

ΙΕ. Ὁ γλώσσῃ τὴν οἰκείαν διαλευκάνας σκοτόμαιναν θεῖον διώπτευσεν ἀμάρυγμα.

ΙΕ. Σκοτόμαιναν τὴν ἁμαρτίαν φησίν. ὁ ταύτην οὖν γλώσσῃ



ἐξειπών τε καὶ ἐκφαυλίσας, ὡς καθαρεύσας καὶ φωτισθείς, λαμπηδόνος θείας κατηξίωται.

Ις. Οὐ δεῖ τὴν ἐν πᾶσι τῶν κρυφίων ἐκφαντορίαν ποιεῖσθαι· τισὶ γὰρ ἐνίοτε ἐλέγχους ἀφορμὴ καθεστήκεσαν.

Ις. Μὴ πᾶσιν ἁπλῶς ἐξαγόρευε· πολλοὶ γὰρ ἐν καιρῷ, συμβάντος τινὸς ἐναντιώματος, εἰς ἔλεγχον καὶ ἐξουδένωσιν τῇ ἐξαγορεύσει ἀπεχρήσαντο.

ΙΖ. Ἑτέρου διασαλπίσας ἀλλοτρίῳ κρυφιότητα παραπτώματος, ὡς θεῖον ἀποσυλῶν ἔνοχος καθεστήκει προνόμιον.

ΙΖ. Ὁ ἐξαγγελίαν τινὸς πρὸς ἕτερον ἀποκαλύπτων ὑπεύθυνός ἐστι κακῶν, ὡς ἅρπαγμα ποιούμενος τὴν ἐν τῷ μέλλοντι χρόνῳ τοῦ θεοῦ ψῆφον· τότε γὰρ τῶν ἡμαρτημένων ἑκάστῳ παρὰ θεοῦ ἡ δημοσίευσις διορίζεται.

ΙΗ. Ὢ πτῶμα κρύφιον διήγγελται, οὐκ ἀσφαλές· θείων ἴσχεται μυστηρίων.

ΙΗ. Ὃς ἁμάρτημα ἐξαγορευθὲν αὐτῷ μὴ τετήρηκεν ἐν ἑαυτῷ καὶ συνέκρυψεν, ἀλλὰ πρὸς ἕτερον ἐθριάμβευσε, τῶν θείων οὗτος μυστηρίων ἀνάξιος.

ΙΘ. Καὶ τοῦτο τοῦ δαιμονίου σπούδασμα, τὸ τῷ ἐξαγγελεῖ αἶσχος ὑποθεῖναι τῆς οἰκείας φαυλότητος.

ΙΘ. Ἔργον καὶ σπουδὴ καὶ τοῦτο τοῦ ἐξ ἀρχῆς ἀνθρωποκτόνου διαβόλου· τὸν γὰρ ἐνάμαρτον ἄνθρωπον τῶν οἰκείων αἰσχύνην ὑποτίθεται ἁμαρτημάτων, ὅπως τῆς δι' ἐξαγορεύσεως σωτηρίας τοῦτον ἀποστερήσειεν.

Κ. Ἡ τοῦ ἐσφαλμένου ὑπόκρυψις πλέον καθήδυνεν, ἢ ὅτε τὸν προβολέα διεσπουδάζετο.

Κ. Εἴ τις ἀνθρώπων εἰργάσατό τι τῶν οὐ θεμιτῶν καὶ τοῦτο κρύφιον ἐν αὐτῷ κατέχει, οὗτος τὸν τοῦτο προβαλλόμενον καὶ ὑποθώμενον αὐτῷ δαίμονα ἐν τῷ ὑποκρύπτειν μᾶλλον κατευφραίνει, ἢ ὅτε τοῦτο διέπραττεν.

ΚΑ. Ὁ τῆς κακίας θρίαμβος τῷ παρ' οὗ πρόεισιν αἶσχος εὐλαβεῖται τὴν ὑποβολήν, ὡς πολλάκις λοχαγὸς εἴ τις εὐμήχανος, ἀναρρηθέντος λόχου, τὸ σκαιὸν ὑπεστείλατο.

ΚΑ. Ὁ τῆς ἁμαρτίας φατριασμὸς αἰσχύνη γίνεται τῷ ὅθεν αὕτη προήχθη, τουτέστι τῷ δαίμονι· οὗτος γὰρ μετὰ τὴν τοιαύ-

τὴν αἰσχύνην δέδοικεν ἔτι προσβάλλειν ἡμῖν τὰ πονηρά, ὡς καὶ στρατιώτης πρὸς ἔνεδραν ἐπιτήδειος, ἅπαξ [καὶ δὶς καὶ πολλάκις φανερωθέντος αὐτοῦ τοῦ ἐπιτηδεύματος, ἀνακοπὴν ποιεῖται τῆς τοιαύτης τολμήσεως.

ΚΒ. Τῶν εἴ τι τῷ παντεφόρῳ μὴ στεργόντων τινὶ πυκασμὸς ἔνεστιν, ἔλεγχος ἐκείνου, τούτου τῆς γνώσεως στέρησις.

ΚΒ. Ἐάν τι τῷ τὰ πάντα ἐφορῶντι καὶ γινώσκοντι θεῷ μὴ ἀγαπωμένων ἐργασιῶν, ἅπερ εἰσὶ τῆς ἀντικειμένης ἐφευρήματα καὶ τεχνάσματα δυνάμεως, τινὶ ἀνθρώπῳ κεκρυμμένον ἐστίν, τοῦ τοιούτου σφάλματος ἡ ὑπόκρυψις ἔχειν αὐτὸν ἔννοιαν μὴ πάντα τὸ θεῖον ἐπίστασθαι ἐξελέγχει.

ΚΓ. Τῶν πόρρω τις ὑπερφυοῦς ἀποδρὰς καθιστώντων μὴ τούτων ἀσπαζέτω μνημόσυνον· τοῦτο γὰρ καὶ πρὶν οἰστικὸν θέλξεως καὶ σωτηρίου καραδοκίας ἀλλοτρίωσις.

ΚΓ. Ὑπερφυὲς τὸ θεῖον ὡς ὑπεράνω ἔφησε φύσεως. ὅρα οὖν τὸ γλαφυρὸν τῆς φράσεως. τῶν ἀλλοτρίωσιν ἐξ αὐτοῦ τοῦ θείου κατεργαζομένων ἁμαρτημάτων, τουτέστι τῶν χωριζόντων ἡμᾶς ἐκ τοῦ θεοῦ κακῶν, ἐάν τις ἀπαλλοτριωθῇ καὶ ἐκφύγῃ, μηκέτι ταῦτα ἀναλογίσαιτο. τὸ γὰρ ταῦτα ἀναλογίζεσθαι δύο κακῶν αἴτιον καθίσταται· ἢ γὰρ τὸν ἄνθρωπον πρὸς τὴν προτέραν ἡδονὴν ὑφέλκεται τῆς ἁμαρτίας, ἢ ἀπόγνωσιν αὐτῷ τῆς τούτων ἀπολυτρώσεως ἐντίθησιν διὰ τὸ πολλὰ καὶ μέγιστα συνορᾶν αὐτῷ τὰ πλημμεληθέντα.

ΚΔ. Ὡς τὰ τῆς ἀνῳκισμένης ξενοῦντα φύσεως ἄριστον τῷ νοερῷ περιστρέφειν· ἔνθεν γὰρ τῶν ἀγαθῶν ἐπίδοσις· οὐκ ἀγαθὸν δὲ κατ᾽ ἰσχνότητα, ὡς μὴ τοῖς προλαβοῦσιν ἁλισκώμεθα.

ΚΔ. Ἀνῳκισμένην φύσιν τὴν θείαν αἰνίττεται. ὡς ἄριστον οὖν (ἀντὶ τοῦ πάνυ τῶν ἐπαινετῶν ἐστι) τὰ τοῦ θεοῦ ξένους ἡμᾶς ποιοῦντα ἁμαρτήματα τῷ ἡγεμονικῷ ἐνειλίσσειν καὶ ἀναλαμβάνεσθαι· ἐκ γὰρ τούτου πρὸς ἀγαθὸν ἐπίδοσις γίνεται· καὶ Δαυὶδ γὰρ ἔφη· "ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν". ἀλλ᾽ οὐ κατ᾽ ἰσχνότητα, τουτέστιν οὐ κατὰ λεπτότητα καὶ καθὼς διεπράχθη τὰ πλημμελήματα, ἵνα μὴ πάλιν αὐτοῖς προτελεσθεῖσιν ἀγρευώμεθα.

ΚΕ. Μὴ τὸ πᾶν αἶσχος τοῦ λογισμοῦ ὡς προϊὸν προφασιζέσθω σοι

31 Psalm. L, 5



σκότους· οἶδεν γὰρ ἐθὰς ἃ μὴ δεῖ λογισμὸς ἀναπινίζειν. ἔστι κἀντεῦθεν τὸ ἐπίβουλον καὶ τὸ διαδρᾶν οὐ δυσχερές, εἰ καὶ ὄκνου κύημα σκῆψις προτείνεταί σοι· ἡ γὰρ ἐπ᾽ ἀγαθοῖς σχολὴ καὶ πόνησις λήθη τῶν ἀπευκτέων.

ΚΕ. Τὴν ἐν τῷ λογισμῷ ἀναβαίνουσαν ἁμαρτητικὴν ἔννοιαν μὴ πᾶσαν ἐπερχομένην ἐκ σκότους, τουτέστιν ἐκ τοῦ δαίμονος, ὑπονόει· καὶ γὰρ καὶ ὁ ἐν τοῖς ἀτόποις ἐνεθισθεὶς κυλινδεῖσθαι λογισμὸς εὐχερής ἐστιν ἐννοεῖν, ἃ μὴ πρέπον ἐστίν. οὐκοῦν καὶ ἐκ τούτου ἡ τῶν ἁμαρτιῶν ἐπιβουλὴ πέφυκε γίνεσθαι· ἀλλὰ θελόντων ἡμῶν ἡ ἐκφυγὴ οὐ δυσχερής ἐστιν, εἰ καί τισι πρόφασις ἀσθενείας διὰ τὸ φιλήδονον, ἣν ὄκνου κύημα ἔφησε, προτείνεταί τε καὶ διατρανοῦται. καὶ γάρ, ἐάν τις ἐνδελεχῶς σχολάζῃ ἐπὶ τῇ τῶν ἀγαθῶν ἐργασίᾳ, τὸ ταύτης ἐπίπονον μετὰ χαρᾶς μετιέμενος, τῶν ἀπευκτέων καὶ φαύλων, καὶ ἐννοιῶν καὶ ἔργων, ἐλευθεροῦταί τε καὶ ἐπιλανθάνεται.

Κϛ. Κἂν ἐνίοτε τῶν πατρικῶν ἀπορραγῶμεν δι᾽ ἀλλότριον ἔρωτα σπλάγχνων, τίς οὐκ ἐρᾷ τὴν ἐπάνοδον, καὶ τότε προσκεκλημένος;

Κϛ. Ἀλληγορεῖται τὸ λόγιον, ἐκ τοῦ αἰσθητοῦ χειραγωγοῦν πρὸς τὸν θεὸν καὶ πατέρα, ὡς διὰ μετανοίας πάλιν τούτῳ ἡ οἰκείωσις.

ΚΖ. Τὸ ἀλλότριον ἑλόμενον γνησιότητος ἐδέησεν ἐπικηρυκεύματος.

ΚΖ. Οἱ θεοῦ ἀλλοτριωθέντες καὶ πάλιν βουλόμενοι ἐπανελθεῖν πρὸς οἰκείωσιν διὰ μεσιτεύοντος προσώπου, τουτέστι καθηγητοῦ, ἐπανάγονται.

ΚΗ. Ἔστης φίλτρῳ τοῦ φύσαντος, κραταιὸν ἥδρασο· ἡ γὰρ ἐντεῦθεν παρέγκλισις δυσπαλίννοστος.

ΚΗ. Ὅτι διὰ μετανοίας ἀγαπηθεὶς ὑπὸ τοῦ θεοῦ τῇ αὐτοῦ ἀγάπῃ ἐπίμενε, κραταιῶς καὶ προθύμως τὴν ἀρετὴν ἐργαζόμενος· εἰ γὰρ ἐντεῦθεν παρατραπῇς, δύσκολον ἐφευρήσεις τὴν ἐπάνοδον.

ΚΘ. Καθεύδουσι τὸ φῶς ἀπρόσιτον, ἐγρηγορόσιν ἠλάθη σκοτόμαινα.

ΚΘ. Ὅτι τοῖς ῥαθύμοις καὶ πεπωρωμένοις τὴν διάνοιαν τὸ τῆς μετανοίας φῶς ἀμέτοχον, τοῖς δὲ νήφουσι τὸ τῆς ἁμαρτίας σκότος ἀποδιώκεται.

26 δυσπαλίνοστος P

Λ. Ἐνδελεχῶς ἐν ἅλμῃ νηχόμενον θὴρ ἀπηνὴς κατεπώσατο.

Λ. Παραβολικῶς ἡ νόησις. τὸν ἀπληστευόμενον ἐν ἁμαρτίαις ὁ θὴρ δαίμων κατεβρώσατο.

ΛΑ. Τῷ νεοπαγεῖ κατ' ἐξαίρετον ἡγείσθω ἀκοῆς ἐνδόσιμον.

ΛΑ. Ὅτι πρώτη τῷ μονάζοντι κατόρθωσις ἡ ὑπακοή ἐστιν.

ΛΒ. Ἡ τῆς βουλήσεως οἰκεία ἄρνησις ἑαυτῷ γνῶσιν δίδωσιν.

ΛΒ. Ὁ τὴν οἰκείαν ἀπαρνησάμενος θέλησιν, οὗτος ἐπέγνωκεν ἑαυτόν.

ΛΓ. Ἐνωτισμὸς προφητείας σπουδαῖος τὸν ἀκροατὴν ἐβελτίωσεν.

ΛΓ. Προφητείαν τὴν παραίνεσιν αἰνίττεται· ὅτε γὰρ ὁ μονάζων μετὰ προσοχῆς ἐπιμελοῦς τὰ παρὰ τοῦ προεστῶτος διδασκόμενα συνίῃ, βελτιοῦται.

ΛΔ. Τὸ τῆς γνώμης εὐθὺ καὶ ἀποίκιλον οἰκεῖον σπουδάζουσιν.

ΛΔ. Ὅτι τοῖς μοναχοῖς ἀπανούργευτον καὶ πάσης σκολιότητος ἄμοιρον γνώμην κεκτῆσθαι ἐπάναγκες.

ΛΕ. Ἡ τῶν λόγων νύξις ἀόργητος.

ΛΕ. Ὅτι ἐν τοῖς ἐκ λόγων ὀνείδεσιν οὐ δεῖ τὸν μονάζοντα παροξύνεσθαι, οὐδ' ὀργίζεσθαι.

Λϛ. Τὸ τῆς ὕλης μεστὸν κατισχνῶσαι καὶ τὸ ταύτης βρῖθον ἀνακουφίσαι βιαιότατον.

Λϛ. Ὕλην τὸ σῶμα, ὡς ἐκ τοῦ χοὸς συνιστάμενον, ἔλεξε. τὸ σφριγῶν οὖν τούτου δι' ἐγκρατείας κατατῆξαι καὶ τὰ τούτου χαμαιπετῆ κινήματα πρὸς τὸ τῆς ἀρετῆς ὕψος ἀναβιβάσαι οὐκ εὔληπτον.

ΛΖ. Τὸ δυσχερὲς τῆς πρὸς οὐρανὸν πτερύξεως ὑπὸ τῆς ἐλπίδος κατευμαρίζεται.

ΛΖ. Ὅτι ἡ τῆς ἀρετῆς δυσχέρεια (ἔχει γὰρ δυσχερὲς καὶ τραχύ) διὰ τῆς ἐλπίδος εὔκολος καθίσταται· "οὐκ ἄξια γὰρ τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν ἡμῶν μέλλουσαν ἀποκαλύπτεσθαι μακαριότητα".

ΛΗ. Τῶν καλῶν ἡ κρηπὶς ἐν οὐχ ὕλης περιπετείᾳ τίθεται.

ΛΗ. Ὅτι τῆς ἀρετῆς ὁ θεμέλιος οὐ δύναται ἀσφαλῶς ἐκείνῃ ψυχῇ τεθῆναι τῇ φροντίδα προσκεκτημένῃ πρός τι τῶν βιωτικῶν.

ΛΘ Αἰσχρὸν κονίσασθαι γενναῖον καὶ ταῖς λαβαῖς μαλακισθῆναι.

28/30 cf. Rom. VIII, 18.



ΛΘ. Ὅτι αἰσχύνη τοῖς ἀγωνιζομένοις ὕπεστι τὸ κατ' ἀρχὰς μὲν ἐπιδείξασθαι τὴν ἐπ' ἀρεταῖς γενναιότητα, πρὸς δ' αὐτὸν τὸν ἀγῶνα παρεθῆναι.

Μ. Ἡ ἔφεσις σπουδῇ καταλαμβάνεται.

Μ. Ὅτι πᾶν οὗ τις ἐφίεται, εἰ μὴ σπουδὴν σχοίη πρὸς τὴν τούτου κατάληψιν, ἀμέτοχος τούτου δειχθήσεται.

ΜΑ. Τὸ τῆς σαρκὸς κραταιὸν πόνου τῷ τῆς ἀρετῆς ἐργάτῃ παραίτιον, τὸ δ' ἀσθενὲς ἀταλαίπωρον δείκνυσι, καὶ τοσοῦτον, ὅσον τὸ ταύτης στερρὸν καθυφεῖται.

ΜΑ. Ὅτι ἡ τοῦ σώματος ἰσχὺς ὄκνον ἐμποιεῖ πρὸς ἀρετῆς ἐργασίαν, ἡ δὲ ταύτης ἀσθένεια ἄκοπον ποιεῖ τὸν ἀγῶνα, καὶ τοσοῦτον, ὅσον τὸ ταύτης εὔτονον ἐξατονεῖ.

ΜΒ. Τὰ ἐν ἀκμῇ τῶν καλῶν δράματα σιτίζει τὸ γῆρας.

ΜΒ. Ὅτι ἡ τῶν καλῶν πράξεων ἐν νεότητι σίτισις τὸ γῆρας διασῴζει.

ΜΓ. Ἐναγώνιος ἀκμὴ ἠρεμία τοῦ γήρους.

ΜΓ. Ὅτι νεότης ἀγωνισαμένη τὸ γῆρας ἀγώνων ἔξω καθίστησι. νοεῖν δὲ ἄξιον, ὡς ἡ παραίνεσις οὐκ ἐπιτρέπει μὴ ἐν γήρᾳ ἀγωνίζεσθαι, ἀλλά φησιν ὅτι δι' ἀσθένειαν τοῦ γήρους ὀκλάσαντος ἀντισήκωσις ἥκει τῶν ἐκ τῆς νεότητος κατορθωμάτων.

ΜΔ. Σαρκὸς προθυμίᾳ συμπροθυμείσθω τὸ πνεῦμα· ἐν γὰρ τῇ ταύτης ὑφέσει τούτου ζημιοῦται τὸ πρόθυμον.

ΜΔ. Ὅτι τοῦ σώματος ἰσχύοντος δεῖ καὶ τὴν ψυχὴν πρὸς ἀρετῆς ἐργασίαν πρόθυμον εἶναι· ἐξατονούσης γὰρ τῆς σωματικῆς ἰσχύος, κἂν ἡ ψυχὴ πρὸς ἀγῶνας πρόθυμος, ἀλλ' οὐ τοσοῦτον ἐπικερδὴς ἡ προθυμία.

ΜΕ. Ἰδιαζούσης κλήσεως μοναχὸς ἰθυνέσθω· μονόχους γάρ.

ΜΕ. Ὅτι δεῖ τὸν μοναχὸν τὴν οἰκείαν ἐπισκοποῦντα κλῆσιν τὸν βίον διεξανύειν· μοναχὸς γάρ. τοῦτο τὸ ὄνομα ἀναπτυσσόμενον μόνον χοῦν ἔχειν λέγεται, τουτέστι μόνον τὸ ἑαυτοῦ σῶμα φέρειν ὑπαινίττεται.

Μϛ. Ἰδιάζων χοῦς οἰκεία σὰρξ τοῦ μονάζοντος, ὃν μόνον περιφέρειν αὐτῷ δεήσει.

Μϛ. Ὅτι ἡ τοῦ μοναχοῦ σὰρξ ἴδιος χοῦς αὐτῷ ἐστιν. τοῦτον οὖν τὸν χοῦν μόνον δεῖ τὸν μονάζοντα περιφέρειν, τουτέστιν πάν-

20 ἀντεισήκωσις P

των ἀλλότριον εἶναι δεῖ τὸν μοναχὸν καὶ τούτῳ μόνῳ προσοικειοῦσθαι. διὰ τοῦτο γὰρ λέγεται μοναχός, ὅτι μόνον τὸν ἴδιον χοῦν περιφέρει.

ΜΖ. Ἡ κτῆσις τῶν πολλῶν πολύχουν ἀλλ' οὐ μονόχουν ἐργάζεται· πάντα γὰρ χοῦς.

ΜΖ. Ὅτι μοναχός, ὃς κτήματα περιποιεῖσθαι πέφυκεν, εἰς κενὸν τοὔνομα περιφέρει· εἰ γὰρ πάντα χοῦς, οὗτος δὲ ταῦτα διὰ πολλοῦ ποιούμενος συλλέγεταί, πολύχους οὐ μοναχὸς ἂν ὀνομασθήσεται.

ΜΗ. Ἡ τῆς κτήσεως ἀλλοτρίωσις τὸν μοναχὸν ὁρίζεται.

ΜΗ. Ὅτι τότε μοναχὸς λέγεται, ὅτε ἐκ τῆς κτήσεως ἀλλοτριωθῇ.

ΜΘ. Τῆς ἡμῶν διπλόης τὸ σύνθημα, ψυχῆς καὶ σώματος, τοῦ μοναχοῦ στοιχείωσις ἁπλῆ καὶ ἄμικτος· μόνος γάρ ἐστι πνεῦμα, ἄχους δέ· τὰ γὰρ σαρκὸς νενέκρωται.

ΜΘ. Τὸ τῆς ἡμῶν σύγκραμα φύσεως διπλοῦν ἐστιν· ἔκ τε γὰρ ψυχῆς καὶ σώματος συνεστήκαμεν. ἀλλ' οὐχ οὕτω τῶν μοναχῶν ἡ στοιχείωσις, ἀλλ' ἀμιγὴς καὶ ἀσύνθετος· κατὰ γὰρ πνεῦμα μόνον τούτοις περίεστι τὸ ζῆν, χοῦς δ' ἐν αὐτοῖς οὐ καθέστηκε· τεθνήκασι γὰρ κόσμῳ καὶ σώματι.

Ν. Μοναχὸν ὁρίζομεν τὸν καὶ ἐν θλίψει μονώτατον.

Ν. Ὅτι ὁ τοῦ μοναχοῦ ὁρισμὸς ἔκ τε τοῦ μόνου καὶ τοῦ ἄχους, ὃ τὴν λύπην σημαίνει, συνέστηκεν· πρὸς τοῦτο γὰρ ἀφωρίσται μοναχός, πρὸς τὸ μόνον μὲν εἶναι, ἐν θλίψεσι δὲ τὸν ἑαυτοῦ βίον διεξάγειν. θλῖψιν ἐνταῦθά φησι τὴν τοῦ βίου στενοχωρίαν καὶ τὸ ἄλλο τῆς βιώσεως τρῦχος· διὰ γὰρ πολλῶν θλίψεων ἡ τῆς βασιλείας τῶν οὐρανῶν εἴσοδος γίνεται.

ΝΑ. Ἡ κτῆσις τοῦ πλούτου ἀνάρμοστος τοῖς ἀσάρκοις· ἡ κτῆσις ἁρμόδιος τοῖς σαρκίνοις, τοῖς ἀσάρκως μονάζουσιν· ὁ πλοῦτος ἄρα διάκενος.

ΝΑ. Συλλογιζόμενος ἀποδείκνυσι τὸν μοναχὸν ἀκτήμονα βίον ἀσπάζεσθαι· εἰ γὰρ διὰ τὸ τὰς σαρκὸς νεκροῦν ἐπιθυμίας ἀποδύεται καὶ πάντῃ μὴ ζῆν τῷ κόσμῳ σπουδάζει, ὁ δὲ πλοῦτος τοῖς τὰ σαρκικὰ μελετῶσι συνήρμοσται, τοῖς δ' ἀσωμάτοις ὁ πλοῦτος ἀκατάλληλος, εὔδηλον ὅτι τοῖς νενεκρωμένοις τούτοις μοναχοῖς οὐκ

---

21 τὸν ἐν θλίψεσι P, sed in margine a pr. m. γρ(άφε) τὸν καὶ ἐν θλίψει.



οἰκεῖος, ἀλλ' ἀλλότριος πάντῃ καὶ μάταιος ὁ πλοῦτος εἶναι πανσόφως ἀποδείκνυται.

ΝΒ. Τὸ περὶ ἡμᾶς κτώμενον ἀποκτᾶται τοῦ κρείττονος, τὸ δ' ἀποθέμενον ἐκτήθη.

ΝΒ. Ὅτι ὁ προσποιούμενος τὰ περὶ ἡμᾶς, τουτέστι πλοῦτον, ἐκ τοῦ θεοῦ ἀπορρίπτεται· ὁ δ' ἀποθέμενος, τὸν πλοῦτον δηλονότι, μᾶλλον ὑπ' αὐτοῦ τοῦ θεοῦ προσπεποίηται.

ΝΓ. Ἡ τῆς ἀνίας καταιγὶς ψυχικὸν ναυάγιον.

ΝΓ. Ὁ ἐν κατασχέσει τῆς λύπης ταραττόμενος, ἢ ὁ ὕβρεσι χειμαζόμενος, τὸν κατὰ ψυχὴν ὑφίσταται κίνδυνον.

ΝΔ. Πολυσχιδὴς τῶν ἀγώνων ἡ πάλη, εὐμήχανος ἡ συμβολή, ἡ συμπλοκὴ κραταιότερον· ἀπατητικὸν τοῦ κόσμου τὸ σίμβλον, ἄοπτος τῶν μελῶν ἡ ἄφεσις· ἡ προσοχὴ συνήτω.

ΝΔ. Ὅτι πολύτροπος ἡ πρὸς ἡμᾶς τοῦ ἐναντίου μάχη καὶ ἡ συμβολὴ αὐτοῦ εὔτεχνος καὶ ἡ περίδραξις ἰσχυροτέρα· ὅτε γὰρ ὁ τοῦ γένους ἐχθρὸς ἐπιθῆταί τινι, βιαίαν ποιεῖται τὴν ἐπίθεσιν· καὶ ὅτι τοῦ κόσμου τὸ ἡδυπαθὲς πρὸς ἀπάτην εὐχείρωτον, οἷον δέλεαρ ὑπὸ τοῦ ἐχθροῦ προτεινόμενον· διὰ δὲ τοῦ σίμβλου τὸ πᾶν τῆς ἡδονῆς ὑπεδήλωσεν· καὶ ὅτι τὰ νύγματα τῶν παθῶν ἀφανῶς παρὰ τοῦ δυσμενοῦς ἐπιπέμπεται. διὰ τοῦτο καὶ πλείονος τῆς προσοχῆς ἐπιδεόμεθα.

ΝΕ. Ὅσον τὸ πνεῦμα τοῦ σώματος, τόσον καὶ προσοχῆς ἡ χρῆσις διενήνοχεν.

ΝΕ. Ὅτι ὅσον ἡ ψυχὴ διαφέρει τοῦ σώματος, τοσοῦτον καὶ τῆς ψυχικῆς ἀπαθείας κρείττονα δεῖ τὴν πρόνοιαν ποιεῖσθαι τοῦ σώματος.

Νϛ. Ἡ νοερὰ μετεώρισις τοῦ ὑλώδους ὀλίσθου χαλεπώτερον.

Νϛ. Ὅτι ἡ τοῦ νοὸς ἔπαρσις τῆς σωματικῆς καταπτώσεως, τουτέστι πορνείας πτώματος καὶ τῶν ἄλλων ὁμοιοτρόπων, χείριστον.

ΝΖ. Τὸ σαρκομανεῖν καὶ δαιμονίου καὶ γλεύκους ἐπιβούλευματος.

ΝΖ. Ὅτι ἡ σαρκομανία, τουτέστιν ἡ ἀκολασία τῆς σαρκός, οὐ μόνον ἐξ ἐπιβουλῆς τοῦ δαίμονος, ἀλλὰ καὶ ὑπὸ μέθης προσγίνεται.

ΝΗ. Οὐχ ἡ πύρωσις δι' ὅλου σαρκίνη τοῦ δαίμονος, ἀλλὰ καὶ φύσεως ἐγκρατείας ἰσχνῆς ἀνίκμοις πνεύμασιν ἐνοχλουμένης. δεῖ οὖν μετρίως κιρνᾶν, ἵνα τῇ πάντῃ ἀκρασίᾳ μὴ τὸ σπουδάζον παθαίνοιτο.

ΝΗ. Οὐκ ἔχει τὸ πᾶν τῆς κινήσεως τῆς σαρκὸς ἡ πύρωσις ἐξ ἐπηρείας τοῦ δαίμονος, ἀλλ' ἔστιν ὅτε καὶ ὑπ' ἐσχάτης ἐγκρατείας ἔσχε τὴν κίνησιν, πνευμάτων ξηροτέρων καὶ διὰ τοῦτο θερμοτέρων κινούντων τὴν φύσιν· τοῦτο γὰρ δοκεῖ τοῖς δεινοτέροις τῆς φύσεως ἐξετασταῖς. ὥστε συγκιρνᾶν δεῖ μετρίως τὸ σῶμα διὰ τῆς μεταλήψεως, ἵνα μὴ τῇ παντελεῖ ἀκρασίᾳ, τουτέστιν ἐγκρατείᾳ, ὁ ἀγωνιστὴς ὑπὸ τῶν τῆς σαρκὸς κινημάτων βιάζηται.

ΝΘ. Αἴσχιος ὀπτὴρ λεηλάτης πόλεως.

ΝΘ. Ὅτι ὀφθαλμὸς αἰσχρὸς καὶ λίχνος τῆς ψυχικῆς ἡμῶν πόλεως λεηλάτης, ἤτοι πορθητὴς γίνεται· καὶ γὰρ ὁ ἐχθρὸς οἷον σκοπέα τινὰ ἐν ἡμῖν ὄντα τὸν ὀφθαλμὸν πολλάκις ἀποσυλήσας αὐτὴν τὴν ψυχὴν ἐχειρώσατο.

Ξ. Δύσφωνος σάλπιγξ πνεύματος πόρθησις.

Ξ. Ὅτι αἰσχρορρημοσύνη (τοῦτο γὰρ ὁ λόγος φησὶ διὰ τῆς δυσφώνου σάλπιγγος) τῷ πνεύματι αἰχμαλωσίας γίνεται πρόξενος· καὶ γὰρ ὁ ἐχθρὸς τὰς αἰσθήσεις ταύτας ὥσπερ παρατρέπων καὶ πρὸς τὸ οἰκεῖον ἀπάγων βούλημα κατὰ μικρόν, οὕτως ἀφυλάκτους εὑρίσκων εἰσέρχεται καὶ τὴν ψυχὴν ποιεῖται ὑποχείριον.

---

### *Βιβλίον τρίτον.*

Α. Ἐπιβουλὴ τὸν κατὰ λόγον ἀγῶνα φεύξασα ἔδωκε πίστωσιν· τούτου δὲ χωρὶς πολιννοστεῖ φοβερώτερον.

Α. Ὅτι κατὰ λόγον τοῦ ἀσκητοῦ ἀγωνιζομένου, φεύγουσα ἡ τοῦ ἐχθροῦ ἐπιβουλὴ παρέχει τὴν πίστιν, τουτέστι δίδωσι πεισθῆναι, ὅτι καταγωνισθεὶς ὑπὸ τῶν τοῦ ἀγωνιζομένου καμάτων ἀπέδρα· εἰ δὲ μὴ κατὰ λόγον ὁ ἀγών, κἂν φύγῃ, ἄπιστος ἡ φυγή· ἐπανέρχεται γὰρ φοβερώτερον.

Β. Τὸ ἐχθρὸν ἀποσοβούμενον ἁρμόζουσι πόνοις, εἰς ὕψος ἀνταγωνισάμενον ἴσχυσε κραταιότερον.

Β. Ὅτι κατὰ λόγον καὶ πολλάκις τῶν ἀγώνων γεγονότων, ἡττηθεὶς καὶ φυγὼν ὁ ἐχθρός, ἀντιστρατηγήματι χρησάμενος τῇ ὑψηλοφροσύνῃ, τὴν νίκην ἑαυτῷ ἀνεκαλέσατο γενναιότερον, τουτέστι τὸν ἀγωνιστὴν ἐπηρμένῳ φρονήματι μετεωρίσας κατέβαλεν.

---

14 αἰσχρορημοσύνη P    21 παλινοστεῖ P



τὸν δὲ τρόπον τοῦ ἐπηρμένου φρονήματος λέγει τῷ οἰηθῆναι τὸν ἀγωνιστὴν οἰκείᾳ δυνάμει καταγωνίσασθαι τὸν πολέμιον· ὅπερ συμβαίνει τοῖς μὴ λίαν προσέχουσιν ἑαυτοῖς. τὸ δὲ τὸ κράτος ἀναθέσθαι τῇ θείᾳ δυνάμει, τοῦτο καὶ ἀσφαλὲς καὶ τὴν νίκην ποιεῖ ἀναφαίρετον.

Γ. Ἐχθρὸς τολμητίας, τῶν ἀντιθέτων ἀπαρασκευῶν.

Γ. Ὅτι τῶν ἀνταγωνιστῶν μὴ παρασκευαζομένων πρὸς τὸν ἐχθρόν, ἐκεῖνος τολμηρότερος πρὸς τὸν πόλεμον ἀναδείκνυται.

Δ. Τὸ ἀκαταμάχητον ἄριστον· εἰ δέ γε σαλευθῇς, τῆς ζωῆς ἐνσημηνάσθω σοι τύπος ζωηρὸς καὶ τὸ δυσμενὲς κατηγώνισται.

Δ. Ὅτι βέλτιστον μὲν τὸ μὴ πάθεσιν ἁλῶναι, τουτέστι μὴ τῇ προσβολῇ τῶν πονηρῶν ἐννοιῶν ὑπενδοῦναι· εἰ δέ ποτέ τις ὑπὸ τούτων ὥσπερ διασεισθῇ, τῷ τοῦ σταυροῦ ζωοποιῷ τύπῳ αὐτίκα ἐνσημειούσθω καὶ ὁ ἐχθρὸς καταβάλλεται. τοῦτο δέ φησιν ὁ λόγος ἐκ μεταφορᾶς τῶν ἐνίοτε μὲν ἐν πολέμῳ παρὰ τῶν ὑπεναντίων διαταραχθέντων, τῷ δὲ τοῦ πλαισίου σχήματι, ὅπερ ἐστὶν ἐπίμηκες τετράγωνον, εὐθέως ἀσφαλιζομένων καὶ τῆς ἐπιβουλῆς τῶν πολεμίων ἀναλώτων διατηρουμένων.

Ε. Ἐνυάλιον ὥρᾳ σαλπίζεται καὶ καιρῷ κατευνάζεται· τούτου δὲ λαθραῖον τὸ ἔνδημον. εἴη δὲ δι' ὅλου τὸ ἐμπαράσκευον.

Ε. Τὸ πολεμικὸν κατὰ καιρὸν ἴδιον ἐφορμᾷ καὶ πάλιν καιρῷ ἰδίῳ συστέλλεται· τούτου δὲ κρύφιος ἡ ἔφοδος. διὰ τοῦτο χρὴ διαπαντὸς καὶ τῶν ἀγῶνα ἕτοιμον εἶναι.

ς. Ὑπὲρ ὃ τὸ ὕψος ὑπῆν μετεωρισάμενον, τὸν τῆς γῆς μυχὸν ἐξηρεύνησεν.

ς. Ὅτι ὁ ἀποστάτης δαίμων πλέον ζητήσας ὑψωθῆναι παρ' ὃ ὑπῆρχεν, ὑποχθόνιος γέγονε. σκοπὸς δὲ τῷ λόγῳ παιδεύειν τῆς ταπεινοφροσύνης ἀντέχεσθαι, ὡς πρὸς ἔσχατον πτῶμα καταγαγούσης τῆς πρὸς τὸν δαίμονα μιμήσεως· ὅπερ ἐστὶν ὑψηλοφροσύνη.

Ζ. Τὸ χοὸς ἴδιον βρῖθον· ἐνίοτε δ' ἵπταται πνεύματι καὶ ἄλλῃ περισχιδνάμενος ὄλλυται.

Ζ. Ὅτι χοός, ἤτοι γῆς, ἴδιόν ἐστι τὸ βαρύ, τουτέστι τὸ κάτω φέρεσθαι· ἔστι δ' ὅτε μετεωριζόμενος ὑπ' ἀνέμων ἀλλαχοῦ διασκεδάζεταί τε καὶ ἀπόλλυται. παραινεῖ δὲ καὶ διὰ τούτου ταπεινοφροσύνην ὁ λόγος· καὶ γὰρ τοῦτο οἰκεῖον τῆς γεώδους φύ-

σεως, τὸ ταπεινῶς διακεῖσθαι· τὸ δ' ἐπαρθῆναι, φυσῶντος ἡμᾶς τῆς πονηρίας τοῦ πνεύματος, τοῦτο ἀπωλείας παραίτιον.

Η. Νοῦς φωταυγῶν ζοφώδης ἐν ἐφέσει δαψιλείας φωτός.

Η. Ὁ φωταυγῶν νοῦς, ἤτοι δαίμων (νόες γὰρ ἡ ἄυλος φύσις), ἐν ἐφέσει πλείονος φωτὸς καταστὰς ζοφώδης ἐγένετο. διδάσκει οὖν ὁ λόγος εὐχαρίστως ἕκαστον τῶν τὰς διακονίας μεταχειριζομένων ἐν τῇ οἰκείᾳ τάξει διαμένειν καὶ μὴ ὀρεγομένους βαθμῶν τῶν ὑψηλοτέρων ὥσπερ εἰς ἀλαζονείαν δαιμονικὴν προάγεσθαι· τοῦτο γὰρ καὶ τῆς προσούσης τέως χάριτος ἔκπτωσις γίνεται.

Θ. Θνητὸς θεῖον ἀγαλματῶν θυμὸς θυμὸν ἀπεμαράνθη.

Θ. Ὁ θνητὸς καὶ ἀνθρώπινος θυμὸς τὴν θεϊκὴν μῆνιν ἀγαλματῶν, τουτέστιν ἐν ἑαυτῷ ἀνατυπούμενος, ἀπεμαράνθη. διδάσκει οὖν, ὅτι κινήσεως θυμοῦ γενομένης, αὐτίκα τὴν θείαν ὀργὴν ἀναλογίζεσθαι δέον· τούτου καὶ γὰρ γινομένου, ἀδύνατον μὴ τὸ τοῦ θυμοῦ πῦρ σβεσθῆναι.

Ι. Μὴ σύνοικος ἔστω σοι φθόνος, ὑφ' οὗ μυστηρίων ἀχράντων ἐξωστράκισαι.

Ι. Παραίνεσιν διὰ τούτου ποιεῖται, τὸν φθόνον τῆς καρδίας ἐλαύνειν· διὰ φθόνου γὰρ τῶν δεσποτικῶν καὶ ἀχράντων σπλάγχνων ἐξεβλήθημεν· ἄτοπον γὰρ οἰκειοῦσθαι τῷ δι' οὗ γεγόναμεν ἐξόριστοι καὶ ἀλλότριοι τῆς τοῦ πλάσαντος οἰκειότητος.

ΙΑ. Τὸ τῶν κακῶν μνημόσυνον κακῶν οἰκείων ὑπόμνημα κρείττονι.

ΙΑ. Ὅτι τὸ μνησίκακον, τουτέστιν ἡ μνησικακία, ὑπόμνησις τῷ θεῷ γίνεται τῶν ἡμετέρων κακῶν. παιδευόμεθα δὲ διὰ τούτου μὴ μνησικακεῖν, ἵνα καὶ τῶν ἡμετέρων κακῶν ἀμνημονῇ τὸ θεῖον.

ΙΒ. Ὁ θεῖος πειρασμὸς καὶ δοκίμιον καὶ ἄνεσις αἰσχρῶν προϋπαρξάντων καὶ νῦν καὶ μελλόντων ἀσφάλεια.

ΙΒ. Ὅτι οἱ πειρασμοὶ παρὰ τοῦ θεοῦ ἐπάγονται κατὰ τέσσαρας τρόπους, ἢ διὰ δοκιμὴν καὶ ἀνάλαμψιν τῆς ἀρετῆς, ὡς ἐπὶ τοῦ Ἰώβ, ἢ πταισμάτων ἕνεκεν προϋπηργμένων ἢ καὶ νῦν ἐνεργουμένων εἰς θεραπείαν καὶ ἀπολύτρωσιν, ἢ διὰ μελλόντων προφυλακὴν καὶ ἀσφάλειαν.

ΙΓ. Πολύτροπος τῶν δακρύων ἡ βλύσις, εὐφρόσυνος, ἔρωτος θείου, φό-



βου γεέννης, ἔρωτος ἐμπαθοῦς, δειλίας ἀγῶνος, ἀνελπιστίας, οἰκονομίας, λύπης, ἐλπιζομένου βραδυτῆτος. ἐντεῦθεν ἡ διάκρισις εὐπορείτω.

ΙΓ. Ὅτι τῶν δακρύων ἡ βλύσις κατὰ τρόπους θ' πρόσεισιν. ἐξ ἀγαλλιάσεως· καὶ γὰρ ἐνίοτε ψυχὴ εὐφραινομένη ἐκένωσε δάκρυον. ἐκ φόβου γεέννης· καὶ γὰρ δακρυτικὸν καὶ τῶν φοβερῶν ἡ ἀνάμνησις. ἐξ ἔρωτος ἐμπαθοῦς· καὶ οὗτος γὰρ ἣν ἂν ψυχὴν περίσχῃ, ταύτης ἀπέθλιψε δάκρυον. δειλίας ἀγῶνος· καὶ γὰρ τῷ τῶν ἀγώνων μεγέθει, τῆς ψυχῆς τὸ ὀλίγωρον, καταπίπτει καὶ δάκρυον. ἐξ ἀνελπιστίας· καὶ ἀπόγνωσις γὰρ εἶδεν σταγόνας βλύζειν δακρύων· πῶς γὰρ ἀποροῦσα ψυχὴ τῆς τῶν χρηστοτέρων ἀπολαύσεως καὶ ἀναμφιβόλως ὁρῶσα τὸν ἑαυτῆς κίνδυνον οὐ πρὸς δάκρυα κατενεχθήσεται; ἐξ οἰκονομίας· οἰκονομίαν δὲ φαμέν, ἐπειδὰν ψυχὴ ὀδύναις καταβεβαρημένη καὶ τῷ ἐκεῖθεν ἄχθει ὅλη συνεχομένη διὰ τῆς τῶν δακρύων κενώσεως ὥσπερ εἰς ἀνάπαυσίν τινα καταστᾶσα τοῦ συνέχοντος ἄλγους κουφίζεται. οὕτω μὲν οὖν, ὡς εἴρηται, ὁ τῶν δακρύων ἕβδομος τρόπος. ὄγδοος δὲ ὁ κενῶν ἐκ λύπης τὸ δάκρυον· δακρυώδης γὰρ καὶ ἡ λύπη. ἔννατος δὲ καὶ τελευταῖος ὁ ἐκ βραδυτῆτος τῶν ἐλπιζομένων. δεῖ οὖν τὸν καθηγεμόνα μὴ τοῖς δάκρυσιν ἁπλῶς προσέχειν, ἀλλὰ κατὰ τοὺς εἰρημένους ἐξερευνῶντα τρόπους καταμανθάνειν τὸ τοῦ δακρύοντος τῆς καρδίας κίνημα.

ΙΔ. Ἐν ἐντεύξει τοῦ νοεροῦ εὐστάθεια πρὸς θεὸν ἐμφάνεια, τὸ δὲ ῥεμβῶδες οὐδ' αὐτῷ σύνεστι.

ΙΔ. Ὅτι τὸ σταθηρὸν τοῦ νοῦ ἐν ταῖς προσευχαῖς οἶδεν πρὸς θεοῦ φαντασίαν αἴρειν τὴν διάνοιαν· νοῦς δὲ ῥεμβόμενος οὐδὲ ἑαυτῷ συμπάρεστι.

ΙΕ. Ὑπ' ἔρωτος θείου ζέοντος τὸ νοερὸν ἀπαιωρηθὲν ἑαυτοῦ διέστησεν.

ΙΕ. Ὅτι νοῦς ὑπὸ θερμότητος ἀναφθεὶς τῆς πρὸς θεὸν ἀγάπης ὑπομένει τὴν ἐπαινετὴν ἔκστασιν.

ΙΕ. Τὸ σκαιὸν καὶ ἐπίβουλον ἐνίοτε τὴν πρὸς τὸ κρεῖττον κατεντυχίαν τῆς ἐκτὸς πλάνης τὸ ἄρχον ἀφήρπασεν.

ΙϚ. Ὅτι ὁ ἐπίβουλος δαίμων πολλάκις ἐν ταῖς πρὸς θεὸν ὁμιλίαις ἀπησχολημένον τὸν νοῦν εὑρὼν διὰ τῆς ἔξωθεν πλάνης, ἤτοι τῶν ὑλικῶν καὶ ὁρωμένων, τοῦτον, τὸν ἡγεμόνα νοῦν, τῆς πρὸς θεὸν ὁμιλίας ἐσύλησεν.

ΙΖ. Οἶδα καὶ γέλωτα τῇ τοιαύτῃ συνελθεῖν (ὢ λόγων σκολιῶν) ἐντυχίᾳ· τοῦτο δὲ πάθος ἀπροσεξίας.

ΙΖ. Ὢ τῆς τοῦ πονηροῦ ἐνέδρας· ἐνίοτε γὰρ ἐν ταῖς πρὸς θεὸν ὁμιλίαις καὶ γέλωτα ὑπεκίνησεν. τοῦτο δὲ πάσχομεν, ἐπειδὰν εὐχόμενοι μὴ προσοχῇ τὴν εὐχὴν ποιῶμεν.

ΙΗ. Χειρῶν μονιμότης ἐκτάσει τὸν οἶκτον ὀξέως εἱλκύσατο.

ΙΗ. Ὅτι ἡ ἐπίπονος καὶ μόνιμος τῶν χειρῶν ἐν ταῖς εὐχαῖς ἔκτασις ταχέως τὸν θεῖον ἔλεον ἐπεσπάσατο.

ΙΘ. Ἡ διαρκὴς τῆς παλάμης ἀπαιώρησις κλῖμαξ τῷ πνεύματι πρὸς οὐρανῶν ἀνάβασιν.

ΙΘ. Ὅτι ἡ τῶν χειρῶν διαρκὴς ἀνύψωσις οἷον κλῖμαξ πρὸς ἀνάβασιν οὐρανῶν τῇ ψυχῇ γίνεται.

Κ. Ἡ καρτερὰ τῆς ὠλένης ἀνάτασις στῦλος πρὸς θεὸν ἀφικνούμενος.

Κ. Ὅτι ἡ σύντονος τῶν χειρῶν ἔκτασις ὥσπερ τις πρὸς οὐρανὸν ἀνιὼν στῦλος δείκνυται.

ΚΑ. Ἔντευξις ἐνδελεχὴς καὶ συνεσταλμένη τῆς ἐπὶ πολὺ διηκούσης ἀμείνων· τὸ γὰρ ταύτης ἀνένδοτον αὐτῇ μὲν ἀπροσεξίᾳ καὶ ἕξεως νωθείᾳ, τὸ δὲ κατὰ βραχὺ καὶ φύσεως καὶ νοὸς εὔτονον καὶ ἀρέμβαστον.

ΚΑ. Ὅτι τῆς ἐν πολλαῖς ὥραις διαπεραινομένης προσευχῆς κρεῖττον ἡ ἐν ὀλίγαις καὶ πυκνῶς τελουμένη· τὸ γὰρ ταύτης, ἤτοι τῆς ἐπὶ πολὺ διηκούσης, ἀνένδοτον αὐτῷ μὲν τῷ ταύτην μετερχομένῳ καταφρόνησιν ἐμποιεῖ καὶ νωθρότητα, ἡ δ' ἄλλη, κατ' ὀλίγον τοῦ ἀνθρώπου ἀναπαυομένου καὶ πάλιν ἀρχομένου, εὐτονίαν τῷ σώματι καὶ τῷ λογισμῷ ῥώμην μετὰ τοῦ καλῶς προσέχειν χαρίζεται.

ΚΒ. Ἡ νοερὰ καὶ ἐγκάρδιος εὐχὴ τῆς διωργανωμένης βελτίων· γλώσσης γὰρ κίνησις ἀκινησίᾳ πνεύματος, ἡ δ' ἡσυχία εὐτονία, πρὸς ἣν μᾶλλον καὶ τὸ κρεῖττον ἐφορᾷ.

ΚΒ. Ἡ ἐν τῷ τῆς καρδίας θαλάμῳ γινομένη δέησις καθ' ὃ καὶ Μωσεῖ οὐ χείλεσιν ἀλλ' ἔνδοθεν ἱκετεύοντι λέγεται, "Τί βοᾷς πρός με"; αὕτη τῆς διωργανωμένης, τουτέστι διὰ γλώσσης ἀποτελουμένης, κρεῖττον ὑπάρχει· ἡ γὰρ τῆς γλώσσης κίνησις ἀφαιρεῖται τὴν τῆς ψυχῆς κίνησιν καὶ προθυμίαν. ἡ δὲ ταύτης ἡσυχία τὴν ἰσχὺν ἐν τῇ ψυχῇ ἐδιπλασίασε καὶ ἀπέθετο, δι' ἣν μᾶλλον καὶ τὸ κρεῖττον, τουτέστι τὸ θεῖον, τὸν ταύτην μετερχόμενον ἐπιβλέπει τε καὶ εἰσακούει.

19 διαπεραινουμένης P   30 Μωσεῖ] cf. Exod. xiv, 15



ΚΓ. Ἡ νοερὰ πρὸς τὸ κρεῖττον ἐντυχία δυσκατόρθωτος· τοῦτο δ' εὐμάρισε τὸ κρείττονος ἐνδελεχὲς μνημόσυνον.

ΚΓ. Ἡ τῷ νῷ μόνῳ τελουμένη πρὸς θεὸν ἱκεσία δυσχερὴς καὶ κατορθώσεως παρὰ μικρὸν ὑψηλοτέρα· ταύτην δὲ εὐκόλως μεταχειρήσεται ὁ περὶ θεοῦ μνήμην ἐνδελεχῶς καὶ ἀδιαλείπτως ποιούμενος· μνημονεύειν γὰρ θεοῦ μᾶλλον ἢ ἀναπνεῖν ἐπάξιον.

ΚΔ. Ὄψις ἐπιλειβομένη τοῖς δάκρυσι ψυχῆς λουτήριον, ἔρωτος θείου ὑπάλειψις.

ΚΔ. Ὅτι πρόσωπον πλυνόμενον καὶ καταρραινόμενον δάκρυσι πλυτήριον ψυχῆς γίνεται καὶ προτροπὴ πρὸς θείαν ἀγάπησιν.

ΚΕ. Ὑλικοῦ λύχνου βλύσις παθῶν σβέσις ἐγκαύσεως.

ΚΕ. Ὅτι ἐξ ὀφθαλμῶν βλύζον δάκρυον τῶν παθῶν ἀποσβεννύει τὴν ἔκκαυσιν.

Κϛ. Ἐσχάτῳ ἀγωνίσματι βραχεῖα ᾠκονόμηται ἔλλειψις, ὅπως μὴ πᾶν ἐλλείποι καὶ τὸ θνητὸν σῴζοιτο.

Κϛ. Ὅτι ἐν τοῖς ἄκροις ἀγῶσιν ἐνίοτε οἰκονομεῖται μικρά τις ἐλάττωσις, ἵνα διὰ τοῦ μικροῦ ἐλαττώματος ἡ τῶν κατορθωμάτων ὁλότης διασῴζηται καὶ τῆς φύσεως ἡ ἀσθένεια γνωρίζηται.

ΚΖ. Τῷ καθεστηκότι νύξις ὑλώδης ἐνίοτε πραγματεύεται εἰς μαστιγμὸν τοῦ φυσήματος.

ΚΖ. Ὅτι καὶ τοὺς τελείους ἐπ' ἀρετῇ σαρκὸς ἐνίοτε πάθος διενοχλεῖ, ἢ καὶ νόσος τὸ σαρκίον τρύχουσα, εἰς καθαίρεσιν τῆς ἐπάρσεως.

ΚΗ. Ἐναργεῖ μνήμῃ τῆς μελλούσης ὀργῆς ἐνεστῶσα σαρκίου ἐλήσθη πύρωσις.

ΚΗ. Ὅτι τῆς μελλούσης ὀργῆς ἡ ὄντως καὶ ἀληθῶς μνήμη τῆς τοῦ σαρκίου πυρώσεως ἐπιλήσμονα δείκνυσι τὸν ἄνθρωπον.

ΚΘ. Ἀγαλματοφορία τῆς μενούσης ἀΰλου πικρᾶς κολάσεως τὴν παροῦσαν ὑλώδη ἀκόλαστον ἡδονὴν ἀπεπτύσατο.

ΚΘ. Ὅτι τῆς ἀΰλου καὶ πικρᾶς καὶ διαμενούσης κολάσεως ἡ ἀνατύπωσις καὶ οἷον εἰκονισμὸς καὶ φαντασία τὴν διοχλοῦσαν ἡδονὴν τὴν ψυχὴν ἀπεσόβησε.

33 οἰκονισμὸς P

Λ. Ὁ φθόνος θεῖον παρεικόνισμα· ἀρχέτυπος γὰρ ὕβρις καὶ πρώτης πονηρεύσεως σύζυγος.

Λ. Τὸν ἄνθρωπον κατ' εἰκόνα τὴν ἑαυτοῦ τὸ θεῖον ἐδημιούργησεν· ὁ δὲ τὸν φθόνον ἐν ἑαυτῷ κεκτημένος τὸ κατ' εἰκόνα διαφθείρων παρεικόνισμα λέγεται, μὴ ὢν κατὰ τὴν εἰκόνα τοῦ πλάσαντος. ἀλλὰ καὶ ἀρχέτυπος ὕβρις ὁ φθόνος ἐστίν· τῷ γὰρ Ἀδὰμ ἐκ φθόνου ἡ ἐπιβουλὴ καὶ ἡ κατάπτωσις γέγονεν. καὶ αὐτῇ δὲ τῇ πονηρίᾳ, τουτέστι τῷ δαίμονι, τοῦτο πρῶτον ἐπενοήθη, δι' οὗ κατὰ θεοῦ καὶ ὕστερον κατὰ τοῦ ἀνθρώπου ἐπεμάνη.

ΛΑ. Ἡ τοῦ ὁμοιοπαθοῦς κρίσις ἀδαμιαῖος ὄλισθος.

ΛΑ. Ὅτι ὁ κατακρίνων τὸν ὁμοιοπαθῆ αὐτοῦ ἀδελφὸν πρὸς τὴν τοῦ Ἀδὰμ καταπίπτει κατάκρισιν· ἐκεῖνος γὰρ δι' ἐπιθυμίαν θεώσεως κατακέκριται καὶ οὗτος ἐν τῷ κρίνειν τὸν ἀδελφὸν ἔοικε τὸ θεῖον ἁρπάζειν ἀξίωμα· μόνῳ γὰρ θεῷ ἡ κρίσις ἀφώρισται καὶ διὰ τοῦτο πρὸς τὴν ὁμοίαν τοῦ Ἀδὰμ ὑπάγεται κατάκρισιν.

ΛΒ. Τὸ πρὸς τὸν ὁμόχουν μῖσος ἀδιάλλακτος τοῦ κρείττονος ἀπέχθεια.

ΛΒ. Ὅτι ὁ τὸν ἐκ τοῦ αὐτοῦ χοὸς γεγονότα ἄνθρωπον μισῶν καὶ ἀποστρεφόμενος οὐδέποτε ὑπὸ τοῦ θεοῦ ἀγαπηθήσεται.

ΛΓ. Ἡ μικρὰ συγγνώμη δαψιλεστέρας ἠξίωται.

ΛΓ. Μικρὰν συγγνώμην τὴν ἐξ ἀνθρώπου πρὸς ἄνθρωπον λέγει, συγκρίνων αὐτὴν πρὸς τὴν θείαν. φησὶν οὖν, ὅτι ὁ συγχωρῶν τὸν ἀδελφὸν ὑπὸ τοῦ θεοῦ συγκεχώρηται.

ΛΔ. Τὸ πρὸς τὸν πλησίον συμπαθὲς ὅλον πρὸς αὑτὸ τὸν θεῖον οἶκτον ἐσπάσατο.

ΛΔ. Ὅτι ὁ τὸν πλησίον ἄνθρωπον οἰκτείρων καὶ ἐλεῶν, οὗτος τὸν ἐκ τοῦ θεοῦ ἔλεον κατακόρως ἐπλούτησεν.

ΛΕ. Ὁ πρὸς τοῦ συμφυράματος ἔλεος ἄθηρον τῶν μελλόντων νυγμάτων καθίστησι.

ΛΕ. Ἡ παρὰ ἀνθρώπου γινομένη πρὸς τὸν ἐκ τοῦ αὐτοῦ φυράματος ἀδελφὸν ἐλεημοσύνη ἄτρωτον φυλάττει τὸν ἄνθρωπον ἐκ τῶν ἀποκειμένων αὐτῷ τῆς κολάσεως βασάνων.

Λϛ. Ὁ τοῦ συμπλάσματος ἔλεος κατεπαίρεται τοῦ θείου ζυγοστατήματος.

Λϛ. Γέγραπται γάρ, ὅτι "κατακαυχᾶται ἔλεον κρίσεως". οὐδὲν

35 Iac. II, 13



γὰρ οὕτως, ὡς τῇ φιλανθρωπίᾳ καὶ ἐλεημοσύνῃ ὁ φιλάνθρωπος καὶ ἐλεήμων θεὸς θεραπεύεται.

ΛΖ. Ἀγάπη τὸ πᾶν, ὃ τὸ θεῖον ἠσπάσατο.

ΛΖ. Ἡ σύνταξις οὕτως· πᾶν ὃ ὁ θεὸς ἀγαπᾷ, ἡ ἀγάπη ἐστί.

ΛΗ. Συμβολικὸν τὸ τοῦ μοναχοῦ στόλισμα· θεῖος γὰρ ὁπλίτης καὶ τοῦ κοσμικοῦ καταγωνιστὴς κρατύσματος.

ΛΗ. Τὸ μοναχικὸν σχῆμα σύμβολόν ἐστι τῆς νοητῆς τοῦ περιβεβλημένου αὐτὸ καταστάσεως· ὁ γὰρ μοναχὸς στρατιώτης ἐστὶ θεῖος καὶ τῶν κοσμικῶν δυνάμεων, εἴτε τῶν σαρκικῶν τις ἐθέλοι φάναι παθῶν εἴτε τῶν τῆς πονηρίας, καταγωνιστὴς καὶ τροπαιοφόρος.

ΛΘ. Ὁ κατὰ σάρκα καὶ ὑπερκείμενος χιτὼν πρὸς τὸ τῆς φύσεως ἀναγκαῖον διώρισται.

ΛΘ. Ὅτι πρὸς τὴν ἀναγκαίαν χρείαν τῆς φύσεως τὸ τοῦ μονάζοντος ἔνδυμα ὥρισται τῷ τε ὑποκαμίσῳ καὶ τῷ ἔξωθεν ἱματίῳ.

Μ. Τὸ περιστέρνιον ἀκάκου θώραξ βιώσεως, ὑφ' οὗ τὰ τῆς ἁμαρτίας βέλη ἐναπαμβλύνεται, καὶ τοῦ τῆς ἡμῶν πίστεως σωτηρίου περικεφαλαία τῆς κακοδοξίας ἀντίπαλος.

Μ. Ὅτι τὸ κουκούλλιον τῆς ἀκάκου πολιτείας οἱονεὶ θώραξ ἐστίν· διὰ τούτου γὰρ τὰ βέλη ἀποστομοῦται τῆς ἁμαρτίας. καὶ τῆς ὀρθῆς πίστεως δὲ καθέστηκε φυλακτήριον καὶ τῆς κακοπιστίας ἀντίμαχον· κεφαλὴ γὰρ ἁπάντων κατορθωμάτων ἡ εὐσεβὴς ὁμολογία, ἧς τὴν συντήρησιν καὶ ἀσφάλειαν ὁ μοναχὸς ἐκπαιδεύεται διὰ τῆς περιθέσεως τοῦ κουκουλλίου, μετὰ τὸ τὴν ἀκακίαν μάλιστα περὶ πολλοῦ ποιεῖσθαι.

ΜΑ. Λυχένιος ἱμὰς ἡ τῆς κατὰ Χριστὸν ὑπακοῆς μάχαιρα, δι' ἧς τὰ τῆς σαρκὸς ἀκάθεκτα πάθη ἐναποσφάττεται.

ΜΑ. Ὁ ἀνάλαβος τὴν κατὰ Χριστὸν ὑπακοὴν εἰκονίζει, δι' ἧς ὁ τοῦ πνεύματος ἀγωνιστὴς ὥσπερ διὰ μαχαίρας τὰ σαρκικὰ σφάζει πάθη· οὐδὲν γὰρ οὕτως ἀναιρετικόν ἐστι παθῶν, ὡς ὑπακοὴ καὶ τοῦ ἰδίου θελήματος ἄρνησις.

ΜΒ. Περιγάστριος δέρρις μίτρα τῆς ἐγκρατείας, ἐξ ἧς ἡ ἐμπαθὴς ὄρεξις ἴσχεται καὶ τὸ γενναῖον τῷ ἀγωνιστῇ περιγίνεται.

ΜΒ. Ὁ λῶρος τυποῖ τὴν ἐκ τῆς ἐγκρατείας κατὰ τῶν ὑπο-

15 ὑποκαμίσων P   21 ἀποστομοῦται e ras. v. ἀποστομοῦνται

γαστρίων παθῶν ἀσφάλειαν. παρείληπται δὲ καὶ τοῦτο ἐξ ὁπλισμοῦ στρατιωτικοῦ πρὸς φυλακὴν τῆς γαστρὸς εὑρεθέντος τοῖς στρατιώταις, ὅπερ μίτρα καλεῖται. περιτίθεται οὖν ὁ λῶρος κατὰ γαστέρα τοῖς στρατιώταις τοῦ πνεύματος, οἱά τις μίτρα τὰς ἐμπαθεῖς ὀρέξεις ἀποκωλύων καὶ τοῦ ἀγωνιστοῦ τὸ γενναῖον ἀπαθὲς συντηρῶν.

ΜΓ. Ἐπώμιος πέπλος ἡ τῆς ἀγάπης ἀσπίς, ἣ συνεκτικὴ τῶν χρηστῶν οὖσα τὸ πᾶν τῆς πονηρίας καταστρατεύεται.

ΜΓ. Ὅτι τὸ μαντίον εἰκών ἐστι τῆς σωτηρίου τῆς ἀγάπης ἀσπίδος· ὡς γὰρ ἡ ἀσπὶς φρουρεῖ δι' ὅλου τὸ σῶμα, οὕτω καὶ ἡ ἀγάπη συνεκτὴ τῆς ὁλότητος οὖσα τῶν ἀρετῶν κατὰ πάσης πονηρᾶς ἐνεργείας κατισχύει.

ΜΔ. Αἱ κρηπῖδες ταπεινώσεως βάσις, ἣν ἐνδησάμενοι τὸ τῆς ζωῆς ἴχνος ἀπροσκόπως τῇ τῶν πειρατηρίων ἀκάνθῃ προσβαίνομεν.

ΜΔ. Ὅτι τὰ σανδάλια τὴν βάσιν ἐκπαιδεύει τῆς ταπεινώσεως, ἐν ᾗ τοὺς ψυχικοὺς ὥσπερ καθυποβάλλοντες πόδας, τὰς ἀκάνθας τῶν παθῶν καὶ τὴν ἄλλην τῶν πειρασμῶν καὶ τῶν σωματικῶν κακώσεων τραχύτητα, τῆς ἀρετῆς οἱ ἀγωνισταὶ διαβαίνοντες οὐ προσκόπτουσιν.

ΜΕ. Ἡ πρὸς τὰ βελτίω τῶν χειρόνων ὁλότητι μετένεξις ἐπαρκείσθω τοῖς οἰκείοις ὁ(ρ)μήμασι, τὸ δ' ἅπαν ἐπίκουρον παραιτητέον.

ΜΕ. Φησὶ τὴν ἐκ τῶν χειρόνων πρὸς τὰ βελτίω μετένεξιν, ἤτοι τὴν ἐξ ἁμαρτίας πρὸς ἀρετὴν μεταβολήν, μετὰ τελείας ὁρμῆς γινομένην ἐᾶν ἀρκεῖσθαι τῇ ἑαυτῆς ὁρμῇ· αὕτη γὰρ καθ' ἑαυτὴν ἐξαρκεῖ καὶ οὐδὲ μιᾶς δεῖται προτροπῆς πρὸς ἀρετὴν καὶ παραινέσεως, ὥστε μηδὲν τῷ τοιούτῳ διὰ τοῦ βούλεσθαι βοηθεῖν τέως παρενοχλεῖν.

Μς. Πολυμερὴς ἡ τῆς σωτηρίας ὅδευσις. διὰ τοῦτο ἐφ' ἣν ἂν ὁρφῇ τὸ κατανενυγμένον, πρὸς τοῦτο καὶ ποδηγεῖν.

Μς. Ὅτι τῆς σωτηρίας ἡ ὁδὸς πολύτροπός ἐστιν. διὰ τοῦτο χρὴ τὸν ὁδηγόν, σκοποῦντα τὴν τοῦ κατανυγέντος καρδίαν, ἐκεῖ μᾶλλον ὁδηγεῖν, ὅπου τὴν ῥοπὴν αὐτοῦ καθορᾷ μᾶλλον κινουμένην πρὸς τὸ ὠφελιμώτερον· οἱ μὲν γὰρ ἐπιτηδείως ἔχουσι κινεῖσθαι πρὸς δάκρυον, ἕτεροι πρὸς ὑπουργίαν καὶ διακονίαν καὶ ἐγκράτειαν ἕτεροι καὶ ἄλλοι ἄλλως.



ΜΖ. Τὸ τῆς ὑπακοῆς ἀπείραστον ἄγευστον εἴη τῆς πρὸς τὰ κρείττω ὑπαλείψεως· εἰ δέ γε σφαδᾷ, χρῆσον.

ΜΖ. Τὸν μήπω πρὸς ὑπακοὴν καταστάντα οὐ δεῖ πρὸς ἀρετὴν διὰ τῆς διδασκαλίας ἄγειν πειρᾶσθαι· πῶς γὰρ ὁ μὴ πρὸς ὑπακοὴν ἐπιδοὺς ἑαυτὸν τῷ διδάσκοντι ἐκ τῆς διδασκαλίας τι κερδανεῖ; ἐὰν δὲ πρὸς ὑπακοὴν μὲν οὔπω κατέστη, δείκνυσι δὲ τέως προαίρεσιν ὑπακούειν, πειρατέον διδάσκειν.

ΜΗ. Τὸ εὐσπούδαστον οὐχ ὑποτοπάζειν τῷ τῶν ἀγώνων πλήθει, τῷ δὲ μεθ' ὑπομονῆς ταπεινῷ καὶ ἀόκνῳ.

ΜΗ. Ὅτι τοὺς κατὰ θεὸν ἀγωνιζομένους οὐ δεῖ ἐκ τοῦ πλήθους τῶν ἀγώνων τούτους τεκμαίρεσθαι ἀγαθούς, ἀλλὰ τοὺς ἐν ὑπομονῇ καὶ ταπεινοφροσύνῃ τοὺς ἀγῶνας διεκπερῶντας.

ΜΘ. Ἐν μειδιῶσι καὶ σκυθρωπάζουσιν ἡ πρὸς τὸ κρεῖττον εὔθετος ὁμιλία· τὸ μὲν γὰρ ἠλάττωσεν ἢ διεσκέδασεν, τοῦ δ' ἀπεῖρξε τὴν μείωσιν.

ΜΘ. Ὅτι καὶ ἐν πειρασμοῖς καὶ ἐν ταῖς ἀνέσεσιν ἡ πρὸς θεὸν εὐχὴ ὠφέλιμος· τὰ μὲν γὰρ λυπηρὰ ἐλαττοῖ ἢ τελείως ἀποπαύει, τὰ δὲ χαρμόσυνα συντηρεῖ.

Ν. Κρῖμα θεοῦ τιμώμενον ἔστω σοι καὶ συζήτησις εὐλαβείσθω· εἰ γὰρ ἐφ' οἷς ἄγνοια τῶν σοὶ τελουμένων ἔσχατον τὴν γέννησιν, πῶς ἀποδύεσθαι πρόθυμος πρὸς τό γε βάθος ἀδηλίας;

Ν. Ὅτι τὰ κρίματα τοῦ θεοῦ μὴ ἐπιζήτει, ἀλλὰ μᾶλλλον μετ' εὐλαβείας τίμα· εἰ γὰρ πολλάκις ἔστιν ἡμῖν ἄγνοια ἐν τοῖς ἐφ' ἡμῖν τελουμένοις, εἴτ' ἀγαθοῖς εἴτε πονηροῖς, καὶ οὐκ ἴσμεν, πόθεν προκόπτει τῶν διαπεπραγμένων ἡμῖν ἡ αἰτία, πῶς προθυμηθῶμεν πρὸς τοιοῦτον βάθος ἀδηλίας οἱονεὶ τῶν βαθέων τοῦ θεοῦ κριμάτων εἰσδῦναι καὶ καταλήψασθαι;

ΝΑ. Τὸ ἐρᾶν ἐπιλήψεσθαι κρίματα θεοῦ γνώμης ἀγερώχου καὶ νοσούσης ἄγνοιαν· τὸ δ' ἑνὸς λιχνεύεσθαι, τοῦτο σπουδαίας καὶ ὁσίας διαθέσεως· τὸ γὰρ ἰχνηλάσιον τῆς ἐπ' ἀγαθῷ τοῦ κρείττονος δημιουργίας τοῦτ' ἀκριβῶς ἑλεῖν γνώμη σπουδάζουσα καὶ πράττουσα, ἐπαινετὴ καὶ τῆς συζητήσεως καὶ τῆς ἐφάψεως.

ΝΑ. Ὅτι ὃς ἐπιθυμητικῶς ἔχει περὶ πάντων τῶν τοῦ θεοῦ κριμάτων γνῶσιν λαβεῖν, ἐξ ὑπερηφάνου καὶ ἀνοηταινούσης διανοίας τοῦτο τετόλμηκε. τὸ μέντοι ἑνὸς ἐφίεσθαι καταλήψεσθαι ἐναρέτου καὶ συνετῆς διανοίας γνώρισμα· ἀκριβῶς γὰρ ἐξιχνιάζουσα τοῦτο καρδία, ὅτι τὸν ἄνθρωπον ὁ θεὸς ἐπ' ἀγαθῷ βιοῦν συνεστήσατο, ὡς ἐκ τούτου τοῦ διανοήματος βελτιουμένη ἐπαί-

νων ἀξία τῆς πολυπραγμοσύνης ταύτης καὶ τῆς ἐπιχειρήσεως ἕνεκεν.

NB. Ἐξ ἐράνου χρονίου τὴν πεῖραν ἡγεμονία σχοῦσα τῆς μονήρους ῥυθμίσεως, κἂν ἐλάττω τοῖς ἀσκητικοῖς ἀγῶσι, προτιμοτέρα τῆς διὰ βραχείας ὥρας βελτίονα διεξανυούσης ἄσκησιν.

NB. Ὁ συλλεξάμενος ἐκ μακροῦ τοῦ χρόνου τὴν πεῖραν τῆς μοναδικῆς καταστάσεως, κἂν ἐνδεῖ τῶν μεγάλων τῆς ἀσκήσεως ἀγωνισμάτων, τουτέστι χαμευνίας καὶ τῆς ἄλλης σκληραγωγίας, τούτῳ μᾶλλον προτιμητέον τὸ τῶν ἀδελφῶν ἄρχειν, ἢ τῷ ἄρτι τῇ μονῇ προσελθόντι καὶ μεγάλους μὲν ἀγῶνας ἀνύοντι, τῆς δὲ τοιαύτης ἀμυήτῳ πείρας ὑπάρχοντι.

NΓ. Τὸ τῆς ἐπιστασίας ὕψος οὐκ ἐν ἀγώνων μεγέθει καὶ χρονίῳ πείρᾳ, τῷ δὲ μετρίῳ τῆς ἕξεως.

NΓ. Ὅτι πρὸς τὴν πνευματικὴν ταύτην ἡγεμονίαν ἐκεῖνος ἐπιτήδειος καὶ ἀξιώτερος καταστῆναι, ὃς ἐν τῷ ὕψει διαπρέπει τῆς ταπεινώσεως καὶ μέτριον κέκτηται φρόνημα, κἂν οὕτω συμβῇ τυχόν, καὶ μήτε πρὸς μεγίστους ἀγῶνας ἑαυτὸν ἐπέδωκε, μήτε πολυχρονίῳ τριβῇ πεῖραν ἱκανὴν συνελέξατο· μετὰ γὰρ ταπεινώσεως θεὸν ἔχων ὁδηγὸν δεξιώτερον κυβερνήσει, τοῦ θεοῦ προσαναπληροῦντος διὰ τὴν ταπείνωσιν ὅπερ ἐλλείπειν δοκεῖ· χωρὶς δὲ ταπεινότητος καὶ ἀγώνων μέγεθος καὶ πείρας ἱκανότης οὐκ οἶδα εἰ μὴ ἐπισφαλῆ ὀφθῇ πρὸς κυβέρνησιν.

NΔ. Ἐν ἐπιστασίᾳ τὸ μέτριον τοῦ πεῖραν τῆς γηραιᾶς ἀπειληφότος ὥρας καὶ γενναίους διεξανύοντος πόνους προκεκριμένον· εἰ καὶ πολλάκις τῆς ἄλλης κοινῆς ἀποδέοι διευθετήσεως, ἔστω πρὸς τοῦτο τὸ ὑπ' αὐτὸν ἱκανὸν καὶ ἀγχίστροφον.

NΔ. Ὅτι πρὸς ἐπιστασίαν μοναχῶν ὁ μέτριον καὶ ταπεινὸν ἔχων φρόνημα προτιμότερος ὑπάρχων τοῦ ἐκ μακροῦ χρόνου τὴν πεῖραν συλλεξαμένου καὶ τοῦ ἄλλου τοῦ ἐπηρμένους καὶ ὑψηλοὺς ἀγῶνας κεκτημένου· εἰ καὶ πολλάκις ἀφελής ἐστι πρὸς τὰ τοῦ μοναστηρίου ἔργα καὶ διατάγματα, δεῖ εἶναι τὸν μετ' αὐτόν, ὃν οἰκονόμον φαμέν, πρὸς ταῦτα εὐμήχανόν τε καὶ ἐμπειρότατον.

NE. Ὡς ἀρίστη τῆς ἐπιστασίας ἡ ὄρεξις, ὡς δὲ χαλεπὴ τῶν ὑπὲρ ὧν αὕτη δίδωσιν εὐθύνας ἀπότισις. δεῖ οὖν ἄμφω σταθμώμενον εὐλαβῶς ἐπειλῆφθαι τῆς ἄρξεως.

10 προελθόντι P



NE. Καὶ γὰρ καὶ ὁ Παῦλος ἔφη· "εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ". ἀλλ' ἴστω ὁ ἐπισκοπῆσαι μέλλων, ὡς τῶν ὑπὸ χεῖρα ἁμαρτανόντων αὐτὸς εὐθυνθήσεται. καλὸν οὖν ἐστι ταῦτα τῇ ἐπιθυμίᾳ τοῦ ἄρχειν ἀντεξετάζειν καὶ τότε μετὰ φειδοῦς καὶ εὐλαβείας τῆς ἐπιστασίας ἐφάπτεσθαι.

Nς. Οἷς ἡ γνῶσις ἀκταίνει, τούτοις ὑποκρινέσθω βίος εὐήθης.

Nς. Οἷς ἡ ἐν λόγῳ ἢ κτίσμασι σοφία ὕψωσιν καὶ οἴησιν κατεργάζεται, οὗτοι τὴν διὰ Χριστὸν ἀφροσύνην ἑαυτοῖς περιποιείτωσαν.

NZ. Ἡ τῆς ἀρετῆς δόξα, εἴτ' ἐκ τοῦ πράκτορος εἴτε τῆς ἐκτὸς φήμης ἀπαιωρεῖται, ὑπ' ἐσχατιᾶς τῆς πλαττομένης ἰάσθω παρέσεως.

NZ. Ὅτι ὃς ἐπὶ τοῖς ἰδίοις κατορθώμασιν ἢ οἴκοθεν ἢ ἄλλων ἐπαινούντων κατεπαίρεται, ὑπὸ τῆς ἐλαχίστου καὶ προσποιητῆς παραφρονήσεως τὴν ἴασιν λαμβανέτω.

NH. Ἀρετὴ τὸ ὑποκείμενον ἐν δόξῃ μετριοῦσα ὑπ' ἐλαχίστου παιδικῆς φρενὸς ἐπαιρέσθω.

NH. Ὁ ἐπὶ τῇ τῶν οἰκείων καλῶν ἐργασίᾳ δοξαζόμενος καὶ διὰ τοῦτο ταπεινούμενος, ἐὰν τὸν νηπιώδη καὶ ἄτιμον λογισμὸν προσκτήσηται, τῷ ὄντι ὑψωθήσεται· καὶ γὰρ εἴρηται τοῖς τοιούτοις· "ἐὰν μὴ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τοῦ θεοῦ".

NΘ. Ὁ πλοῦτος τοῦ πνεύματος οὔ τινι πᾶς, ἵν' ᾖ τὸ πρὸς ἀλλήλους μᾶλλον σχετικόν· φιλάνθρωπον γάρ· ἡ γὰρ ἑκατέρου χρεία τὴν ἑαυτῶν ἥδυνεν ἔνδειαν.

NΘ. Τὰ τοῦ θείου πνεύματος χαρίσματα ἅπαντα οὐκ ἂν ὁραθείη τινί, τοῦ αὐτοῦ πνεύματος ἐκ φιλανθρωπίας τοῦτο προδιασκεψαμένου διὰ τὸ μᾶλλον τοὺς ἀνθρώπους τῇ ἀγάπῃ συνδεῖσθαι· τῷ γὰρ κατά τι χάρισμα πλεονάζοντι ὁ ἐν ἄλλῳ πλεονάζων διὰ τὴν τοῦ ἐνδέοντος χρείαν συνομιλῶν, μεταλαμβάνει τε καὶ μεταδίδωσι, κἀκ τούτου τοῖς ἑκατέροις ἡ σωτηρία προσγίνεται.

Ξ. Ἀβούλητος πρᾶξις τὸν πειραστὴν οὐκ ἐνέκλησεν.

Ξ. Ὅτι ὃς ἐκ συναρπαγῆς ἀδιασκέπτως ἡμάρτηκεν, ὡς μὴ προβιβασθεὶς ἢ προανατυπωσάμενός τι τῶν κακῶν, μὴ τὸν πειραστὴν δαίμονα, ἀλλ' ἑαυτὸν ἐπαιτιάσθω.

1 Tim. 1, III, 1   20 Matth. XVIII, 3

ΞΑ. Νεόφυτος δυστερματεῖ δουλογάστριος.

ΞΑ. Ὁ ἐν ἀρχῇ τῆς ἀσκήσεως τῇ γαστρί, ἤτοι τῇ γαστριμαργίᾳ δουλούμενος, εἰς κακὸν καταλήξει τέλος.

ΞΒ. Ἀρετῆς καὶ κακίας ἀκρώρεια ἐν συνειδότι ἄκριτος.

ΞΒ. Καὶ γὰρ ὁ εἰς ἄκρον ἐλθὼν ἀρετῆς καὶ πᾶσαν ἀποσεισάμενος κακίαν καὶ πάντα διὰ Χριστὸν ἐργαζόμενος οὐ κρίνεται τῇ οἰκείᾳ συνειδήσει ὡς ἀθέμιτον διαπραττόμενος, ὡς ὁ Παῦλος ἔλεγεν, ὅτι "οὐδὲν ἐμαυτῷ σύνοιδα". ὁμοίως δὲ καὶ ὁ εἰς ἔσχατον ἐξολισθήσας κακίας οὐ δύναται συνιέναι καὶ διαλογίσασθαι, ὡς κακὰ διαπράττεται, ἀλλ' ὅλως πωρωθεὶς τῇ ἀπογνώσει ἀσυλλογίστως πορεύεται.

ΞΓ. Τριττὴ διάθεσις ὀνειρώξεως, φύσεως ἀτονίας, ἢ ῥωμαλεότητος, ἢ καὶ παθητικῆς εἰδωλοποιίας· ὧν τὸ μὲν ἐνιαῖον καὶ πρῶτον, ἐπεὶ καὶ ἀπροαίρετον, ἄχραντον· τὰ δ' ὅτι καὶ βουλητά, δεῖται καθάρσεως, εἰ καὶ τὸ μὲν μᾶλλον, ὃ καὶ δεήσει πλείονος, ἐπεὶ καὶ λεῖμμα οἶμαι περινοστεῖν· τὸ δ' ἧττον, ὡς ἀγαλματοποιίας ἀλλότριον.

ΞΓ. Ὅτι κατὰ τρεῖς τρόπους ἡ δι' ὀνείρων γίνεται ῥεῦσις· ἢ γὰρ διὰ τὸ λίαν ἐξατονῆσαι τὴν φυσικὴν δύναμιν, ὡς ἐπὶ τοῦ γονορροιοῦς, ὅπερ ἐστὶν ἄμεμπτον καὶ ἀνέγκλητον· ἢ διὰ τὸ δυνατὸν ταύτης καὶ ἔντονον, ἢ διὰ μελέτην ἐμπαθῆ, τῆς διανοίας ἀνατυπούσης τὸ πάθος, ἃ καὶ κατακέκριται προαιρέσεως ὄντα. πλὴν οὐχ ὁμοίως· μολυντικωτέρα γὰρ ἡ ἐξ εἰδωλοποιίας ῥεῦσις τῆς ἐκ δυνάμεως. διὸ καὶ τὸ μὲν κωλυθήσεται τοῦ ἁγιασμοῦ μέχρι τελείας ἐξαλείψεως τῆς ἐμπαθοῦς ἀνατυπώσεως καὶ τῶν τῆς ἡδονῆς φαντασιῶν· ἀνάγκη γὰρ ἔτι λείψανά τινα ἐναποκεῖσθαι τῆς προϋπαρξάσης ἡδονῆς· ὁ δὲ μεθέξει τοῦ ἁγιασμοῦ ἐπὶ δυσὶ τυχὸν ἢ τρισὶν ἡμέραις, ἅτε τῆς τοιαύτης φαντασίας καὶ τῆς ἐμπαθοῦς ἀνατυπώσεως ἐκτὸς καθιστάμενος.

ΞΔ. Ἔστι καὶ τούτων ἑτέρα, ἣ τῆς δαιμονίου σκαιότητος πρόεισι· πειρᾶται γὰρ αἴσχει τοιούτῳ ἀπείργειν μυστηρίων τὸν ἄνθρωπον. τοῦτο μέμψιν οὐκ εἰδὸς κρεῖττον κωλύματος.

ΞΔ. Ὅτι καὶ καθ' ἑτέραν αἰτίαν γίνεται ῥεῦσις· ἐνίοτε γὰρ ὁ πονηρὸς μηχανώμενος χωρίζειν τῶν ἁγιασμάτων τὸν ἄνθρωπον ποιεῖ τὴν τοιαύτην ῥεῦσιν· αὕτη δὲ τοὺς μετὰ συνειδήσεως κα-

8 Cor. 1, IV, 4    19 γονορυοῦς P



θαρᾶς εἰσιόντας τῇ μεταλήψει οὐ κωλύει· καὶ γὰρ ἀνεύθυνός ἐστι καὶ ἀκατάκριτος.

ΞΕ. Νυκτίφοιτον πολύτευκτον εἴδωλον· ἐνίοτε γὰρ ὑπ' ἠοῦς θεαμάτων ἐνωτίσεώς τε καὶ νοὸς ἀσχολίας ἐπιμορφάζεται νύχιον ἴνδαλμα καὶ ὑλικὴ στοιχείωσις τῇ ταύτης πλεονεξίᾳ, ὅτε καὶ λυγαῖον εἰκόνισεν ἄγαλμα.

ΞΕ. Ὅτι τὸ ἐν νυκτὶ φοιτῶν εἴδωλον, τουτέστι τὸ νυκτερινὸν ὅραμα, πολλαχόθεν ἔχει τὴν γέννησιν· ἢ γὰρ ἐκ τῶν ἡμερινῶν θεωρημάτων, ἢ καὶ ἀκουσμάτων, ἢ φροντισμάτων. ἀλλὰ καὶ πολλάκις στοιχεῖον πλεονάσαν ἐν σώματι, εἴτε φλέγμα, εἴτε χολή, ἐποίησέ τινα θεωρίαν κατ' ἀναλογίαν ἑαυτοῦ· οἷον, πλεονεκτούσης χολῆς, εἶδέν τις καθ' ὕπνους οἰκίαν πυρπολουμένην, ἢ καὶ αὐτὸν τὸν ὁρῶντα μέσον πυρὸς ἑστάναι καὶ ὑπ' αὐτοῦ καταγωνίζεσθαι, ἢ καὶ ἀπὸ χυμοῦ ὑλικοῦ δίψει καθ' ὕπνους συνεχόμενον καὶ ὕδατος γλιχόμενον· ἢ καὶ χυμοῦ ὑγροῦ πλεονεκτοῦντος κατὰ τὸ τῆς γαστρὸς στόμα, καὶ διὰ τὸ πλῆθος ὥσπερ τὸ ζῷον κακίζον θεωρεῖ, ὥς τινες κρουνοὶ ἐκ τοῦ στόματος αὐτοῦ καὶ τῆς ῥινὸς ἀποχετεύονται. διὰ τοῦτο παιδευέσθω ὁ ὀνειρώττων καὶ τὰς τῶν ὁρωμένων κρίσεις μετὰ συννοίας ποιείσθω.

Ξς. Ἔστι καὶ τῆς φύσεως τοῦ φωτὸς ἐκπτωθείσης ἐπήλυγον θέατρον, ἧς ἡμῖν μᾶλλον τὸ τοιοῦτον ἐπίδημον· εἰ γὰρ ἔοικεν ἡμῖν ἀπατηλή, τήν τε βίωσιν ἡμῶν καταπαίζειν, τότ' εὔκαιρον αὐτῇ τοῦτο πονεῖν, ὅτε καὶ καιρὸς ὁμοειδὴς αὐτῇ συνεργὸς καὶ τῶν ἡμῶν αἰσθήσεων ἀλλοίωσις.

Ξς. Φύσιν τὴν ἐκπεσοῦσαν τοῦ φωτὸς τοὺς δαίμονας αἰνίττεται, ἢ ὡς τοῦ πρώτου καὶ θείου ἢ τοῦ οἰκείου μεταμειφθέντας εἰς ζόφον. ἔστιν οὖν καὶ παρὰ τούτων ἡμῖν ὀνείρων ἐπιδημία τῶν ἄλλων πλέον· ἐπεὶ γὰρ ἀεὶ ἡμᾶς διαπαίζειν σπουδάζουσι, τότε τοῦτο πράττειν ἐπείγονται, ἡνίκα καὶ ὁ καιρὸς αὐτοῖς ἐπιτήδειος καὶ συνεργὸς καὶ τῶν ἀντιπολεμούντων αὐτοῖς αἰσθήσεων ἐπὶ τὸ ἀνενέργητον καταφορά.

ΞΖ. Ἀγαθὸν καὶ πίστεως ἄξιον ὕπαρ, ὃ τῶν μελλόντων ἐτασμῶν φρικτὴν δίοψιν ἐσχημάτισεν.

ΞΖ. Ἀξιόπιστον καὶ ἀληθῆ ἐκεῖνον μόνον ἡγητέον τὸν ὄνειρον, ὃς περὶ τῶν ἐκεῖ κριτηρίων καὶ ἐξετάσεων ἐπίφοβόν τι θέαμα ἡμῖν παρεδείξατο.

19 ἐπήλυγον=ἐπηλύγαιον; ἐπίλυγον P    28 ἀντιπολεμούντων α. αἰσθήσεων sic P
30 ὕπαρ=ὄναρ; vide p. 246,34; cf. Hesych. s. v. «ὕπαρ· τὸ μεθ' ἡμέραν ὄναρ, ἐν ἡμέρᾳ»

ΞΗ. Οἶδεν καὶ γνῶσιν ἄδηλον ἡ πρὸς τὸ πρῶτον φῶς ἐντυχία διαλευκαίνειν ὕπνου θεάματι. μὴ κατασχέτω πειθώ, ἀλλὰ τῇ ταύτῃ συνέψεται λιτῇ καὶ τριττῇ τοῦ διοπτευθέντος ἐμφάνεια. καὶ μηδ' ἐντεῦθεν ἡ πίστις, ἀλλὰ συμμενέτω λιτή· ἔνθεν γὰρ ἡ σφραγὶς τῶν μυσταγωγουμένων μέχρι συμμύστου καὶ συνθεάμονος.

ΞΗ. Καὶ ἡ πρὸς τὸ θεῖον δέησις τὰ μέλλοντα πολλάκις καθ' ὕπνον προδιεσκέψατο· ἀλλὰ μὴ ἁπλῶς πίστευε, ἀλλ' ἕως καὶ τρίτον ἡ αὐτὴ ὄψις, τῆς δεήσεως ἐμμενούσης, φανήσεται· καὶ μηδ' οὕτως τὸ ἀκριβέστατον ἐκφανθῆναί σοι νόμιζε, ἀλλὰ μέχρι καὶ ἄλλῳ ἀδελφῷ ταὐτά σοι συνευχομένῳ ὁμοίως ἀποκαλυφθήσεται, τότε δὴ σφράγισμα καὶ βεβαίωσιν τῶν ὀπταθέντων ὑπολάμβανε.

ΞΘ. Οἶδα καὶ ζόφον δίκην αὐγάσματος φρυκτωροῦντα. ὁ θεάμων ἔστω σοι προσοχῆς ἐγρηγόρσιον, ἵν' ἐν κρίσει τῆς νοερᾶς λαμπηδόνος τὸ φῶς διόψῃ σκοτόμαιναν.

ΞΘ. Καὶ δαίμονες ἀγγέλων ἐν εἴδεσιν ἐπιφαίνονται· διὸ καὶ τὴν προσοχὴν ἐγρήγορον καὶ νηφάλιον ἔχειν χρή. εἰ γὰρ καθαρεύοις τοῖς λογισμοῖς καὶ κρίνεις καλῶς τῷ νοΐ (τοῦτο γὰρ νοερὰν λαμπηδόνα λέγει), ὄψει τὸ ὀπταθέν σοι τοῦτο φῶς σκότος, τουτέστι δαίμονα, χρηματίζειν.

Ο. Καὶ τοῦτο τῆς καθ' ἡμῶν σκαιᾶς φύσεως τύρευσις. πολλάκις παρέσχετο πίστωσιν τοῖς θεάμασιν, ἵν' ἐν δελεάσματι προφητείας τῷ τῆς ἐπάρσεως αἰθρίῳ μετεωρίσοι καὶ ταῖς κατὰ βραχὺ ψευδαληθέσιν ὄψεσιν ἐμπεδώσῃ τὸν ἡγεμόνα, εἶθ' ἑτέροις ἐξαισίοις μετατάξῃ, ὧν ἡ τοῦ κρείττονος ἀλλοτρίωσις.

Ο. Ἔστι καὶ ἄλλως τῶν ἐχθρῶν ἡμῶν πονηρὰ συσκευή. πολλάκις μέλλοντα γίνεσθαι πράγματα προϋπέδειξαν ἐν ὀνείροις, πεῖσαι σπουδάζοντες τοὺς ὁρῶντας, ὡς ἀληθῆ βλέπουσιν, ἵνα προφητικῶς ἀποφαινόμενοι λάθωσι τῇ ἀπάτῃ ταύτῃ ὑψηλοφρονήσαντες· εἶτα κατὰ μικρὸν τοῖς τοιούτοις ἀπατητικοῖς ὀνείροις αἰχμαλωτίσαντες τὸν λογισμὸν ἐν ἀτόποις σημείοις καὶ τέρασι μεταβιβάζουσιν, ἐξ ὧν καὶ ἡ ἐκ τοῦ θεοῦ ἀλλοτρίωσις τούτοις ἐπέρχεται.

ΟΑ. Ἐγρηγόρσεως καὶ ὕπνου μεταιχμίῳ, ὅτε καὶ ὅρασις ὑπῇ· ἀλλ' ὡς καὶ τοῖς ἄλλοις, οὕτω κἀντεῦθεν ἡ διάκρισις ἔστω.

ΟΑ. Ὕπαρ οἱ σοφῶν ὀνομάζουσι παῖδες, ὃ ἐν ὕπνῳ δοκεῖ βλέπειν ἄνθρωπος ὡς ἐγρηγορὼς ἐναργέστατον ὄνειρον. τοιοῦτον οὖν λέγει, ὅτι ἔστιν μέσον ὕπνου καὶ ἐγρηγόρσεως ὄνειρος· ἡ δὲ τούτου διάκρισις ἔστω καθὼς καὶ ἐπὶ τῶν ἄλλων.



ΟΒ. Καὶ ἀκοὴ τῇ ταύτῃ διαθέσει γνῶσιν ἀπείληφεν· καὶ τοῦτο δεῖται ζυγοστατήσεως.

ΟΒ. Ὅτι κοιμώμενοί τινες ἔδοξαν φωνῆς μόνης βοώντων τινῶν ἀκοῦσαι καὶ ἐννοῆσαι· ἀλλὰ καὶ τοῦτο κατὰ τὰς προειρημένας αἰτίας διάκρινε.

ΟΓ. Ἐκ δυσειδοῦς σάλπιγγος λιγυρὸν μέλος ἐνωτιζόμενος μὴ τὰ τῆς ὕλης ἐξίχνευε· ὁ γὰρ ἔνθεν ἐξετασμὸς τὸ ἡδὺ τῆς κατακηλήσεως ἀπεστέρησεν.

ΟΓ. Ἀλλήγορος ἡ διάνοια· λέγει γάρ, ὅτι ὠφελίμου λόγου προτεθειμένου, μὴ κρῖνε τὸν παρ' οὗ οὗτος προήχθη, ἵνα μὴ τῆς ὠφελείας ἑαυτὸν ἀλλοτριώσῃς.

ΟΔ. Ἀντιτυπίαν καρδίας μαλθακεύει θεία λύπη, τῆς δὲ γεέννης ταύτην ἐξελόχευσε δέος.

ΟΔ. Ὅτι τοὺς σκληροκαρδίους ἡ κατὰ θεὸν λύπη μαλάσσει· ταύτην δὲ τὴν λύπην τίκτει φόβος κολάσεως.

ΟΕ. Ἀβούλητος ᾠκονόμηται πόνος, οἷς οὐκ οἴκοθεν τὸ μετάμελον.

ΟΕ. Ὅτι ἐκείνοις ἐπιδημεῖ πόνος ἀκούσιος κατὰ πρόνοιαν θείαν, τοῖς μὴ ἑκουσίως βουλομένοις μετανοεῖν.

Ος. Ὁ τοῖς φοβεροῖς ἐναθλῶν τῶν ἀγώνων τῇ καραδοκίᾳ τῶν ἐπάθλων ἠφείδησεν.

Ος. Ὁ δεινοτάτοις καὶ καταπληκτικοῖς πόνοις περισχεθεὶς καὶ ἀγωνιζόμενος τῇ ἐλπίδι τῶν ἀποκειμένων αὐτῷ βραβείων τῶν δριμυτάτων πόνων καὶ αὐτοῦ τοῦ σώματος αὐτοῦ κατεφρόνησεν.

ΟΖ. Τὸ τῆς ὑπάρξεως ἀφιλότιμον πενίας ἀπάθεια.

ΟΖ. Ὃ χρῆμά τις κτᾶται ἀπροσπαθῶς, τούτου στερισκόμενος οὐκ ἀνιᾶται.

ΟΗ. Τὸ ἀνήκοον πρὸς ἀρχὴν οὐκ εὔθετον.

ΟΗ. Ἐκεῖνος τὸν τῆς ἐπιστασίας κανόνα διατηρήσει ἄριστα, ὃς τὸν τῆς ὑποταγῆς καλῶς διεπέρανε δρόμον· ὁ δὲ μὴ ὑποτακτικὸς γεγονὼς οὐκ οἶδ', εἰ ἀρχηγὸς τῷ ὄντι γενήσεται.

ΟΘ. Ἐν μακροθύμῳ ἴσθι κεχρᾶσθαι δίκην τοῦ κρείττονος. μὴ οὖν τὸ ταύτης ὑπόστολον τοῖς μοχθηροῖς εὐρυνέτω σε.

ΟΘ Τὸ θεῖον μὴ μόνον φιλάνθρωπον εἶναι νόμιζε, ἀλλὰ καὶ δίκαιον· καὶ γὰρ καὶ ἀφίησιν ἁμαρτίας τοῖς ὑπευθύνοις ὡς φιλάνθρωπον, ἀλλὰ καὶ τιμωρεῖ πάλιν δι' ἁμαρτίας. μὴ οὖν τῷ φιλανθρώπῳ μόνῳ προσέχων ἐν ταῖς τοῦ βίου ἀκολασίαις πλατύνου.

10 κρίναι P

Π. Τῶν οἷς ἡ παλάμησις ἃ τὸ ἀλάθητον ὀκνεῖν οἶδεν ἐφορᾶν, εἴ τις ἀπάθεια σύνεστι δυσχερῶν, ἀφιλάνθρωπον ἐναπόκειται ποίνισμα.

Π. Ἵνα συνελὼν εἴπω, τοῦτο σκιαγραφεῖ· ὅτι τοῖς ἁμαρτάνουσιν ἐὰν μή τι συμβῇ θλιβερόν, χαλεπωτάτη ἀναμένει ἡ ἐκεῖθεν κόλασις. ἡ δὲ σύνταξις οὕτως· οἷς ἀνθρώποις ἡ πρᾶξις ἐξ ἔργων ἐκείνων ἐστίν, ἐφ' ἃ τὸ ἀλάθητον (ἤγουν τὸ θεῖον) ἀναβάλλεται βλέπειν, ἐάν τις αὐτοῖς ἄνεσις τῶν θλιβερῶν ἐνταῦθα συνυπάρξῃ, τούτοις ἡ ἐκεῖθεν τιμωρία καὶ κόλασις ἀνηλεῶς ἐναπόκειται.

ΠΑ. Ἡ τῶν ἐν ἐσχατιᾷ πρωτοφαεῖ πόνων παροψίμων παρόρασις πρὸς μείζονας ἀνηρέθισεν.

ΠΑ. Ὅτι τὰ μικρὰ ἁμαρτήματα παρορώμενα εἰς μείζονας ἁμαρτίας τοὺς ἀνθρώπους ἐλαύνουσι· τὸ δὲ δριμὺ τῆς ἐννοίας καὶ τῆς συντάξεως οὕτως ἔχει. ἡ τῶν πόνων ἐν μικρῷ παρόρασις (πόνων ἐνταῦθα τῶν ἔργων), τῶν παροψίμων τῷ πρωτοφαεῖ, τουτέστι τῶν παραβλεπομένων τῷ θεῷ (ἀντὶ τοῦ φάναι τῶν πονηρῶν ἔργων), πρὸς μείζονας ἀνηρέθισεν.

ΠΒ. Σωματικὸν τρῦχος ταλαιπωρίαν ἰάσατο πνεύματος.

ΠΒ. Ὅσον γὰρ ὁ ἔξωθεν ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται.

ΠΓ. Οἷς ὑλικὴ λίχνευσις, καὶ πνεύματος ἀπείργεται.

ΠΓ. Ὑπερβατὸν καὶ κατὰ κοινοῦ τὸ ἀπείργεται· λέγει δὲ τοιοῦτον· ὅτι ὃς τῶν σωματικῶν αἰσθήσεων τὸ λίχνον ἐπισχεῖν δύναται, οὗτος καὶ τὰς τῆς ψυχῆς ἀτάκτους ὀρέξεις κατακρατήσειεν.

ΠΔ. Οὐκ οἶδεν τὸ διὰ προσποίησιν σπουδαῖον μονιμότητα· τὸ γὰρ πρός τι τοῦτο τρεπτόν τε καὶ εὐμετάρροπον. ἐπεὶ καὶ ἀίδιον, πάγιον, τὸ χάριν δὲ τοῦ κρείττονος ἐξανυόμενον.

ΗΔ. Ἡ κατ' ἐπίδειξιν κτῆσις τῆς ἀρετῆς εὐαπόβλητος· καὶ γὰρ οἱ ἄνθρωποι δι' οὓς αὕτη τῷ κενοδόξῳ προσγίνεται, θνητοὶ καὶ ταχέως ἐκρέοντες· ὧν ἀπερχομένων, καὶ αὕτη συγκαταλύεται. ἡ δὲ διὰ τὸν θεὸν τῆς ἀρετῆς ἐργασία, ἐπειδὴ οὗτος ἀθάνατος καὶ αἰώνιος, καὶ αὕτη δι' αὐτὸν τελουμένη μόνιμός τε καὶ ἀμετάβλητος.

ΠΕ. Ἔστω σοι ἐν μόχθῳ δοκιμίῳ φειδὼ παρακλήσεως· τοῦ γὰρ ταύτης ἡδέος ἐνδόσιμον καὶ ἡδονῶν οἰστικὸν καὶ λήθη τοῦ νύττοντος. δεῖ οὖν τῷ νῷ τὸ δριμὺ τῶν ἀλγεινῶν ἀλινδεῖσθαι· ἐντεῦθεν γὰρ μνήμη τοῦ κρείττονος, ἧς ἡμῖν μᾶλλον παρακεκλῆσθαι καὶ λύσις τοῦ πλήγματος. τὸ δ' ἔξωθεν τοῦ πνεύματος ἀπατηλὸν μικρὸν ἠπάτησε, μείζονα δὲ τὴν ἐπιφορὰν



τοῦ τρύχοντος ἐξειργάσατο, ἐφ' οἷς ἀνέσεως ὄντως κατωκνήσαμεν· ὁ γὰρ θεὸς νεμεσῶν· τούτου πάρεστι καὶ διάλυσις.

ΠΕ. Ἐν ἀλγεινοῖς πειρασμοῖς καὶ θλίψεσι σκόπει τὰς τῶν παρακλήσεων προσβολάς· ἡ γὰρ ἐκ τούτων ὕφεσις ἡδονῶν ἐπιφορητικὴ γίνεται καὶ τῆς θλίψεως διασκέδασις. δεῖ δὲ τῷ λογισμῷ τὴν τῶν πειρατηρίων ἔχειν ἀνίαν καὶ δριμύτητα· ἐκ γὰρ τούτου θεοῦ τις ἐμνημόνευσεν, ὡς τὸ "ἐν θλίψει ἐμνήσθημέν σου". ἐκ δὲ τῆς μνήμης ταύτης ἡ ὄντως παράκλησις, ὡς τὸ "ἐμνήσθην τοῦ θεοῦ καὶ εὐφράνθην". ἡ δὲ κοσμικὴ ὑπὸ τοῦ δαίμονος ἡμῖν ἐγγινομένη ἡδύτης μικρὸν ἥδυνεν· πολλῷ δὲ μείζονα τὴν ἀντίδοσιν κόλασιν ἐπιφέρει, ὅτι τῆς ἀληθοῦς καὶ θείας ἀνέσεως κατεφρονήσαμεν ὀκνήσαντες. θεὸς γάρ ἐστιν ὁ παιδεύων· ἐκ τούτου καὶ ἡ τῶν ἀνιαρῶν διάλυσις ἔνεστιν.

Πϛ. Μὴ οὖν, ἐφ' οἷς ἠτύχησας, διασπαράσσου, ἀλλ' ἐφ' ὅσον πρὸς ἑαυτὸν οὕτω τὸ θεῖον διατεθῆναι παρεσκεύασας.

Πϛ. Μὴ τόσον τὰ συμβάντα σοι πλημμελήματα καὶ ἀτυχήματα ἀναλογιζόμενος ἀγανάκτει, ὅσον ὅτι θεὸν διὰ τούτων παρεπίκρανας καὶ πρὸς σὲ χαλεπῶς οὕτω διατεθῆναι τοῦτον αἴτιος ἐγεγόνεις.

ΠΖ. Εἰ μὲν ἄξιον ὀργῆς ἠνύσθη σοι, φρίττε τὸν δικάζοντα, ἐπικλῶ τῷ μεταμέλῳ· εἰ δ' ἄλλως, εὐχαρίστει τῷ δοκιμάζοντι καὶ βελτιοῦντι, καί γε συντήρησις ἔστω σοι.

ΠΖ. Εἰ μὲν ἁμάρτημά τι διεπράξω, ὃ τὴν θείαν ὀργὴν ἐπισπᾶσθαι δύναται, τὸν δικάζοντα θεὸν φρίττε καὶ τῇ μετανοίᾳ κατακάμφθητι, ἵν' ἵλεώς σοι θεὸς γενήσεται· εἰ δὲ μηδὲν τῶν κακῶν ἐργασάμενος πειρασμοῖς συσχεθῇς, εὐχαρίστει καὶ δόξαζε τὸν δοκιμάζοντα θεόν, ἵνα μᾶλλόν σε καθαρώτερον καὶ βελτίονα ἀναδείξηται. ἀλλὰ καὶ οὕτω περισκόπει, μή που παρατραπῇς τῆς καρτερίας καὶ τῆς ἀποδοχῆς ἀστοχήσῃς.

ΠΗ. Ἡ φιλία τοῦ ὕπνου τῶν ἀμφοτέρων λύχνων σβεστήριος.

ΠΗ. Ὅτι ὃς κατακόρως τῷ ὕπνῳ δεδούλωται, τῆς μὲν ψυχῆς τὰς κόρας ἠμαύρωσεν· ἀλλὰ καὶ αὐτὸς πλεῖστον ὑπνῶν τοῦ φωτὸς τούτου βραχὺ αὐγάζεται, τὸ πλέον τῷ σκότει τοῦ ὕπνου κατεχόμενος.

---

4 ἡ γὰρ ἡ P    7 cf. Es. XVI, 16    8/9 Psalm. LXXVI, 4

ΠΘ. Θλῖψις οὐκ ἀνάλογος σφάλματος τὴν ἐπάνοδον ἀνεκαλέσατο.

ΠΘ. Ὅτι ὃς ἁμαρτήσας μὴ τῷ μεγέθει τοῦ ἁμαρτήματος ἀναλόγως τὴν ἐκ τῆς μετανοίας θλῖψιν ἐνδείξηται, πάλιν οὗτος τῷ αὐτῷ περιπεσεῖται ἁμαρτήματι.

Ϟ. Ἀπολλύμενον εὐγενὲς προσκέκληται οὐχ ὕπνῳ ῥαθυμοτόκῳ, ἀλλ' ἐγρηγόρσει καὶ νήψει τοῦ βλέμματος.

Ϟ. Ἀπολλυμένην εὐγένειαν τὴν κατ' εἰκόνα τοῦ κτίσαντος δόξαν αἰνίττεται. αὕτη οὖν ἐξ ἁμαρτίας ἀχρειωθεῖσα πάλιν ἡμῖν ἐπιλάμψει, εἰ μὴ καθεύδωμεν ἐκ ῥᾳθυμίας, ἀλλ' ἐγρηγόρως νήφωμεν καὶ πονῶμεν τὰς ἀρετὰς μετερχόμενοι.

ϞΑ. Εἴ τις κτητοῦ προσποίησις, ἐν μονίμῳ καὶ χρόνου τάσει προσευχῇ πάγιος.

ϞΑ. Ἡ σύνταξις καθ' ὑπερβατόν. ἐν μονίμῳ προσευχῇ καὶ μήκει χρόνου· ἡ δὲ ἔννοια οὕτως. ἐάν τι τῶν ἀρετῶν σοι κτηθῇ ἐν πολλῷ χρόνῳ καὶ ἐπιμόνῳ πρὸς θεὸν δεήσει, δυσαπόβλητον καὶ ἀμετάπτωτον παρέσται σοι.

ϞΒ. Ὡς ἀργία τὰ σώματα, οὕτω καὶ ψυχὴν συντήκει καὶ καταφθείρει, γονὰς κατ' ἄμφω πονηρὰς ἀποτίκτουσα.

ϞΒ. Ὅτι τὸ μηδὲν ἐργάζεσθαι ὑπὸ ἀκηδίας ὁμοῦ τοῖς σώμασι καὶ αὐτὴν τὴν ψυχὴν συναπόλλυσι· τὰ μὲν γὰρ πλείστης ἀχρήστου ὕλης ἐμπίπλαται μὴ κινούμενα, τῇ δὲ λογισμοὶ αἰσχροί, οἱ ταύτην κατανεκροῦντες ὑπὸ τῆς ἀπραξίας, συνεχεῖς ἐπισυνάγονται.

ϞΓ. Εἴ τίς σοι γνώμη πρόσεστιν ὀνησιφόρος, ἢ σκῆψις ἀλλοτρίοις βλάβους περίεστι, στεῖλον τὸ μονοειδὲς εὔδαιμον τοῦτο διὰ τὸ κρεῖττον κοινοποιούμενος, στεροῦ τοῖς ἄλλοις προσκτώμενος, ἢ πλούτει τούτοις ἀφαιρούμενος.

ϞΓ. Ἐάν τι τῶν τῆς ἀρετῆς ἠθῶν ἢ ἔργων ὑπάρχῃ σοι, ὃ σκάνδαλον ἑτέροις καὶ βλάβην ἐμποιεῖ, ἀπώθου τοῦτο. διατί; μείζονα γὰρ ἁμαρτίαν, τῶν ἀδελφῶν βλαπτομένων, σεαυτῷ περιποιῇ. κρεῖττον γάρ ἐστι τούτου στερηθῆναι τοῦ σοὶ μόνῳ τὴν ὠφέλειαν περιστοιχίζοντος, ἵνα τὸ ἐκ τῆς τῶν ἀδελφῶν κέρδος καταπλουτήσῃς. ὑπόδειγμα τοῦ λόγου ἴστε τοὺς διά τινα ξενούμενον ὁδίτην ἐν τῇ ἁγίᾳ Τεσσαρακοστῇ ἁγίους πατέρας ὑείων κρεῶν ἀπογευσαμένους.

14 κτησθῇ P    29 ἀπώθου=ἀπωθοῦ; cf. Ezech. xxi, 10 «ἀπώθου πᾶν ξύλον»
33 διατιναξενούμενον P    34 ὑείων P



ϞΔ. Ὁ τῆς ἀρετῆς θρίαμβος ὑποτύπωσις εἴη τοῖς πολλοῖς πρὸς ὄνησιν· εἰ δ' ἀφαιρῇ χαριζόμενος, φείδου τὸ τοῦ παιδευτικοῦ θρόνου ἀδόκιμον.

ϞΔ. Ὅτι εἰ μέλλοι τις οἰκείαν ἐκδιηγεῖσθαι καὶ παρεκφαίνειν ἀρετὴν δι' ὠφέλειαν καὶ ὑπάλειψιν πρὸς ἀρετήν, ταύτην παραγυμνούτω· εἰ δ' ἵνα μόνον οἱ ἀκροαταὶ τοῦτον ἐκθειάζωσι, τῷ ὄντι τῆς ἀρετῆς ἠλλοτρίωται. διὸ οὗτος τοῦ τῆς ἐπιστασίας θρόνου, ὡς βλάβην αὐτῷ τῆς διδασκαλίας ἐμποιούσης, εὐλαβείσθω καὶ ὑποχωρείτω.

ϞΕ. Εἴ τι καὶ ἄλλο, τροφή, σχέσει τοῦ κρείττονος αὐτοτελεῖ οἰκονομηθεῖσα οὐκ αἴσθησιν τῆς ἰδιότητος, οὗ μετείληχεν, ἐλήψατο.

ϞΕ. Τὸ τοῦ λόγου σκόπει σχῆμα· ἔστι γὰρ οὕτως. τροφὴ καὶ εἴ τι ἄλλο, ἤτοι πόσις καὶ μέτριος συναναστροφὴ οἰκονομουμένη τοῖς συνελθοῦσι παρὰ τοῖς τελείοις ἀσκηταῖς, οὐ λαμβάνουσιν αἴσθησιν τῆς θ' ἡδύτητος καὶ ποσότητος, ὧν μεταλαμβάνουσιν· καὶ γὰρ καὶ Χριστὸς μετὰ τὴν ἀνάστασιν οὐκ ἐδέησε τροφῆς ἕνεκεν χρείας ἢ κόρου, ἀλλ' ἵνα τοὺς φίλους μαθητὰς θεραπεύσῃ συναναστρεφόμενος, καὶ συνήσθιεν καὶ μετ' αὐτῶν ἀρρήτως συνηυλίζετο. καὶ γὰρ οὕτω καὶ ὁ τέλειος ἐν νεκρότητι τοῦ σώματος ἀνεσταμένος τῷ πνεύματι γνωρίζεται.

Ϟς. Ἀγὼν ἀσκήσεως τοῖς ἐσχάτοις ἀναίσθητος· οἶδεν γὰρ ἔρως σφριγῶν ἀληθής, πρὸς ὃν αὐτῷ τὸ πυρσεύεσθαι, τὸν δι' αὐτὸν μόχθον ἀπαθῶς ἀναδέχεσθαι.

Ϟς. Τοῖς τελείως ἀσκοῦσιν ὁ ἀγὼν ἄπονος καὶ ἀταλαίπωρος· ὁ γὰρ ἀληθὴς ἀκμάζων ἔρως πρὸς οὓς ἔχει τὸ ἀνάπτεσθαι, οὐ δίδωσιν αἴσθησιν τῶν ὑπὲρ αὐτῶν πόνων καὶ σπουδασμάτων.

ϞΖ. Ἔστι καὶ σιγῆς ἄσκησις, ἣν οἱ βελτίους καὶ ἔσχατοι ἐν πόνῳ δριμεῖ διεπέραναν. οἷς μᾶλλον τὸ θαυμάσιον ἔνεστι· τὴν γὰρ ἄληπτον κακίαν καὶ τοῦ παντὸς πλεονεξίαν ὅλῳ ψυχῆς ἀγῶνι περισχεῖν, πῶς τὸ ὑφεξαιρεῖσθαι τούτοις οὐ πρόσεστι;

ϞΖ. Ὅτι καὶ σιωπὴν οἶδά τινας ἀσκήσαντας, ἀλλὰ τοὺς τελείους καὶ ἄκρους κατ' ἀρετήν, οἳ ἐν πόνῳ καὶ καμάτῳ πολλῷ ταύτης ἐπέβησαν· οὓς καὶ θαυμάζειν οὐδενὸς τῶν ἄλλων ἔλαττον ἐπάξιον. τὸ γὰρ ἀκατάσχετον κακόν, τὴν γλῶσσαν καὶ πάντων ὑπερεκτεινομένην, δαμάσαι καὶ χαλιναγωγῆσαι καὶ μέγα καὶ ὄντως ἀξιέπαινον.

ϞΗ. Μή τις σκηπτέσθω νωθεῖ γνώμῃ· τὸ καλὸν ἀνέπαφον· ἡ γὰρ σὺν

πάσῃ προθυμίᾳ τούτου συζήτησις εὗρε τὸν χορηγὸν καὶ δοτῆρα καὶ συνεπιλήπτορα.

ϞΗ. Οὐ χρή τινα τῶν ἁπάντων προφασίζεσθαι δι' ὀκνηρίαν καὶ ῥᾳθυμίαν, ὅτι ἡ τῆς ἀρετῆς ἐπιχείρησις δύσληπτος καὶ ἀκατόρθωτος· εἰ γάρ τις ὁλοψύχως ἑαυτὸν εἰς τὴν ταύτης ἔρευναν καὶ ἐργασίαν ἐπιδῷ, εὑρήσει κύριον, τὸν ταύτης χορηγόν, τούτῳ συνεργοῦντα καὶ συναντιλαμβανόμενον.

ϞΘ. Ἡ τῶν μελλόντων βασάνων ἀπειρία οὐ δίδωσι δέος, δι' οὗ τῶν κακῶν ἡ ἀπόδρασις· ἀλλ' αὕτη μὲν οἷς τὸ ὑψομανὲς σύνοικον· ᾧ δὲ τὸ νοερὸν ἐκκεκάθαρται, πράγματος οἷα τῶν λόγων ἐπελήψατο· καὶ γὰρ ἐνταῦθα τομαὶ καὶ καύσεις ὁμοίως πράξει καὶ λόγῳ ἀδεεῖς τοῖς ἀφραίνουσι· τοῖς δ' ἐχέφροσι καὶ πρὸ τῶν ἔργων ὁ λόγος πτῆξιν παρέσχετο.

ϞΘ. Ὅτι ὃς τῆς μελλούσης κολάσεως μὴ ὡς ἤδη τελουμένης καὶ πραττομένης πεῖραν ἐν τῇ καρδίᾳ εἴληφεν, οὐδὲ φόβον τὸν ἐκ ταύτης, δι' ὃν ἡ τῶν κακῶν ἀναχώρησις, ἐδέξατο· ἀλλὰ τοῦτο πάσχουσιν, ὅσοι τοῖς βιωτικοῖς ὡς ἀιδίοις προσδέδενται. ὃς δὲ τὴν ψυχὴν τῶν παθῶν ὑπερανεστηκυῖαν κέκτηται, τὸν περὶ τῆς κολάσεως λόγον ὡς αὐτὸ τὸ πρᾶγμα τελούμενον δέχεται. ὁρῶμεν δὲ καὶ νῦν τινας τῶν ἀκολάστων καὶ κυβιστῶν μὴ μόνον τὸν λόγον ἐκφαυλίζοντας καὶ καταφρονοῦντας, ἀλλὰ καὶ μέχρι τῶν μαστίγων αὐτῶν ἀφόβως καὶ ἀνοήτως ἐπεμβαίνοντας καὶ μηδὲν τῆς τόλμης ὑφειμένους. οἱ δ' ἔμφρονες καὶ κατὰ θεὸν καὶ πρὸ τῆς τιμωρίας τὸν λόγον ὡς αὐτὴν ὑποδεχόμενοι δεδίασι καὶ τῶν ἀθεμίτων ἀναχωροῦσιν.

Ρ. Εἰμὶ μὲν εἷς τῶν μὴ γνώμην θεοῦ τελεσάντων, ᾧ καὶ τὸ κρῖμα τῆς δαψιλοῦς ὡς γνωστικῷ μάστιγος ἕπεται· εἴ τινι δ' ὄνησις τῶν προτετυπωμένων ὕπεστιν, ἡμῖν μὲν ὡς ὀφειλέτης προσέστω, ἡ δ' ὀφειλή, πρὸς ὃν ἐπ' ὤμων τῆς ἁμαρτίας τοῦ παντὸς ὁ φόρτος, ἐξίλασις, ἵν' εὐμενῶς ἐπίδοι συγγνωμονῶν τὰ σφάλματα.

Ρ. Ἕνα μὲν ἑαυτὸν τῶν ἡμαρτηκότων μετριοφρονῶν ὁ ταῦτα πονήσας εἶναι διαγορεύει, τούτῳ τε ὡς τῶν θείων ἐπιστήμονι μεγίστην ἐπισυμβῆναι κατάκρισιν καὶ κόλασιν ὑπολαμβάνει, ἐκ τούτου τοῦτο θηρεύσας, ὡς "ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου καὶ μὴ ποιῶν αὐτὸ" καὶ ἑξῆς. ἐὰν μέντοι τινὶ ἐκ τῶν πονημάτων τούτων

33 cf. Luc. xii, 47



ὠφέλεια ἀνακύψῃ, οὗτος ὀφειλέτης μέν ἐστι τῷ τετευχότι, τὴν δ' ὀφειλὴν ἀποτίσει, ἱλασμὸν καὶ παράκλησιν πρὸς τὸν ἐπ' ὤμων τὰ βροτῶν ἀναλαβόμενον θεὸν ἁμαρτήματα ποιούμενος, ὅπως εὐσπλάγχνως τούτῳ καὶ φιλανθρώπως ἐπιβλέψοι τὰ παραπτώματα συγχωρούμενος.

# XII.

## ΕΠΙΣΤΟΛΑΙ
# ΑΡΕΘΑ ΚΑΙΣΑΡΕΙΑΣ
## ΚΑΙ ΓΡΑΜΜΑ ΝΙΚΟΛΑΟΥ ΜΥΣΤΙΚΟΥ.

---

### 1.

***Ἀρέθα ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας γνώμη, πρὸς τὴν σύνοδον μὴ δυνηθέντος ἀπαντῆσαι.***

Περὶ μὲν Ἀετίου, τιμιώτατοι ἀδελφοὶ καὶ συλλειτουργοί, οὕτως ἀδαμαντίνως ἔχω καὶ οὐκ ἄλλως· ὁ δὲ ἀλλοίως ἔχοντας ἡμᾶς οἰόμενος ταῦτα ληρῶν ἐχέσθω ταύτῃ (" οὐ νέμεσις Τρῶας καὶ ἐυκνήμιδας Ἀχαιοὺς τοιῷδ' ἐπ' ἀνδρί "), ἀντίξοα τούτων φρονῶν. τῷ δὲ εὐλαβεστάτῳ κυρίῳ Τρύφωνι τὴν ἐμὴν γνώμην καὶ τὴν πρώτην ἐπὶ τῆς ἀρχαιρεσίας αὐτοῦ γραμματίῳ ἀθετήσαντι πίστιν, ὅρους φημὶ πατέρων συγκεχυκότι, πρὸς τούτοις καὶ μηδὲ τῷ πρὸς θεοσέβειαν στοιχειώδει βίῳ τὸ ἀνενδεὲς ἐν ἑαυτῷ ἐπιδεδειχότι, οἷος ἐπὶ τῇ τοῦ Μιχαὴλ μονῇ ἀπηλέγχθη, τούτῳ καλὸν τὴν καθ' ἑαυτὸν ἑλόντα κοπάσαι τῶν ἐκκλησιαστικῶν πόνων, τῶν τοῦ θεοῦ μὲν ἀποσχόμενον φρικτῶν καὶ ἀνεπηρεάστων ὀργίων, πρὸς δὲ τὴν ἀποκειμένην αὐτῷ τῶν ἱερῶν μεταφοιτῆσαι τόπων, μηδὲ

K = cod. chartaceus 1 (an. 1686) monasterii Κοσινίτσης, fol. τνβ'—τνε'.
9/10 Il. Γ, 156, 157



τὸν τόπον κατὰ τὴν ἐν Εὐαγγελίοις ἄκαρπον συκῆν καταργεῖν " ἐτώσιον ἄχθος " ἐναποκείμενον " ἀρούρης ". εἰ δὲ τὸ ὅπως ἀπὸ τοῦδε τὰ ἱερὰ διεξάγοιτό τις ζητοίη, ὡς ὁ θεοσυνέργητος βασιλεὺς κῦρις Ῥωμανὸς τῇ προτεραίᾳ διηπόρησεν, " οὐχ ὑστερήσει κύριος τὰ ἀγαθὰ " ἐπιβραβεῦσαι τοῖς ἐκζητοῦσιν αὐτὸν ἐν ἀληθείᾳ. ὁ γὰρ εἰς πάντα συνεργήσας θεὸς τῷ ἀγαθῷ βασιλεῖ " δώσει ῥῆμα δυνάμει πολλῇ ὁ βασιλεὺς τῶν δυνάμεων τῇ ὡραιότητι τῆς ἑαυτοῦ κατοικίας διελέσθαι " τὸν κληρονόμον. ταῦτα, τιμιώτατοι ἀδελφοί, μὴ δυνηθεὶς αὐτοπροσώπως ὑμῖν χρηματίσαι διὰ τὸ σύντροφον κακὸν τῆς ἐμπνευματώσεως, ἐγγράφως ὑμῖν ἐξεθέμην, ἴσως δὲ καὶ ἐναργέστερον τούτων, τοῖς βουλομένοις τὴν περὶ τῶν προκειμένων γνώμην ἡμῶν ἀναμαθεῖν.

### 2.

***Νικολάου πατριάρχου· τὰ κατ' αὐτὸν καὶ τοὺς τότε ἀρχιερεῖς διὰ τὴν τετραγαμίαν.***

" Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν ", προείρηται πάλαι περὶ ὧν προείρηκεν ὁ θεός· νυνὶ δὲ ὡσαύτως εἴποι ἂν ἡ τοῦ θεοῦ Ἐκκλησία εἰκότως περὶ τῶν ἐπὶ κακῷ τῷ οἰκείῳ γεννηθέντων αὐτῇ· κακὰ γὰρ ἐπεσωρεύσατε ἑαυτοῖς, καθ' ἑτέρων ἐπισυναγαγεῖν ταῦτα σπουδάσαντες, οἱ (πῶς εἴπω, οὐκ οἶδα, ἢ ποίοις κρίμασιν) ἀντὶ τέκνων ἐχθροὶ μέλλοντες ἔσεσθαι, ἐν τῇ μυστικῇ παστάδι ἀποτεχθέντες τῆς Ἐκκλησίας. ἀλλὰ γὰρ τετοκυῖα ὑμᾶς, ὡς εἴθε μὴ ὤφελε, καὶ ὑψώσασα, τῶν ὠδίνων ἔσχεν ἀμοιβὴν παρ' ὑμῶν τὴν ἀθέτησιν· δέον γὰρ ὑπὲρ τῆς ἀκηράτου καὶ ἀχράντως τεκούσης προκινδυνεύειν ὑμᾶς καὶ πάσῃ δυνάμει τῆς δόξης καὶ τιμῆς ἀντέχεσθαι τῆς μητρός· ὑμεῖς δὲ τὴν ἐναντίαν μᾶλλον εἵλεσθε γνώμην, καὶ ἀντὶ τοῦ προκινδυνεύειν περιεστήσατε εἰς κινδύνους καὶ τὸν ὑπὲρ αὐτῆς ὀφειλόμενον ἀγῶνα εἰς τὸν κατ' ἐκείνης μετεστρέψατε πόλεμον καὶ ἀντὶ τοῦ τιμᾶν ὑβρίζειν ἐγνώκατε, καὶ ὕβριν ἣν μήτε ὁ προλαβὼν ἀνθρώποις ὑπέδειξε χρόνος, εἰπόντες τοῦτο δὴ τοῖς πράγμασιν, εἰ καὶ μὴ λόγοις, τὸ

1 cf. Luc. XIII, 6—9 || καταργεῖν *: καταρῶν K 2 Il. Σ, 104 4/5 Psalm. LXXXIII, 12 7 τοῖς ἐκζητοῦσιν α. ἐν ἀληθείᾳ] cf. Psalm. CXLIV, 13 8/10 Psalm. LXVII, 12, 13 9 ἡμῖν χριματίσαι K 16 Es. I, 2

τοῖς πορευομένοις ὀπίσω τῶν οἰκείων θελημάτων εἰρημένον, " τὰ χείλη ἡμῶν παρ' ἡμῶν ἐστι· τίς ἡμῶν κύριός ἐστι "; νομίσαντες πᾶσαν αἰδῶ καὶ δικαιοσύνην ἐξ ἀνθρώπων ἠφανίσθαι, μᾶλλον δέ, εἰ δεῖ τὴν πᾶσαν ὑμῶν διάνοιαν ἐξειπεῖν, μηδ' ἐν τῷ μέλλοντι δοκοῦντες πολιτεύεσθαι δικαιοσύνην αἰῶνι. πῶς γὰρ τοιούτων δραμάτων ἐγένεσθε ποιηταί, εἰ δίκης ἐν ὑμῖν ἀνέβαινε λογισμός, πρῶτον μὲν κατὰ τοῦ οἰκείου ἀρχιερέως καὶ διέπειν τὴν Ἐκκλησίαν (εἰ καὶ ἀχρείου) λαχόντος καὶ τῆς ἰδίας κεφαλῆς ἀποστασίαν μελετήσαντες καὶ πολέμιοι ἀντὶ τέκνων γεγονότες; ἢ οὐχὶ τοῦτο καὶ πρὶν λανθάνοντες συνεσκευάσασθε καὶ κατ' ἐκείνην δὴ τὴν ἡμέραν, ὅτε ἀνέδην καὶ δημοσίᾳ ἡμῶν ἀπέστητε, δήλην τὴν συσκευὴν ἐποιήσασθε; τοῦ γὰρ βασιλέως συγκεκληκότος ἡμᾶς καὶ τοιαύτην ἀφιέντος φωνήν, " Ὅσοι τῆς μερίδος, τῆς ἡμῶν χωρίσθητε βασιλείας ", φανερῶς ἐξ ἡμῶν ἀπορραγέντες οἷόν τι πολέμιον στῖφος ἐκείνῳ προσέθεσθε· καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ καὶ πάλιν ἐν τοῖς βασιλείοις προσκεκλημένοι δὶς ἀπειργάσασθε. καὶ ἡ ἄρνησις δὲ τῆς ὁμολογίας ὑμῶν, ἣν ἐνώπιον θεοῦ καὶ ἀγγέλων καὶ ἀνθρώπων ὡμολογήσατε, μηδὲν τῆς ἡμῶν ἔξω γνώμης πράττειν ἀλλὰ μᾶλλον ἀκολουθήσειν ἡμῖν, εἴ τι γνοίημεν περὶ τοῦ ἐξ ἀνθρώπων ἀπελθόντος βασιλέως οἰκονομεῖν, πρὸς τί ἄλλο, ἢ πρὸς τοῦτο καταστρέφει, τὸ μὴ προσεῖναι ὑμῖν ἔννοιαν δικαιωτηρίου καὶ κρίσεως; τὸ δὲ περὶ τῆς ἡμῶν μετριότητος, ὁπότε τὸ σχῆμα τῆς βασιλικῆς παρακελεύσεως ἅπαντας ἐξῆγε τῆς πόλεως, εἰρημένον ὑμῖν κοινῇ συνηθροισμένοις καὶ πρὸς τὴν ἔξοδον σύνταξιν ποιουμένοις, ὡς οὐδενὶ ἔξεστι χάριν τῆς πάντων συμφωνίας ἐπιτελεῖν τινὰ οἰκονομίαν, ἀλλ' εἴτε δοίη θεὸς ἐν βίῳ διαμένειν ἡμᾶς, εἴτε ἐξ ἀνθρώπων μεθίστησι, κοινῇ γνώμῃ καὶ ψήφῳ, εἴ τι γενέσθαι δεήσειε, τοῦτο ἐπιτελεῖν, καὶ ὡς εἴ τις μὴ οὕτως φρονήσειεν, ἀλλ ἄνευ τῆς κοινῆς πάντων ἐπικρίσεως τολμήσει τι πράττειν, οὗτος ἀπαραιτήτως εἴη φέρων τὴν καταδίκην παρά τε πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι καὶ παρὰ τῆς ἡμῶν μετριότητος, πῶς οὐκ ἐλέγχει ὑμᾶς, μηδόλως

2 ταχίλη K || Psalm. xi, 5   11 ἀναίδην K   16 ἀπηργάσασθε K   21 ὁμεῖν K   22 ὕποτε K   24 συντάξιν K



ἔννοιαν ἐσχηκότας ἢ ζωῆς μελλούσης, ἢ τῆς τῶν βεβιωμένων ἐτάσεως; ἀλλὰ ταῦτα μὲν τοιούτους ἀποφαίνει ὑμᾶς.

Σκοπῶμεν δὲ καὶ τὰ ἐπὶ τούτοις προεξειργασμένα. ἀπηλάσατε τοῦ ποιμνίου ἡμᾶς· εἰ γὰρ καὶ βασιλεὺς τοῦτο πράττειν ἐδόκει, ἀλλ' ὑπουργὸς ἦν ἐκεῖνος τῆς ὑμῶν ἐπιτροπῆς καὶ τοῦ βουλήματος· αὐτοὶ γὰρ καὶ πρὸ ἐκείνου καὶ σὺν αὐτῷ τὴν καθ' ἡμῶν ἐπιβουλὴν ἐποιήσασθε· δῆλον δὲ καὶ ἐκ τῶν εἰρημένων, καὶ ἐκ τούτου μᾶλλον. ἐν μεταγνώσει γὰρ τοῦ βασιλέως καταστάντος καὶ τοῦ μεγέθους τοῦ κακοῦ ταχέως αὐτὸν ἀναφρονῆσαι παρασκευάσαντος, ἐβουλεύσατο πάλιν, ὅθεν κακῶς ἐξήλασεν, ἐπαναγαγεῖν· καὶ γράμματι τοῦτο ἐδήλωσε καὶ ὅρκοις ἐβεβαίου τὸ δόξαν, ἀποστόλῳ χρησάμενος καὶ τοῦ γράμματος καὶ τῶν ὁρκίων διακόνῳ τῷ κατ' ἐκεῖνο καιροῦ τὸ δύνασθαι παρ' αὐτῷ λαχόντι· καὶ ἐπεὶ κοινωνοὺς ὑμᾶς τοῦ δόξαντος προσελάβετο, μίαν ἐρρήξατε φωνὴν καὶ ἠπειλήσατε ἦ μὴν ἅπαντας ἔσεσθαι φυγάδας καὶ ἀντὶ μητροπόλεων τὰς ἐρήμους οἰκήσειν, εἰ πρὸς ὑμᾶς διαπράξει τὸν πατριάρχην ἐπανελεύσεσθαι. ἀλλὰ τοιούτοις καλοῖς προοιμίοις προσεθήκατε καὶ ἃ προσειρήσεται. παραίτησιν ἀπῃτήσατε καὶ τοῦ θεοῦ τοὺς λογισμοὺς ὑμῶν ματαιώσαντος οὐ παραίτησιν, ἀλλ' ἀγχόνην ἐλάβετε. ἡμῶν γὰρ εἰπόντων, ὡς ἐπεὶ παρανομεῖν οὐ δυνήμεθα (καὶ γὰρ παρανομεῖν δυνατός, εἰ μὴ ἄθεος), καὶ τὸ τοῦ Δαυὶδ ἐγγράφως ὁμολογησάντων, εἰ καὶ λέξεσιν ἑτέραις, " ἐμίσησα ἐκκλησίαν πονηρευομένων καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω ", αὐτοὶ ὡς ὄντως παραίτησιν περιχανόντες τοῖς γεγραμμένοις ἐπὶ μᾶλλον ἐξεβακχεύθητε πρὸς ἀπόνοιαν. καίτοι τίς παραίτησις ὑπερορίων ὄντων, χουστωδίας στρατιωτῶν φρουρούσης, ξιφῶν μικροῦ τοῖς αὐχέσιν ἡμῶν ἐπικειμένων, ἵνα τὴν ἄλλην συνοχὴν ἐάσω καὶ βίαν, ἐρημίαν τῶν συνόντων, συμψαλλόντων, συνομιλούντων, τῶν ἄλλως ὑπηρετούντων, ἃ κἂν οἱ τῆς πίστεως ἀλλότριοι συνεχώρησαν, εἰ ταῖς χερσὶν ἐκείνων ἐγκρατεῖς ἐγεγόνειμεν, καὶ τὸν λιμόν, τὴν ὑπὸ κρυμοῦ πῆξιν; αἰσχύνομαι λέγειν περὶ τῶν οὕτω πρὸς ἀφιλάνθρωπον γνώμην ἀποκλινάντων καὶ μόνην παραμυθίαν ἡμῶν τὴν ἐκ τῶν ἀχύρων θάλψιν παραλελοιπότων. οὕτως συγκε-

14 ἡμᾶς K   22 ὁμολογήσαντος K   23 Psalm xxv, 5   26 φρουρούντων K

κρότηται ἡμῖν ἣν φατε κατέχειν παραίτησιν· πλὴν καλὸν ἐπιμνησθῆναι ῥημάτων ἡμῶν· ἔχει γὰρ οὕτως.

*Παραίτησις.* " Ἐπειδὴ πραγμάτων ἐναντιότητος καὶ δυσχερείας τὴν τοῦ θεοῦ καταλαβούσης Ἐκκλησίαν εἰς τὸ ἀδύνατον περιέστην τοῦ οἰκονομεῖν τι περὶ τὸν φιλόχριστον βασιλέα, τὸν θρόνον παραιτοῦμαι, τὴν κατ' ἐμαυτὸν ἰδίαν καὶ ἀνακεχωρημένην προτιμήσας ζωὴν τῆς ἐν πράγμασιν ἀναστατοῦσιν ἀναστροφῆς, μήτε θείας ἐξιστάμενος ἀρχιερωσύνης, μηδὲ τοῦ ἐπιτελεῖν πάντα ὅσα ἐνεργεῖν οἶδεν ἀρχιερωσύνη, ἐν ᾧ ἂν τόπῳ τὴν ταπεινὴν ἡμῶν παρελκύσωμεν ζωήν, εἰδότες ἀκίνδυνον οὐκ ὂν τὸ τὴν θείαν ὥσπερ ἀπαρεσκόμενον αὐτῇ ἀποπέμπεσθαι χάριν· ἄλλως τε δὲ καὶ τοῦ ἱεροῦ κανόνος τοὺς ἐξομοσαμένους τὴν ἐν ᾗ ἐτάχθησαν ἱερὰν λειτουργίαν, κἂν φόβος ὁ ἐξ ἀνθρώπων ᾖ ὁ πρὸς τοῦτο συνωθήσας, ἀπαραιτήτως καὶ συγγνώμης ἁπάσης χωρὶς καθαιροῦντος καὶ εἰς τὴν τῶν λαϊκῶν ἀπορρίπτοντος χώραν".

Ὁρᾷς, μᾶλλον ὁρᾶτε, οἵα ὑμῖν ἐκ τῆς παραιτήσεως ὑπάρχει ἀσφάλεια, οἷα ὑμῖν τὰ δίκαια τῆς χειροθεσίας, ἣν ὡς τῆς Ἐκκλησίας προεστῶτες πεποίησθε; ἀλλ' ὄντως τυφλὸν ἡ μανία, ἣν οὐκ οἶδα πόθεν νενοσηκότες οὐδὲ τοῦτο ἐνιδεῖν ἠδυνήθητε, ὡς τῆς δοκούσης παραιτήσεως ὑμῖν πάντα φαμένης πράττειν, ὅσα θέμις πράττειν τοῖς τὸν ἀρχιερατικὸν διέπουσι θρόνον (" ἐν ᾧ ἂν τόπῳ τὴν ταπεινὴν ἡμῶν ζωὴν παρελκύσωμεν"), ὡς ἐν τῇ παραδοχῇ ταύτης, ἀνθ' ἧς ἀπελαύνειν ἐφορείας ἐγνώκειτε, πάσης ἡμῖν ἐφορείας τό γε ἡμέτερον μέρος τὴν κυριότητα ἐνεχειρίσατε, καὶ τῆς Κωνσταντινουπόλεως ὑπερορίους ποιοῦντες πάσης ἐδίδοτε πόλεως ἐπικράτειαν. καλά γε ὑμῶν τὰ τῆς παραιτήσεως δίκαια, ἣν ὡς ἀκρόπολιν τῆς ὑμῶν τυραννίδος κατέχετε, ἐξ ἧς καὶ νομοθέται καὶ οἰκονόμοι πορνείας εἰς ὕβριν, ἵνα μὴ λέγω τοῦ ἱερατικοῦ πληρώματος, ἀλλὰ καὶ παντὸς τοῦ χριστιανῶν γένους ἀναδειχθῆναι ἀπονενόησθε· πορνείας εἶπον, οὐ τοσοῦτον μόνον, ἀλλὰ καὶ πλέον πορνείας, ὡς τῷ θείῳ διδασκάλῳ καὶ τοῖς ἐκεῖνον μὴ παραλογιζομένοις δοκεῖ.

Τὰ μὲν οὖν ὑμέτερα, ἵνα μὴ ἐπὶ πλέον, ὅσα κατὰ θεοῦ καὶ

4 περιέστη K    26 ἀλλά γε K, sed in marg. γρ. καλά γε



τῶν νόμων αὐτῶν κατωρχήσασθε, διεξερχόμενος ὁ λόγος τοῖς ἐπιεικεστέροις καὶ τὸ καθ' ὑμῶν ἀνάπτοι δίκαιον μῖσος, μὴ πλείονος ἀξιούσθω μνήμης. καίτοι γε τῶν εἰρημένων οὐκ ἐλάττω, ἀλλὰ μείζονα τὰ ὑμῖν μὲν ἐφεξῆς τετολμημένα, τῷ λόγῳ δὲ σιωπώμενα, ἕνεκα τοῦ μὴ τὸ δίκαιον μῖσος παρὰ τῶν εὐσεβούντων καθ' ὑμῶν τῶν ἀρίστων ἐξαφθῆναι δραματοποιῶν. τίς γὰρ τὴν ἄλλην πονηρίαν καὶ τὸ ψεῦδος καὶ τὴν ἀναισχυντίαν καὶ τὸν ὅλον ὑμῶν κατὰ τῆς Ἐκκλησίας πολύτροπον καὶ ποικίλον τῆς κακίας ἀκούων ἀγῶνα, οὐκ εἰς ἔκπληξιν καθιστάμενος διὰ τὴν ὑπερβολὴν καὶ τὸ μηδέποτε τοιαῦτα κεκακουργῆσθαι, πόρρω τῆς ἀνθρωπίνης καὶ διανοίας καὶ πράξεως ὑπολαμβάνει τὰ γεγενημένα ὑμῖν; ἵνα οὖν, ὅπερ ἔφην, μὴ διὰ ταῦτα τὸν διὰ τῶν ἀκουόντων θυμὸν ἀναφλέγῃ καθ' ὑμῶν ὁ λόγος ἐκδιηγούμενος, ἐκεῖνα παραλείψας τὴν τῶν ἱερῶν κανόνων ἀπόφασιν ἐπιφέρει καθ' ὑμῶν, καθ' ὧν καὶ τὴν τόλμαν καὶ τὸ θράσος ἀναλαβεῖν ἐνεανιεύσασθε. κανὼν ιη' τῶν ἐν Χαλκηδόνι, οὗ ἡ ἀρχή· " Τὸ τῆς συνωμοσίας ". κανὼν ε' τῆς οἰκουμενικῆς ⟨πρώτης⟩ συνόδου, οὗ ἡ ἀρχή· " Περὶ τῶν ἀκοινωνήτων ". κανὼν θ' τῆς ἐν Καρθαγένῃ συνόδου, οὗ ἡ ἀρχή· " Τοῦτο ὁρίσαι καταξιώσατε ". κανὼν β' τῆς οἰκουμενικῆς δευτέρας συνόδου, οὗ ἡ ἀρχή· " Τοὺς ὑπὲρ διοίκησιν ἐπισκόπους ". ἃ δὲ περὶ πορνείας ὥρισται καὶ τῶν ἐν τῷ μύσει τούτῳ μολυνομένων, τίς τῶν πάντων ἠγνόει καὶ μὴ ὅτι τῶν λαχόντων ἱερᾶσθαι ἢ τῶν ὁπωσοῦν εἰς ἄνδρας τελούντων, ἀλλὰ καὶ τῶν ἔτι παιδικὴν σύνεσιν ἐχόντων;

Τοίνυν διὰ ταῦτα καὶ τὰ προειρημένα τοῖς θείοις καὶ ἱεροῖς ἑπόμενοι κανόσιν, ἀλγοῦντες μὲν καὶ σπαρασσόμενοι τὴν ψυχήν, ὅμως δὲ κατὰ τὴν ἱερὰν ψῆφον τὴν ἀπογυμνοῦσαν ὑμᾶς τῆς ἱερατικῆς τάξεως καὶ τιμῆς, ἧς φθάσαντες αὐτοὶ ἑαυτοὺς ἀπεγυμνώσατε, καὶ ἡ ἱερὰ αὕτη καὶ ὑπὲρ τῆς δόξης τῆς Ἐκκλησίας τοὺς κινδύνους διενεγκοῦσα σύνοδος ποιεῖται τὴν ἀπόφασιν, καθαιροῦσα καὶ ἀλλοτριοῦσα ὑμᾶς πάσης ἀρχιερατικῆς καὶ ἐνεργείας καὶ δυνάμεως.

10 κεκακουργεῖσθαι K    17 πρώτης inserui    18 καρθαγένει K

# 3.

***Ἀρέθα, ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, ἔλεγχος τῆς τῶν ἀρχιερέων μιαιφονίας.***

Ἔθος ἐστὶ τοῖς μοχθηροτάτοις ἀνθρώπων τὰ τῶν κακῶς αὐτοῖς πεπραγματευμένων ἐγκλήματα εἰς τοὺς παθόντας περιτρέπειν ἐπείγεσθαι, ὡς ἂν αὐτοί τε μὴ δόξωσι κατεγνωσμένως προσενηνέχθαι τοῖς πράγμασι καὶ τοῖς ἐκ τούτων τῇ βλάβῃ περισπαρεῖσι τὸ σὺν δίκῃ παθεῖν ὑπὸ τῶν ἄλλων προσνέμοιτο. τοιοῦτό τι καὶ νῦν ὁ ἀρχιερεὺς οὗτος ὁ μέγας, ὁ τοὺς οὐρανοὺς τῇ καθαριότητι παρεληλυθὼς καὶ τῶν τοῦ θεοῦ ἀδύτων τὴν γνῶσιν μεμυημένος, βεβούλευται· ἀσυνέτως γὰρ τοῖς προσπεσοῦσι τῶν πραγμάτων χρησάμενος καὶ σάλον καὶ κλύδωνα τῇ τοῦ θεοῦ Ἐκκλησίᾳ πραγματευσάμενος οὐ μόνον οὐκ ἐγκαλύπτεται τούτοις καὶ τὴν ἐκ μεταμελείας ὑπόπτωσιν ἐξαιτεῖ, ἀλλά γε δὴ καὶ δικαιολογίας ἐκ θράσους προβάλλεται, αἳ τοσοῦτον αὐτῷ τὸ βούλημα κατανύουσιν, ὅσον καὶ τοῖς πρὸς πέτραν τῇ πέτρᾳ μὲν οἰηθεῖσι λυμήνασθαι, παθοῦσι δ' ὅπερ εἰκὸς τοῖς πρὸς πέτραν κυρίττουσιν· οἳ δὴ τοῦ πάθους μικρὸν ἀνενεγκόντες καὶ τὴν συμφορὰν ἐπεγνωκότες αὐτοῖς μὲν οὐκ ἂν ἠθέλησαν μέμψασθαι, τοῖς περιεστηκόσι δὲ τὴν πέτραν τὴν σφῶν αὐτῶν ἐκπληξίαν ἀνέθεσαν. παρόμοιον τούτῳ καὶ ὁ θαυμαστὸς οὗτος διειργασμένος ἀρχιερεὺς καὶ τούτοις τι παραπλήσιον πεπονθώς, ἀφεὶς τὸ ἑαυτὸν αἰτιᾶσθαι, ὁ δὲ λαμπρᾷ νῦν, εἰ καὶ τολμηρᾷ, τραγῳδεῖ τῇ φωνῇ, " υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν ". καὶ πρῶτον μὲν τὴν Ἐκκλησίαν τοῦτο φησὶν ἐκβοᾶν, εἶτα κἀκείνην ἐξιδιαζόμενον ὡς τῆς Ἐκκλησίας δῆθεν κατάρχοντα συναγανακτεῖν αὐτῇ καθ' ἡμῶν τὰ αὐτά, ἅτε δήπουθεν ἡμῶν οὕτως αὐτὸν μετελθόντων. ἀλλ' ὦ μακαριώτατε ἀρχιερέων καὶ τῶν πώποτε φανέντων ὁ συνετώτατος, κενήν σοί φασι ψάλλειν περιγέγονε τούτοις· μάλιστα γὰρ ἂν δικαιότερον κατὰ σοῦ ταῦτα ἡ τοῦ θεοῦ ἀποδύραιτο Ἐκκλησία, γεννησαμένη σε μὲν οὔ (πόθεν γὰρ ἢ πῶς οἱ ἀρχηγέται σοι τῆς γονῆς καὶ πρός γε τούτοις ἡ γένεσις, σιωπᾶν ἄμεινον), ὑψώσασα δέ, ὡς εἴθε μὴ

2/3 in margine codicis K: ἔλεγχος τοῦτο ἐφ' οἷς ὁ τῆς Ἑνώσεως Τόμος ἐφεξῆς συνετάγη  17 κυρίτουσι K  18 ἀνεγκόντες K  25 κἀκεῖνον K  28/29 κενήν — ψάλλειν] cf. Corpus paroem. II, p. 178



ὤφειλε, δαλόν σε μετάρσιον ἄρασα, οὐχὶ πυρσεύειν εἰδότα, τῷ δὲ περιλοίπῳ καπνῷ τὰ τέκνα ταύτης συμπνίγοντα καὶ βοῦν σε κτησαμένη (καλὸν γὰρ ἅμα τὰ περὶ τούτων τῆς προφητείας ἀναπληροῦν, ὁμοιοτάτῳ σοι κεχρημένους τῷ ὑποδείγματι)· βοῦν σε τοιγαροῦν κτησαμένη, ἐφ' ᾧ τὰ πρὸς τροφὴν τῷ ἑαυτοῦ κατεργάσασθαι κυρίῳ (θεὸς δὲ ζῶν οὗτος τὴν σωτηρίαν τῶν ἀνθρώπων σιτούμενος, ὁ καὶ τὴν Ἐκκλησίαν τῷ ἑαυτοῦ συναγαγὼν αἵματι), οὐ μόνον οὐδέν σοι τούτων ἀπώνατο, ὧν τοῖς τοῦ θεοῦ ἐποφείλεται ἀρχιερεῦσιν, ἀλλὰ καὶ σάλου μικροῦ καὶ χειμῶνος ἐνστάντος, οὗ (τὸ παραλογώτατον) οὐκ ἄλλος οὐδεὶς ὅτι μὴ σὺ ὁ δημιουργός, ἀσυνέτως μὲν τῶν ἱερῶν ἐχόμενος κανόνων, ἀσυμβούλως δὲ μετακεχειρισμένος τὰ πράγματα, οὐκ ἀπεδύσω πρὸς τὸν ἀγῶνα, οὐ πρὸς τὸν κλύδωνα παρεσκευάσω, οὐκ ἐννήξασθαι τοῖς κύμασιν ἐκαρτέρησας, οὐ τῶν ποιμέσιν ἀνακειμένων μόχθων μετέλαβες· φιλοψυχήσας δὲ κατὰ τὸ καταγέλαστον ἄγαν ἠθέτησας μὲν τὴν γεννήσασαν, ἠγνόησας δὲ τὸν κτησάμενον καὶ τὸν μὲν κύριον ἐγκατέλιπες, τὸν δὲ τοῦ νέου Ἰσραὴλ παρώργισας ἅγιον.

Οὐκ ἀποφθαρῇ τοιγαροῦν, πολυτίμητε, ἐπὶ τὰς συνήθεις σου διατριβάς; οὐ κροκωτοὶ μὲν καὶ μύρα καὶ ὁ ἄλλος σοι πᾶς τῶν τοιούτων εὐκατάγνωστος λῆρος καὶ τὸ τοῦ ἤθους θῆλυ μετὰ Σαρδαναπάλου καὶ Μινδυρίδου τὴν δίαιταν προὐμηθεύσατο: ἀλλ' Ἐκκλησίᾳ θεοῦ ἐνοχλήσεις καὶ παρρησιάσαι ἀπερυθριάσεις ἃ σιγηθῆναί σοι συνήνεγκεν ἄν, εἰ μὴ καὶ προσέτι ἑαυτὸν δικαιώσας τὰς κατ' οὐδέν σοι προσηκούσας φωνὰς διὰ στόματος ἀναλαμβάνεις καὶ τὰ τοῦ θεοῦ ἐκδιηγῇ δικαιώματα· καὶ τὴν κανόνων παιδείαν οὐ μᾶλλον μισήσας ἢ ἀγνοήσας τοὺς θείους λόγους ἐκβάλλεις εἰς τὰ ὀπίσω. εἰ γὰρ ἀρχιερεὺς ἐχρημάτιζες, τί σοι μὴ στῆναι ἱεροπρεπῶς καὶ γενναίως, ἀλλὰ μαλακισθέντι βεβήλως τε καὶ ἀπίστως ἐν τῷ καιρῷ τῶν πειρασμῶν ἀποστῆναι αἰσχρῶς μάλα καὶ ἀλυσιτελῶς ἑαυτῷ, ἐῶ γὰρ λέγειν καὶ τῆς Ἐκκλησίας τοῦ θεοῦ εἰς σκάνδαλον; ἐπεὶ καὶ κυβερνήτην ἐκεῖνον φαμὲν ἄξιον τοῦ ὀνόματος, τὸν πρὸς τὴν ζάλην εὐρώστως ἐπαρκοῦντα καὶ τὴν ναῦν ὑψη-

2 περιλύπῳ K  3 προφητείας] cf. Es. I, 3  11 ἐχόμενος *: ἐχόντων K  15/16 τὸν μ. κύριον — ἅγιον] cf. Es. I, 4  16 παρώργησας K  20 Μινδυρίδου] cf. Suid. s. v. Συβαρίτης  21 ἅπερ ὑθριάσεις ἃ K  24/26 διὰ στόματος—ὀπίσω] cf. Psalm. XLIX, 16, 17  26 τί σοι *: τίσι K

λοτέραν παρασκευάζοντα τοῦ κύματος φέρεσθαι, ὡς ὅτε, χειμῶνος ἐλπιζομένου, προαποκαμὼν τοῦ κλύδωνος ὑπεχστῇ τῶν οἰάκων, ἐβάπτισέ τε τὸ μέρος τὴν ναῦν καὶ περιγενομένην οὐκέτι μετὸν αὐτῷ ταύτῃ πλωΐζεσθαι.

Ἀπειρηκὼς τοιγαροῦν καὶ αὐτὸς καὶ ὑπεξαγαγὼν σεαυτὸν τῶν πνευματικῶν πόνων, ῥᾳστώνῃ πάντως καὶ τῇ δι' ἔθους ἡδυπαθείᾳ, τί νῦν ἐκείνων ἀντιποιῇ, ὧν τό γε σὸν οὐδόλως πεφροντικὼς ἐσχάτῳ περιβέβληκας ὀλέθρῳ; οὐκ οἶδα πότερον τὴν ὑψώσασαν ἀμυνόμενος τῆς τιμῆς, ἢ τὸν ἐξ ἀφανείας παραγαγόντα βασιλέα πικρᾷ τε καὶ πονηρᾷ προπόσει ταύτῃ φιλοφρονούμενος. τί τοίνυν μεγάλαυχος γεγονὼς ἀναφθέγγῃ ἃ πολὺ δραστικώτερον κατὰ σοῦ ἢ καθ' ὧν ταῦτα τεχνάζῃ λεχθείη; ἢ πάντως ἐκεῖνο, ἵνα κἂν τούτοις τὸ σφαλερὸν ὑμῶν καὶ ἀνεπίγνωμον ἐκφανθείη οὐχ ἧττον ἤπερ ἐν οἷς τὸ δικαίωμα τῆς ἀοιδίμου σοί φημι πορνείας ἑαυτῷ κατασκευάζεις, μήτε περὶ ὧν εἰδὼς διαβεβαιοῖς, μήθ' ἃ λέγεις ἀκαταγνώστως φθεγγόμενος· ἀνθ' ὧν οὐχ ὅπως ἡ Ἐκκλησία σοι τὸ " υἱὸν ἐγέννησα καὶ ὕψωσα " ἐπιτεταγμένως ἐρεῖ, πολλῷ δὲ μᾶλλον τὸ " Δημᾶς με " καὶ νῦν καὶ πρότερον " ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα ". οὔτε γὰρ πρώην ὡς ποιμὴν ἀληθὴς τὴν ψυχὴν τῶν προβάτων προτέθεικας, οὔτε νῦν ἀξίως τῆς ἱερᾶς ἀγιστείας προβέβλησαι· ἀλλὰ προκόψας ἐπὶ τὸ χεῖρον καὶ τῇ κοσμικῇ ἐνδυναμωθεὶς ματαιότητι πολὺν μὲν καὶ πικρὸν ἐπιβάλλεις τῇ Ἐκκλησίᾳ τὸν σάλον, πράγματος δὲ ἀνευρέσει, οὐ γῆς (τὸ ᾀδόμενον) οὐχ οὐρανοῦ ἁπτομένου, τὴν τραγῳδίαν ὑπέθου· καὶ διαδραματουργήσας σκαιῷ τινι καὶ κατὰ σαυτοῦ τρόπῳ (ἐπίστανται ταῦτα ὅσοι τε καὶ βασιλέως τῶν ἀπορρήτων μετέχοντες), εἶτα πρὸς τὸ πέρας τὰ τῆς σκηνῆς διαθέσθαι ἠμηχάνησας. ἔλαφος ἡμῖν, ὡς τὸ λόγιον, ἥκεις ἀντὶ παρθένου. τῶν πάλαι πατέρων μηδὲ τοῦτο καταλιπόντων τὸ ψυχικὸν ἕλκος ἀτημελές, ἀλλὰ καὶ τοῖς καταλλήλοις ἐμπλάστροις τῇ ἀσθενείᾳ τῆς φύσεως ἰατρευσάντων, αὐτὸς οὗτος, ὦ μακάριε σύ, ὑπερβολῇ σοφίας, ὡς ἔοικεν, ἄνω τε χωρεῖς ποταμῶν (τὸ παροιμιῶδες) καὶ πλέον ἐκεί-

3 περιγενομένη K  5 σε αὐτὸν K  7 τό γε *: τότε K  12 καθ' ὧν *: καθῶνος K  14 εἴπερ K  15 διαβεβαιοῖ K  18 Tim. 2, iv, 10  20 ψυχὴν τ. πρ. προτέθεικας] cf. Iohan. x, 11  20/21 ἁγιστίας K  23/24 ᾀδόμενον] cf. Corpus paroem. I, p. 446  27 ἀμηχάνησας K  32 Corpus paroem. II, p. 96,144.



νων καὶ τὸ πνευματικώτερον φέρῃ, τὸν τοῦ κυρίου κλῆρον καταρτιζόμενος. ἐντεῦθεν ἀδιάκριτοί τε καὶ ἄκριτοι τῶν ἱερέων ἐκβολαί τε καὶ καθαιρέσεις ὑπὸ κριταῖς (ὢ δίκη καὶ νόμοι καὶ ἱεραὶ σύνοδοι πατέρων), οἷς δίκην ἡμῖν λαγχάνουσι ταυτηνί. ἄλλους δικάζειν ἔδει καὶ διαιτᾶν ἀμφοτέροις, οὐχὶ τοὺς διαφόρους τοῖς ἀντιδίκοις τὰ Θέμιδος ζυγὰ ταλαντεύεσθαι· καὶ τό γε βαρύτερον καὶ ἀνύποιστον Αἰθίοψ τοῖς παρανόμοις κριταῖς συνεδρεύων, Αἰθίοψ αἰσχρὸς μὲν τὸ εἶδος, αἰσχρότερος δὲ τὸν βίον, ὡς οἷς ἐπιμελὲς τὰ τοιαῦτα διαγορεύουσιν. ἐντεῦθεν αἱ τῶν ἀνάγνων εἰς τὰ τῶν ἁγνῶν τοῦ θεοῦ ἄδυτα ἐπιβάσεις, Σίμωνος αὖθις μυσταγωγοῦντος καὶ Πέτρου σιγῶντος, ὅτι παρρησιαζομένην ἀκαθαρσίαν ὁρᾷ, παρόσον καὶ ὁ κατάπτυστος οὗτος Αἰθίοψ ἀδοκιμάστως εἰς χάριν τῶν δεδιηκονημένων θεοῦ τῷ βήματι δίδοται. παρίημι τὰς τῶν ἄλλων κατὰ τῶν ἁγίων, ἀληθέστερόν σου φάναι, ὑμῶν κατορχήσεις, ὑφ' αἷς ἐξάρχων προαγωγαὶ τὴν ἱερωσύνην φορολογοῦσαι, ἄλλοι τε τούτοις ἐπιπεμπόμενοι μιαροὶ καὶ δυσώδεις, μονονοὺ καὶ κινάβρας ἀπόζοντες, ὡς ἂν ἐκκαρπῶνται τὰ ἱερὰ καὶ τοῖς ἐκπέμπουσι δασμοφορῶνται, εἰς πλήρωσιν οἴκων ἀνομιῶν τῶν ἐσκοτωμένων τῆς γῆς συμφορούμενα. τοιαῦτα αἱ μέχρι χειλέων καθαριότητες ἐκπαιδεύουσιν, αἱ σεμνύνασθαι μὲν λόγῳ παντὸς μεγαληγορώταται, ἔργῳ δὲ ἐπιδείξασθαι τῶν πώποτε λαλουμένων αἱ ἀπορώταται, καὶ πόρρω μὲν τῶν δεινῶν καὶ προσδοκωμένων αἱ ἀνδρειόταται, παρόντων δὲ καὶ ἀνερχομένων οὐκ ἔστιν εἰπεῖν οὕτινος οὐ δειλότεραι.

Οἷόν τι καὶ περὶ τὴν σὴν ἁγιότητα συνηνέχθη στερρότατα· πάντα γὰρ ὑποίσειν διατεινόμενος, ἃ καὶ συγκρούσει τῷ ἐξ ἀπονοίας ὑμῖν κλύδωνι ἐκπεφυσημένῳ, καὶ τὸν κυκεῶ ἴδιον σπάσαι φιλοτησίας, ὃν τοῦ ἄγγους τῆς ἀμαθίας ἐκχέας τὴν κύλικα τῆς Ἐκκλησίας ἐπλήρωσας, τῆς πείρας ἐνστάσης φροῦδα μὲν ἅπαντα, λόγος δ' ἄλλος, τὸ φρόνημα εὐπρεπής, τὰς τῶν ἀκροατῶν ἀκοὰς ὑπαγόμενος. δείσας οὖν περὶ σεαυτῷ καὶ τῇ τοῦ βίου τερπνότητι ἀφῆκας τῷ σάλῳ τὴν Ἐκκλησίαν, ὥστε οὐ μόνον οὐ τὴν ψυχὴν τέθεικας ὑπὲρ τῶν προβάτων ποιμένος ἀληθινοῦ μετερχόμε-

3 ὑποκριταῖς K  16 κινάβρας *: κιναίρας K; cf. Luciani Dial. mar. 1, 5. Bis accus. 10  17 ἐκαρπῶνται K  18 cf. Psalm. LXXIII, 20 || ἐσκοτισμένων K  23 δειλώτεραι K  26 ἐκπεφυσιμένω K || ἤδιον K  32 ψυχὴν — προβάτων] cf. Iohan. x. 11-15

νος ἔργον, ἀλλὰ καὶ τὸν λύκον τυχὸν θεωρήσας ἐρχόμενον μεθῆκας τὰ πρόβατα καὶ τό γε σὸν χρήσασθαι τούτοις τῷ λύκῳ, ὅταν περ καὶ βούλοιτο. οὕτως, ὦ γενναῖε σὺ καὶ μεγαλόφρον, ῥίψασπις καὶ φυγὰς ἀναπέφηνας, καὶ λιποστρατίου πνευματικοῦ ἁλισκόμενος· ἀφ' οὗπερ, εἴ τι καὶ γέγονε, σὸν τοῦτο, ἀλλ' οὐκ ἐκείνων ἁμάρτημα, ὧν ἀλογίστως καταιτιᾷ, συνωμοσίας τούτων καθ' ἑαυτοῦ καὶ φατρίας τερατευόμενος, αὐτὸς τῷ ὄντι μετὰ τῶν ἀθλίων τοῦ τιμίου σώματος ἀπορρηγμάτων τῷ τοιούτῳ κακῷ ἐνεχόμενος· οὐκ ἂν γὰρ ἀπροσίτους καθιστῆτε ἑαυτοὺς τοῖς ἐλέγχοις καὶ τοῦ λαβεῖν τε καὶ δοῦναι λόγον ἐφ' ὧν μελαγχολᾶτε πρεσβεύειν ἐδραπετεύετε, εἰ μὴ τὸν ἀπὸ τῆς συνωμοσίας τε καὶ φατρίας συνασπισμὸν ταύτῃ διαρραγῆναι ὑπετοπάζετε λόγων ἀνανταγωνίστων δυνάμει τῆς φάλαγγος ὑμῖν διασπασθησομένης καὶ τῶν ὅρκων διαρρυησομένων τῷ μηδένα λόγον ἔχειν ἡμᾶς τῇ μανιώδει ἐνστάσει συνήγορον. ἢ παρέσχετε προσελθόντες καὶ νενικήκατε ὑμεῖς, ἐναντία δ' ἡμεῖς, καὶ τούτων και οὕτινος ἄλλου δεινοῦ προτεθύμησθε; οὐκουν, πανάγαστε ἀρχιερεῦ, ἐνδίκως ὑμῖν ἐνδιαβαλλόμεθα· οὐ γὰρ συνωμομώκαμεν καθ' ὑμῶν, οὐ καταλελοίπαμεν· ἀλλ' εἴ τι καταλιπεῖν λοιδορούμεθα, τὴν ὡς βασιλέα τραπέσθαι τείνουσαν διεγνωκότες σοὶ τὸ πᾶν μεθιστάμεθα (χρηστότερον γάρ τι διαγενέσθαι βασιλεῖ τοῖς πρὸς ὑμᾶς, ὡς οἶσθα, διωμολογημένοις) τοῦ πάντῃ σκληροῦ τε καὶ ἀτεράμονος ὑποβάντες· ὅτι μηδὲ κανονικὴν τοῦτο ψῆφον κατελαμβάνομεν, μεθιστάμεθα, ὑμῖν δηλαδὴ φερόμενοι κατὰ νοῦν, ἔτι σοι τότε τὰ πρὸς βασιλέα εὐμενέστερον ἔχοντι καὶ τὰς τῆς Ἐκκλησίας αὐτῷ πύλας θερμότερον ὑπανοίγοντι, εἰ καὶ μὴ οὗτος ὑπεῖχε τῇ παρακλήσει κανονικωτέρως τὸ τελεσθὲν ἐπ' αὐτῷ μεταχειριζόμενος.

Ἐπεὶ οὐκ οἶδα, τί παθὼν αὐτὸς αὖθις πρύμναν ἀνεκρούου καὶ μετεμάνθανες ἀντὶ τῶν τέως χρηστοτέρων τε καὶ εὐμενεστέρων τὰ ἀπηνέστερα καὶ ἀσυμπαθῆ, οὔτε κανόσι βουλόμενος ἕπεσθαι, οὐ χριστιανῶν παραδόσει καὶ συνηθείᾳ τῇ περὶ τῶν τοιούτων ὑπενδιδούς, ἡμῖν μὲν οὐκ ἐγκαταλιπεῖν ἐξεγένετο τὸν ποιμένα, αὐτὸς δ' ὁ ποιμὴν τὰ πρόβατα καταλέλοιπας, ἐλεεινὸν τοῦτο δρῶν καὶ

4 λειποστρατίου K    14 ἔχειν *: ἔχον (ω) K



τῶν Χριστοῦ ἀρχιερέων ἀλλότριον, παραίτησιν (φεῦ τῆς ἀναλγησίας καὶ τοῦ πρὸς τὴν ποίμνην ἀσυμπαθοῦς) ἐπιδεδωκώς. ἀλλ' οὕτως σοι τῶν πραγμάτων προκεχωρηκότων, τί ποιεῖν ἡμᾶς ἔδει τῷ πρὸς τῆς εἰρήνης αὐτῆς καὶ ἀληθείας ἀποιμάντους οὕτω διάγειν καὶ ἡγεμόνος χηρεύειν τὴν Ἐκκλησίαν; ἀλλ' οὔπω τοῦτο καὶ νῦν συνοδικῶς κέκριται, οὐδὲ τῇ ἐν Ἐφέσῳ συνόδῳ Κυρίλλῳ συγκροτουμένῃ τῷ ἱερῷ, ὃς τὸ ποίμνιόν φησι τοῦ Χριστοῦ οὐκ εἶναι εἰκὸς ἐκτὸς προστάτου διατελεῖν. ἐπεὶ δὲ πάλιν τῷ ἀσταθμήτῳ τοῦ ἤθους τῆς παραιτήσεως κατολιγωρήσας ἀντείχου τοῦ θρόνου καὶ βασιλέα φάσκεις μετεγνωκότα πρόθυμον εἶναι τῇ ποίμνῃ σε αὖθις ἀποκαθιστᾶν, εἰ μὴ τὰ παρ' ἡμῶν σοι προσίστατο, οὐκ ἔχω τί τούτου ψευδέστερον διανοηθῆναι καὶ εἰ μυρίαι ὑμῖν βασιλέως ἐπιστολαὶ διαπραγματεύοιντο τὸ ψεῦδος, ἐπὰν ἀληθεστάτη βασιλέως ἐπιστολὴ πρὸς ὑμᾶς φέρηται τὸ τελειότατον τῆς παραιτήσεως διαπαίζουσα, ἥ φησι μεγαλοφρόνως μὲν ἀφρονεστάτως δὲ μάλα τῇ παραιτήσει τοῦ θρόνου τῆς οἰκουμένης προκεχειρίσθαι ἀρχιερέα· ἐπιτωθάζων σε γὰρ τοῦ τοσούτου παραλόγου (οὕτως ἐκεῖνος περιδέξιος τὰ τοιαῦτα καὶ γνώμης ὀξύτητι διακωμῳδῆσαι τὸ ἄτοπον) τί φησιν; "Ἔχεις τὴν ἐξουσίαν; οὐκ ἂν ἐμφρόνως ἀλύεις ὡς δήπου παρῃτημένος· ἀλλὰ μὴν ἀλύεις, ἐπεί τοί γε παρῃτήσω. πῶς οὖν ἔχεις καὶ κυριώτερον ἤδη διανοῇ";

Οὕτως μὲν οὖν βασιλεύς· φωράσομεν δὲ καὶ ἡμεῖς λιπαρώτερον προϊόντες, κἂν νῦν βασιλεὺς ταῖς οὐδαμῶς προκεχωρηκυίαις ἐπιστολαῖς συκοφαντῆται· τοῦτο γὰρ ὑποβάλλειν λέγεται τοῖς τὴν σύνεσιν νωθεστέροις τὰ τῆς χειρὸς ὑμῶν σύμβολα, οὕτως τοῖς ἐκείνου ἐκ τῶν γραμμάτων ἐπηρεάζειν κλεπτούσης τῆς ὁμοιότητος τὸ σκευώρημα· ἄλλως τε δὲ καὶ εἰ μετέμελε βασιλεύς, τίνος αὐτῷ οἴου τε ὄντος τὸν μετάμελον ἀνασώσασθαι ἴσως ἐκεῖνος ἂν ἠγνόει, ὃς ἠγνόει τὴν Μαρτυρίου τοῦ πάνυ ἐπὶ τῶν ἄρτι σοι πραγματευομένων ταὐτότητα· ὃς Ἀντιοχείας τῆς πρὸς Ὀρόντῃ ἐπίσκοπος καταστάς, εἶτα παραίτησιν ἐπιδούς, πολὺς μὲν ἐγεγόνει, τοῦ ἀντικαταστάντος ἤδη ἀποιχομένου, αὖθις ἐπανελθών, τετύχηκε δ' οὐ τοῦ σκοποῦ. ταύτῃ μὲν οὖν ὁ

15 ἣ *: ὃ K

πεπλασμένος μετάμελος· τῷ ὄντι γὰρ οὔτε μετεμέλησε βασιλεύς, ἐπεὶ μηδέ τινα ᾔδει τὸν ἱκανῶς ἔχοντα τούτῳ τὸν μετάμελον συμπεράνασθαι. ἐπεὶ δὲ τοσούτοις συμπεριενεχθείς, σοφώτατε, τοῖς ἀτόποις οὐκ ἀποκνεῖς ἔτι καὶ βρόχον ἡμῖν τεκτήνασθαι τὴν παραίτησιν βρενθυόμενος (ὢ μακάριος σὺ τῆς δολιογνωμοσύνης), ἀλλ' οὖν ἐρήσομαί σε βρόχον τῇ Ἐκκλησίᾳ κατείργασαι; καλῶς σὺ ποιῶν καὶ τῆς ἀποστολικῆς εγγύτατα προνοίας, καὶ ταῦτα Παύλου, καίτοι παρθενίαν νομοθετοῦντος, τάδε παρεγγυῶντος· " τοῦτο δὲ λέγω ", φησί, " πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω ". ὁ δ' ἀκριβέστερος Παύλου τὰ θεῖα καὶ γνώμην αὐτοῦ συνετώτερος βρόχον τῷ ἱερῷ διαπλέκεις ποιμνίῳ· τοῦ ἱερωτάτου καὶ φιλοτέχνου καυχήματος! πλὴν φιλαλήθως εἰπὼν βρόχον μὲν ἀλλ' ἑαυτῷ κατειργάσω, ὅτι μηδ' ὁ τῶν ἀποστόλων ἀποσκιρτήσας τοῖς ἀποστόλοις, ἀλλ' ἑαυτῷ τὸν βρόχον εἰργάσατο, οὐχ ὁ τὴν παγίδα κρύψας τοῦ συλλαβεῖν πόδας τῶν πέλας, τοὺς ἑαυτοῦ δέ. τίνα δὲ καὶ βρόχον ἡμῖν ἡ ἀοίδιμος αὕτη ὑμῶν προσπορίζει παραίτησις; τοῖς ἐπιβεβουλευμένοις μὲν πολλὰ διερευνησάμενος εὗρον οὐδένα, τῷ δὲ τεκτηναμένῳ, πρῶτον μὲν ἀμάθειαν αὐτοῦ τῶν ἱερῶν ἐμφανίζουσα κανόνων, πρὸς τούτῳ καὶ ἀντὶ παντὸς ἐγκλήματος προϊοῦσα, εἴ γε πιστευτέον τῇ ἱερᾷ τρίτῃ καὶ θείᾳ συνόδῳ αὐτὸ τοῦτο ἐπ' Εὐσταθίῳ δικαιωσάσῃ, παύει κορύζης τὸν διαπλέξαντα. ἀλλὰ γὰρ ἐπαγομένῳ τὴν ἱερὰν ἄγκυραν, ἣ τῆς οἰκουμένης ἁπάσης σοι μνηστεύεται τὴν ἐξουσίαν, ἐκεῖνο εἰπεῖν ἀναγκαῖον· ἀγνόημα τοῦτο οἷον, σοφώτατε, ἀγνοεῖς, νέννους (φασί) παίζων τῇ συνετῇ ταύτῃ σου διατάξει καὶ γέλωτα τοῖς ἔμφροσιν ὀφλισκάνων. εἴπερ σοφὸς εἶναι τὰ θεῖα βουλόμενος, καὶ τοῦτο μετὰ τῶν λοιπῶν ἀναμανθάνεις (οὐ δήπου γάρ τις τῶν ἱερέων ἀγνοεῖ), ὡς ὁ τῆς Κωνσταντινουπόλεως θρόνος ἓν τοῦτο προνόμιον κέκτηται, τὸ πάσῃ τῇ κατ' αὐτὸν ἀρχιερατικῇ καθέδρᾳ χρῆσθαι κατ' ἐξουσίαν· ὃν θρόνον παρῃτημένος αὐτὸς καὶ διὰ τοῦτο τῆς ἐξουσίας ταύτης αὑτὸν παρελόμενος, θαυμάζω, πῶς τοῦτό σοι σωφρονοῦντι ἐπὶ νοῦν ἔπεισι διατείνεσθαι καὶ τῇ τῆς ἐξουσίας φάσκειν ἀποβολῇ τὴν ἐξουσίαν ἀνειληφέναι.

8 παρεγγυόντος K  9 Cor. vii, 35  13/14 ἀποσκιρτήσας=Judas Iscariota  27 ἀναμανθάνεις *: ἀνάθαίνεις K  27/28 ἱερέων *: ἱερῶν K



## 4.

***Τοῦ αὐτοῦ Λέοντι τῷ βασιλεῖ περὶ τῶν πολυγαμίας εἰς συνηγορίαν παλαιοὺς προσκομιζόντων πατέρας.***

Καὶ Διονύσιον ἐπιγινώσκω, θεόσοφε βασιλεῦ, καὶ οἷς ἐπέστησάς με οὐ κατὰ πάρεργον ἐντετύχηκα, οὐδὲ τοσοῦτον ἠγνόηκα ἀγνόημα, ὡς καὶ τοῦ παντὸς ἁμαρτεῖν καὶ τῷ ἀξιοῦντι πλατὺν γέλωτα προσοφλῆσαι. πῶς γάρ, ὅς γε Μάρκῳ πειθόμενος τῷ σοφῷ, φερούσης τάχα πρὸς τοῦτο καὶ φύσεως δεξιότητος, " τὸ ἀκριβῶς ἀναγινώσκειν " ποιοῦμαι περὶ πολλοῦ; ἀλλ' ὥσπερ ἐκεῖνο τίθεμαι περισπούδαστον, οὕτω καὶ τὸ λοιπὸν τῆς σοφῆς εἰσηγήσεως, τὸ " τοῖς περιλαλοῦσι μὴ ταχέως συγκατατίθεσθαι ". ἀλλ' εἰ μὲν ἠγνόησαν οἱ τοὺς κανόνας διαθέμενοι μακάριοι πατέρες τὰ τοῦ θείου Διονυσίου, οὔπω λέγειν εἰμὶ πρόθυμος, ἔστ' ἂν καὶ τοὺς ὁμολογουμένως ἐντετυχηκότας τῷ βιβλίῳ αὐτοῦ μὲν ἠφειδηκότας, ἕπεσθαι παντὶ σθένει κεκρικότας, ὅτι καὶ Παῦλον ἑώρων τὸν ἕως τρίτου οὐρανοῦ ἀναπτάντα καὶ τῶν ἀθεάτων ἐπόπτην καὶ ἀκουστὴν γεγονότα πολλῷ τῷ ἀποτόμῳ κατὰ τῶν οὕτως ἁμαρτανόντων χρώμενον· ἢ εἰ μὴ τούτῳ, ἀλλὰ Διονυσίῳ δεῖ πείθεσθαι. ἀφανιζέσθωσαν μὲν κανόνες καὶ ἐξ αὐτῶν τῶν γραμμάτων, ἃ καὶ μόνα λοιπά, ἀντεισαγέσθω δὲ ἡ ἄνετος καὶ ἀπαιδαγώγητος πολιτεία χριστιανοῖς, οὐκ ὄντος δραστηρίου φαρμάκου, ᾧ τὸ τῶν ἐμῶν μωλώπων προσόζον ἀποστυφθείη σαπρότατον, οὐκ οὔσης ῥητίνης ἐν Γαλαάδ (τὸ τοῦ ἱεροῦ γράμματος) οὐδὲ τόπου τῆς δεξιᾶς χειρός τε καὶ στάσεως· ἄλλως τε δὲ καὶ οὐδὲ νόμος, ὅτε κατάστασιν ἀρχαΐζουσαν διατυποῖ Ἐκκλησίας, πολλῶν καὶ ἄλλων καὶ τότε μὲν εἰσέτι δὲ καὶ νῦν παρά τισιν Ἐκκλησίαις ἐθῶν κεκρατηκότων, οἷς οὐκ ἀκολουθεῖν τὴν γείτονα δεδοκίμασται· ἐπεὶ οὕτω γε κατὰ μὲν τοὺς πάλαι ἐξειθικότας καὶ γυναιξὶ συνέσονται οἱ ἐπίσκοποι καὶ τοῖς ἀπίστοις ἀδιαφόρως τὰ γαμικὰ ἐπαφεθείη συζύγια· εἰ βούλει δὲ καὶ τοὺς ἐνεργουμένους τῶν θείων ἀξιώσομεν μυστηρίων, ἐπεὶ καὶ τοῦτο τινὲς ἀξιοῦσι τῶν ἁπλοϊκῶν καὶ ἀρχαίων. καὶ τὰ τῆς θείας μυσταγωγίας ὡς ἐκείνοις ἡμῖν ἐπιτελεσθείη,

7 Μάρκῳ] Marci Anton. I, 7 Stich  11 συγκατίθεσθαι K  15 Παῦλον] cf. Cor. 2, xii, 2-4  23 ἱεροῦ γράμματος] cf. Hierem. viii, 23

οὐ τῷ ἐπιτυχόντι διαφόρῳ τῶν νῦν ἐπιτελουμένων διενηνοχότα. ἀκούω δὲ καὶ Ἀλεξανδρέας, τῶν κυριακῶν ὑπαναγινωσκομένων λογίων, τοὺς προέδρους μὴ ἐπανίστασθαι, ἡμῶν ὥς τι τῶν ἐξαγίστων λογιζομένων τὸ καθέδρᾳ προσανέχειν τούτου γινομένου. ἐπικρατεῖ δὲ καὶ τοῦτο παρὰ τοῖς Ἰταλοῖς, συνεισάκτους ἐπάγεσθαι (ἴσως ἀποστολικῷ ἔθει, οἳ καὶ αὐτοὶ γυναῖκας ἀδελφὰς περιῆγον) καὶ πολέμοις τοὺς ἱερᾶσθαι λαχόντας ἐγκρίνεσθαι. ἀλλ' οὔτε νόμος, ᾗ φθάνομεν εἰρηκότες, τὸ ἰδιάζον, κἂν νέον, κἂν παλαιὸν ἦν, οὔτε τὸ μέχρι δεῦρο σεσιγημένον ἀνανεοῦν δίκαιον, παλαιοὺς δή τινας νεκροὺς ἀναμοχλεύειν πειρώμενοι καὶ κινεῖν τὰ ἀκίνητα. ἐνὶ δὲ λόγῳ, μὴ τοσοῦτον λογισμοῦ ἀποσφαλείην, θεὲ τῶν ὅλων καὶ κύριε, ὃς δίδως ἀνθρώπῳ σοφίαν καὶ σύνεσιν, ὡς τοῖς ἐνεργουμένοις συντάττειν κράτος θεοφιλὲς καὶ τῶν πιστῶν ἐγκαλλώπισμα· μεθ' ὧν οἱ τοῖς ἑαυτῶν συνηγορεῖν ἐνθυμήμασιν ἀκράτῳ φιλοτιμίᾳ ἐχόμενοι τοὺς σωφρονοῦντας συνάγουσιν, μέχρι * πῦρ σκάλλοντες καὶ τὸ τοῦ λόγου καὶ καπνὸν φεύγοντες εἰς τὸ πῦρ* ἐναλλόμενοι, Διονυσίῳ πειθόμενοι δῆθεν. ἀλλ' εἴη μοι μετὰ Παύλου καὶ τῶν πατέρων ἐκείνων τετάχθαι, οἳ Διονύσιον ἀγνοήσαντες σώφροσι τοὺς ἡμαρτηκότας κατέλεξαν καὶ χώρᾳ τῇ προσηκούσῃ τῶν ἐνεργουμένων, ὡς θέμις πάντῃ, τούτους ἀλλοτριώσαντες.

## 5.

***Τοῦ αὐτοῦ τοῖς κατὰ Νικόλαον μητροπολίταις τὸν πατριάρχην παραιτήσασθαι βιαζομένοις.***

" Αἰτεῖτε ", φησὶν ὁ θεῖος ἀπόστολος, ὁ Ἰάκωβος, " καὶ οὐ

1 διενηχότα K 2 Ἀλεξανδρέας] cf. Sozom. VII, 19, 6: Ξένον δὲ κἀκεῖνο παρὰ Ἀλεξανδρεῦσι τούτοις· ἀναγινωσκομένων γὰρ τῶν εὐαγγελίων οὐκ ἐπανίσταται ὁ ἐπίσκοπος, ὃ παρ' ἄλλοις οὔτ' ἔγνων οὔτ' ἀκήκοα. 4 τούτου*: τοῦ K 6 οἳ] scil. ἀπόστολοι 10 κινεῖν τὰ ἀκίνητα] cf. Gaisford, Paroem. p. 121, 165 12 σύναισιν K; cf. Paral. 2, I, 12 12/13 τοῖς ἐνεργουμένοις] scholion in marg. codicis: ἔφασκον ὅτι καὶ τοῖς δαιμονῶσιν ἐφεῖται μετάληψις τῶν θείων μυστηρίων. 15/16 μέχρι πῦρ — ἐναλλόμενοι] locus corruptus; an μέχρι ⟨περ ἂν⟩ πῦρ σκάλλοντες - - - καὶ καπνὸν φεύγοντες εἰς τὸ πῦρ ⟨ἐμπέσωσιν⟩ ἐναλλόμενοι? 16 καπνὸν—ἐναλλόμενοι] cf. Gaisford, Paroem. p. 224. 20 post ἀλλοτριώσαντες in codice legitur scholion: Ζήτει τὴν Διονυσίου γραφὴν εἰς τὸν ιγ' κανόνα τῆς α' οἰκουμενικῆς συνόδου. τὸν αὐτοκράτορα Ῥωμαίων λέγει· αὐτὸν γὰρ ἐν τῷ πρώτῳ τῶν ἠθικῶν αὐτοῦ μὴ ταχέως ἀναγινώσκειν φησί. 23 βιαζόμενοι K; post βιαζόμενοι scholion: Οὐ διὰ τὴν τετραγαμίαν ἦν μόνον τῇ Ἐκκλησίᾳ ὁ τάραχος, ἀλλὰ καὶ διὰ τὰ κατὰ Φώτιον καὶ Ἰγνάτιον. καὶ τοῦτο δῆλον ἀπὸ τοῦ τῆς Ἑνώσεως Τόμου, " ἀλλὰ καὶ ἔτι τὸ ἐκκλησιαστικὸν κλυδώνιον " δηλοῦντος. ἀπὸ δὲ τοῦ κῦρ Λέοντος, καθ' ὃν ἡ τετραγαμία, ὀλίγα τὰ ἔτη. 24 Iac. IV, 3



λαμβάνετε, διότι κακῶς αἰτεῖτε ". τοὺς αὐτοῦ λόγους κἀγὼ δανεισάμενος παρ' αὐτοῦ, φημὶ πρὸς ὑμᾶς αἰτοῦντας μὴ λαμβάνειν· ἄλογον γὰρ ὢν ἔφθη πατριάρχης χειρὶ βασιλέως ἀλλοτριώσας, τούτων ὑπεκστῆναι πάλιν ὑμᾶς προτρέπεσθαι· οὐ γὰρ σωφρόνων ἤδη τῶν οὐδὲν προσηκόντων ἀναχωρεῖν τινα παρακαλεῖν, ὅτι μηδὲ τὸν πλούτου ἐκπεπτωκότα τῆς ὧν ἐστέρηται κτήσεως. οὐκ ἂν οὖν λάβητε παρὰ τοῦ μὴ ἔχοντος. ἀλλὰ τὸ μὲν τοιοῦτον· ἑτέρῳ δὲ πάλιν λόγῳ, εἴπερ ὑμῖν ἔχειν τὸν θρόνον δοκῶ, οἷς εὔκολα τὰ ἐπελθόντα καὶ ἀνόσιμα πάντα, καὶ τοῖς ἱεροῖς τοῦτο κανόσιν ὅσιον καταφαίνεται, ἐκ προστάγματος τοῦ θρόνου ἀναχωρεῖν, καὶ ἐπὶ τοιούτοις εἴξομεν καὶ ἡμεῖς· πῶς γὰρ οὔ; εἰ δὲ τούτων οὐδέν, οὔτ' ἂν ἡμεῖς πράξομεν ἃ μὴ δεῖ, τῆς ἱερωσύνης ἑαυτοὺς ἀπελαύνοντες, οὔτε τοὺς ἀξιοῦντας ὑμᾶς καὶ τούτῳ μετὰ τῶν ἄλλων ἀτόπων ἁλῶναι τῷ κακῷ ἀνεξόμεθα. οὐ τῆς ἱερωσύνης τῇ παραβάσει κἂν τούτῳ τῶν θείων νόμων ἀπαμφιάζεσθαι, δι' οὗ μηδὲ τὸ ἀξιούμενον δίκαιοι ὑποδέξασθαι, εἴπερ ἱερεῦσιν, ἀλλ' οὐκ ἀνιέροις ἡ τῶν τοιούτων συμβολαίων παρακαταθήκη πιστεύεται. κήδομαι γὰρ ὑμῶν, ὥς γε θεῖος θεσμός, καὶ μετὰ τοσαύτην καθ' ἡμῶν ἀγριότητα, καὶ ἐποικτίζομαι τῆς ἀγνοίας οὓς καὶ εἰς τόδε πολλὰ διατελέσας διαβαστάζειν καὶ τό γε μέρος πρὸς τὸ εὐθὲς ἐπανάγειν. τοιγαροῦν κατ' ἄμφω διαμαρτάνουσιν ὑμῖν τῆς αἰτήσεως οὐδὲ τὸ λαβεῖν ὑπολείπεται· πρὸς γὰρ τὸ ἐξ ἀρχῆς ἀνατρέχοντες εἰς ἀσφάλειαν κατακλείομεν τὸν λόγον, " διότι κακῶς αἰτεῖτε " ἀποφαινόμενοι.

## 6.

***Τοῦ αὐτοῦ Ῥωμανῷ τῷ βασιλεῖ.***

Ἐπὶ μεγάλῳ κατορθώματι τῆς νῦν ἐνεργουμένης κοσμικῆς εἰρήνης καὶ ὃ μηδεὶς ἤλπισεν ἀνθρώπων, ἐκ μόνης δὲ τῆς τοῦ ὑπεραγάθου θεοῦ ἀνυπερβλήτου χρηστότητος ἀποτελεσθέντι, αὐτῷ τῷ μεγάλα καὶ θαυμαστὰ ποιοῦντι θεῷ τὰς εὐχαριστηρίους ἀναπέμπομεν φωνάς, ὡς δυνατὸν ἀνθρωπίνῃ φύσει. σὲ δέ, βασιλεῦ θεόστεπτε, ἐφ' οὗ ταῦτα ηὐδόκησεν ὁ ἀγαθὸς θεὸς τοῖς ὑποχει-

8 ὑμεῖν K 12 πράξωμεν K 13 τοῦτο K 18 ἡμῶν K 20 διατελέσαν K; vielleicht διετέλεσα Kurtz 22 ὑπολείπται K 23 αἰτεῖται K 30 εὐχαριστίους K

ρίοις ὑμῶν βραβευθῆναι, τιμῶντες καὶ τῆς εὐτυχίας τοῦ τοσούτου μακαρίζοντες ἀγαθοῦ, ἀφ' ὧν ἡ πενία ἡμῶν εὐπορεῖ δεξιοῦσθαι τετολμήκαμεν, ἀνάξια μὲν ἴσως τῆς σῆς τοῦ λαμβάνοντος τύχης καὶ δόξης, ἀλλὰ τῆς προθυμίας ἡμῶν ἐκ περιχαρείας τῶν τελουμένων τοῦ μεγάλα νομισθῆναι οὐκ ἐλαττούμενα, καὶ μάλιστα ὅτι τοιούτοις τὸ ἐπίγειον κράτος δωροφοροῦμεν, ὁποίοις καὶ τὸν ἀνώτερον πάσης ἀρχῆς καὶ ἐξουσίας θεόν. θυμίαμα γὰρ ἐκλεκτὸν τὸ δωρούμενον, ἐν χρυσαργύρῳ σκεύει τεταμιευμένον· τί διὰ τούτου αἰνιττόμενοι καὶ εὐχόμενοι; τὸ εἰς ὀσμὴν εὐωδίας θεῷ καὶ ἀνθρώποις προβῆναι τὰ νῦν ἐπὶ τῇ κοσμικῇ εἰρήνῃ διοικούμενα καὶ τῷ ἀπὸ τῆς βασιλείου ὀσφύος εὐγενεῖ βλαστήματι εἰς σύνδεσμον ἀδιάσπαστον τῆς εἰρήνης πρὸς γάμον ἐκδιδομένῳ καλλίτεκνον καὶ πολύτεκνον προβῆναι τὸ ἔργον, ἵνα μὴ μόνον ἡ Ῥωμαίων ἀρχὴ καὶ βασιλεία διὰ τῆς σῆς κοσμῆται αὐτοκρατορικῆς δόξης, ἀλλὰ καὶ τὰ βάρβαρα ἔθνη διὰ τοῦ συγγενοῦς ὑμῶν ἐγκεντρίσματος ἐξημερῶται καὶ πρὸς ἀνθρωπίνης ζωῆς ἀρετὴν μεταποιῆται καὶ μεθαρμόζηται.

## 7.

### *Τοῦ αὐτοῦ πρὸς τὴν σύνοδον.*

Περὶ τῶν ἄνευ χειροθεσίας τῆς μυστικῆς καὶ θείας τῷ ὄντι κατατολμησάντων λατρείας οὕτω γινώσκω παλαιοῖς ἐπιρρωννύμενος ὑποδείγμασι μετὰ καὶ τοῦ κρίνειν εἰδέναι, ὅσον ἐκεῖνα τὸ ἧττον (οὐμενοῦν ὅσον εἰπεῖν τῶν καθ' ἡμᾶς καὶ νέων) ἀποφερόμενα· ἐκεῖ μὲν γὰρ λίθιναι πλάκες καὶ στάμνος πλήρης τοῦ μάννα καὶ ῥάβδος βλαστήσασα καρυΐνη (μικρά, κατὰ τὸν εἰπόντα, καὶ μικρῶν ἐθνῶν γέρα), ἐνταῦθα δὲ ἄρτος μὲν καὶ οἶνος, ἀλλ' ἐπισκιάσει πνεύματος θείου ὅσαι ἡμέραι τῆς λειτουργίας τὸν μονογενῆ υἱὸν τῶν πατρικῶν κόλπων ἀπανιστᾶν οἰκονομοῦντος· ὃ καὶ τῇ συλλήψει τὴν θείαν διέπλαττε σάρκωσιν, καὶ τῇ τούτων ἐπιστασίᾳ τὸν οἶνον μὲν εἰς αἷμα μετακιρνῶν τῶν εἰδωλικῶν αἱμάτων ἀποκαθαῖρον τὸ ἄγος, εἰς σάρκα δὲ θείαν τὸν ἄρτον μεταποιοῦν, τὸ τῆς σαρκὸς ὀλίσθημα τοῦ προπάτορος Ἀδὰμ ἐξιώμενον καὶ κόσμῳ

14 κοσμεῖτε K 17 μεθαρμόζεται K 24 λίθιναι — καρυΐνη] cf. Deut. x, 1-5. Exod. xvi, 33. Nom. xvii, 8-13 28 ὄχα καὶ K 29 διέμπλαττε K 32 ἰξιώμενον K



παντὶ ἀλλ' οὐ γωνίᾳ τοῦτο παραπεμπόμενον. εἴπερ οὖν ἐπὶ τοῖς πολλῷ τῷ μέσῳ τούτων ἀπολειπομένοις, τῶν καθ' ἡμᾶς φημι καὶ τοῖς πολλοῖς ἀψαυστουμένων φρικτῶν μυστηρίων, Ὀζᾶν μέν, περισπασθείσης ὑπὸ τοῦ ἕλκοντος μόσχου τῆς ἁμάξης, ἧς ἔποχος ἡ τὰ παλαιὰ μαρτύρια περιέχουσα, ὑφ' ᾧ παρείχετο εἰς γῆν τε ταύτην καταβληθῆναι καὶ συντριβῆναι, ὁ δὲ τὸ μέρος ἀνέσχε τε καὶ καταπεσεῖν οὐκ ἀφῆκεν, ἀλλ' οὖν τῷ μὴ τῆς ἱερατικῆς φατρίας τελεῖν διακοπῆς τὴν τόλμαν κἂν εἰς σωτήρια τῇ λάρνακι ἀντηλλάξατο. καὶ αὖθις Ὀζίας ὁ βασιλεὺς ἅτε βασιλεὺς θυμιᾶν ἐν τῷ τοῦ Σολομῶντος ναῷ ἀπαυθαδισάμενος λέπραν τῆς αὐθαδείας ἐνεπορπήσατο, ἣ καὶ τῆς λοιπῆς συναυλίας τοῦ Ἰουδαίων ἔθνους ἀλλότριον αὐτὸν ἤλεγχε, πῶς ἂν καὶ τίνος ἄξιοι συγγνώμης, τὸ τῶν θύραθεν ἀκριβασμάτων ἐρεῖν, οἱ περιρραντηρίων χάριν, τῆς ἱερᾶς φημι χειροθεσίας, τῶν θείων κατατολμήσαντες τῆς μυσταγωγίας; ἀλλ' οὐχὶ πόρρω καὶ ⟨τῆς⟩ τῶν χριστιανῶν ἐνδίκως ἀπορριφεῖεν μερίδος, ἐκεῖνο καὶ παρ' ἡμῶν ἀκούοντες νῦν, ὅπερ καὶ Κάιν; "οὐκ ἂν ὀρθῶς μὲν προσενέγκῃς, εἰ μὴ καὶ ὀρθῶς διέλῃς"· καὶ τὸ "ἴδετε οἱ καταφρονηταὶ καὶ θαυμάσατε, ὅτι θαυμάσια ἔργα ἐγὼ ἐργάζομαι λέγει κύριος". καὶ τίνα ταῦτα; ἅπερ ἑαυτῷ ἕκαστος προυμνηστεύσατο· "ἕκαστος γάρ" φησι "κατὰ τὸν ἴδιον κόπον μισθὸν λήψεται". καὶ ὁ θεοπάτωρ Δαυίδ· "ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ἐξώσθησαν καὶ οὐ μὴ δύνωνται στῆναι". ποίας γὰρ ἂν στάσεως ἀντιποιηθεῖεν οἱ τὸν υἱὸν τοῦ θεοῦ παραλελογισμένως καταπατήσαντες καὶ τὸ τῆς Καινῆς Διαθήκης ἀμβρόσιον αἷμα οὐδὲν ἔχειν πλέον οἰηθέντες τῶν κοινῶν καὶ βεβήλων αἱμάτων, ἀνευλαβῶς ἄγαν καὶ μαγειρικῶς, ἵνα μὴ ἀθέως λέγω, τῇ ἑαυτῶν ἐπιστρέψαντες προπετείᾳ ἱεροτελεστικῶς χρήσασθαι καὶ κατακαλεῖν τὴν ἄνωθεν ἐπιφοίτησιν τοῦ παρακλήτου εἰς τὸ μετασκευάζειν τε καὶ ποιεῖν εἰς ἐκεῖνο, εἰς ὅπερ αὐτοῦ τοὺς μετόχους ἡμᾶς ἐπηγγείλατο γίνεσθαι; οἷς μηδὲ τὸ τυχὸν πνεῦμα, μὴ ὅτι γε θεῖον, δι' ἀναίδειαν ἄκραν αἰτοῦσι παρουσιάσαι παρακεχώρηται. ἀλλ' ἀνάγκη οὕτω προβῆναι, ἐρεῖ τις, ἐπέ-

3/8 Ὀζᾶν — ἀντηλλάξατο] cf. Reg. 2, vi, 1-8 5 μαρτύρια] cf. Exod. xl, 18 6 ἀνέχετε K 8/11 καὶ αὖθις — ἤλεγχε] cf. Paral. 2, xxv, 16-20 14 τῆς inserui 16 κάην K 16/17 Gen. iv, 7 18/19 cf. Hab. i, 5 19 φησι] cf. Cor. 1, iii, 8 20 Δαυίδ] Psalm. xxxv 13 22 δύνονται K 30 ἀνέδειαν K

τρεψεν· ἀλλ' ἀκουέτω, ὡς οὐδεμία ἀνάγκη τῶν ἑαυτοῦ ὅρων ἐξίστασθαι καὶ ζῆν ἀνταλλάττεσθαι ἀθεότητος· οὐδὲ ἐκφεύξονται τιμωρίας καὶ τῆς ἐσχάτης οἱ τηλικαύτης ἀφειδήσαντες παρανομίας ὅτι μηδ' ὅσοι τῶν ἀκαταπτύστων πρόσωπον ὑποδύντες βασιλέως καὶ τὴν ἁλουργὸν ἐσθῆτα ἐπισπασάμενοι ἀνεύθυνοι τὸ παράπαν· οὐδ' οἱ ἐπιτεθυκότες χριστιανοὶ εἰδώλοις ἀνέγκλητοι, τέχνῃ πανουργοτάτῃ τὴν ἑαυτῶν σωτηρίαν ἐμπορευσάμενοι. κἀγὼ μὲν ταῦτα· εἰ δέ τις περιουσίᾳ σοφίας τούτων ὑπέρτερον ἔχει τι νοεῖν, μόνον εἰ τῶν ἀπροσκόπων ἐξέχοιτο ταῦτα καὶ ἀκαταγνώστων συνεπιλήψει θείων πραγμάτων, οὐχ οὕτως ἰδιογνώμων ἐγὼ καὶ σοφὸς παρ' ἐμαυτῷ, ὡς καὶ τὸ "οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες".

---

2 ἐκφεύξωνται K 10/11 Es. v, 21

# XIII.

# ΙΩΑΝΝΗΣ ΠΑΝΤΕΧΝΗΣ.

## ΚΟΣΜΑΣ ΑΤΤΙΚΟΣ.

1.

***Τοῦ τιμιωτάτου χαρτοφύλακος τῆς ἁγιωτάτης τοῦ θεοῦ Μεγάλης Ἐκκλησίας κυροῦ Ἰωάννου τοῦ Παντεχνῆ πρὸς τοὺς ἐρωτήσαντας, εἰ προσκρούομεν κρεωφαγοῦντες ἢ μὴ κατὰ τὰς Τετράδας καὶ Παρασκευάς, τὰς ἐν μέσῳ τῆς πρώτης καὶ τῆς ὀγδόης τῶν ἁγίων ἡμερῶν.***

1. Νηστείᾳ καὶ ἐγκρατείᾳ τῆς Ἐκκλησίας τοῦ θεοῦ ἐγκαλλωπιζομένης, ἔνθα ἔχομεν ῥητὴν περὶ νηστείας νομοθεσίαν φυλάξομεν, εἰ μή τοί γε κατὰ πολλὴν ἀνάγκην καταλύομεν, ὡς οἱ θεηγόροι ἀπόστολοι κανονίζουσι· λύσομεν δὲ τὴν νηστείαν ἐννόμως, ὅταν τοῦτο προσταχθῶμεν. Σάββατον γὰρ (ἄνευ ἑνὸς) ἢ Κυριακὴν οὐ νηστεύομεν. τὰς γοῦν τῆς Πεντηκοστῆς ἡμέρας ὅτι ἀνεσίμους ἔχομεν, οὐδεὶς ὁ ἀγνοῶν· ὅτι ἑορτάζομεν ἐν ταύταις καὶ γόνυ οὐ κλίνομεν, οὐδεὶς ὁ ἀμφιβάλλων· πλὴν ἐὰν ἐν τούτῳ χρὴ τὴν ἑορτὴν ὁρίζειν, ἐν τῷ κατατρυφᾶν καὶ κρεωφαγεῖν διόλου, οὐκ ἔχω λέγειν αὐτός. περὶ μὲν γὰρ νηστείας τῆς Τετράδος καὶ Παρασκευῆς ῥηταὶ τῶν θείων κανόνων αἱ διατάξεις καὶ πολλὴ περὶ τούτου ἀκρίβεια καὶ τὰ τῶν ἐπιτιμίων τοῖς τούτων καταφρονηταῖς οὐχὶ

---

F = codex Cahirensis chartaceus, s. xiv (Num. ant. 911), f. 417—422.
13 κανονίζουσι] cf. can. apoctol. LXIX

μέτρια. περὶ μέντοι τοῦ ἀδιαφόρως ἐν τῇ ὅλῃ· κρεωφαγεῖν Πεντηκοστῇ οὐδέν τι ῥητῶς καὶ διωρισμένον ἐκτέθειται· δοκοῦσι δὲ τοῦτο συνάγειν οἱ πλείους ὡς μίαν ἡμέραν καὶ ἀδιάτμητον ἑορτὴν τὴν ἀπὸ τῆς ἀναστασίμου μέχρι τῆς Πεντηκοστῆς προφέρειν ἐθέλοντες καὶ τὴν αὐτὴν ἐκ τούτων φυλάττεσθαι διὰ πάντων παρατήρησιν ἀξιοῦντες καὶ ἀπὸ τοῦ κελεύοντος κανόνος γόνυ μὴ κλίνειν καὶ ὡς Κυριακὰς ταύτας λογίζεσθαι τὰς τοιαύτας νομοθετοῦντες. ἐγὼ δ' ὅτι μὴ γονυκλιτεῖν ἐν ταύταις χρή, νενομοθετημένον ἔχων καὶ ἑορτάζειν φυλάττω καὶ δέχομαι· ἔχων δὲ καὶ τὸν ὅρον τῆς ἑορτῆς ἐξ ἑτέρου κανόνος, τοῦ ξς' τῆς ς' συνόδου, καὶ ἄλλων πολλῶν, πῶς καὶ ἐν τίσι δεῖ ἑορτάζειν, ὅτι ἐν Γραφῶν ἀναγνώσει, ἐν τῷ κατατρυφᾶν τῶν ἁγίων μυστηρίων, ἐν τῷ σχολάζειν τοῖς θείοις ἁπλῶς, οὐκ ἐν τῷ κρεωφαγεῖν σεμνύνω τὴν ἑορτήν· ἀλλὰ καταλῦσαι μὲν τὴν νηστείαν ὡς ἑορτάζοντας οὐκ ἀποτρέπομαι, μὴ ξηροφαγοῦντας ἐν ταύταις, ὡς ἐν ταῖς λοιπαῖς Τετράσι καὶ Παρασκευαῖς, ἐλαίου καὶ ἰχθύων γευομένους· τὸ δὲ κρεωφαγεῖν ἀνευλαβὲς οἶμαι, μὴ ῥητὴν ἔχον τὴν ἀπὸ τῶν κανόνων ἐπιτροπήν.

2. Ταῦτα τὰ χθὲς λαληθέντα· ἀλλὰ τούτων οὐκ ἀκούειν ἀνέχονται οἱ τῷ ἔθει χρώμενοι μάλιστα ἐν ταῖς δυσὶ ἑβδομάσι, τῇ τοῦ Πάσχα ταύτῃ καὶ τῇ μετὰ τὴν Πεντηκοστήν, καὶ τοῖς ἄνωθεν εἰρημένοις εἰς πλείονα βοήθειαν συγκροτούμενοι, ἀλλὰ ἀδιστάκτως τῇ ἐλευθερίᾳ καὶ ἐν βρώμασι κέχρηνται. εἰσὶ δὲ οἱ τὰς μεταξὺ τῆς Πεντηκοστῆς Τετράδας καὶ Παρασκευὰς διὰ τὸ καὶ σταυρώσιμον ὑμνῳδίαν συμπλέκεσθαι παραφυλάττειν ἐθέλουσιν οὐκ αὐστηρῶς ἐν ξηροφαγίαις, ἀλλ' ἐν τῇ ἄνωθεν εἰρημένῃ τῶν ἰχθύων καὶ τοῦ ἐλαίου παραμυθίᾳ.

## 2.

***Ἀντιρρητικὸν πρὸς αὐτὸν τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως κυροῦ Κοσμᾶ.***

1. Οὐκ οἶμαι τὸν ἐνταῦθα πευθόμενον περὶ συγκρίσεως ἐγκρατείας καὶ ἀδηφαγίας τὸν λόγον ποιεῖσθαι· δῆλος γάρ ἐστιν ὁ ἀνὴρ ἐξ

6 κανόνος] sc. can. XCI Basilii; vide Σύνταγμα canonum t. IV, p. 286-288. 17 ἔχον *: ἔχων F; cf. p. 283,20 32 ἀδδηφαγίας F



ὧν ἐρωτᾷ, ὅτι συνέλαβε φόβον θεῖον καὶ πνεῦμα σωτηρίου ἀποκυΐσκειν ἤθελε· ἀγνοεῖ δὲ διαιρεῖν τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος καὶ ὅτι τοῦ χορτασμοῦ τῆς κοιλίας τοσοῦτον ὑπερέχει ἐγκράτεια, ὅσον οὐρανὸς ἀπέχει τῆς γῆς (ἢ πῶς ἄρα τοῦτο μὴ ἔσται;)· ἥτις μετὰ προσευχῆς κατὰ τὸν τοῦ κυρίου λόγον ἀποδιώκει τοὺς δαίμονας, τοὺς ἐξ οὐρανοῦ πεσόντας καὶ τοῖς ἐν γῇ τὰ τῆς γῆς φρονοῦσι πολλάκις πευδεύσει θείᾳ παρενοχλοῦντας. οὐκ ἔστιν, οὐκ ἤρετο τὴν ἐμὴν κρίσιν περὶ τῆς τοιαύτης διαφορᾶς ὁ συνετὸς οὗτος ἀνήρ, ἀλλ' ἠρώτησεν, εἰ προσκρούομεν κρεωφαγοῦντες ἢ μή, ἀλλὰ κατὰ τὰς λεγομένας Τετράδας διὰ συνήθειαν καὶ Παρασκευάς, τὰς ἐν μέσῳ τῆς πρώτης τε καὶ πεντηκοστῆς τῶν ἁγίων ἡμερῶν, καὶ εἰ κρῖμα ἔσται ἡμῖν κρεωφαγοῦσι καὶ εἰ περὶ τούτου λόγον ἀποδώσομεν ἐν ἡμέρᾳ κρίσεως. ἴδιον οὖν ἀγαγεῖν τὸν τελειότατον ἄνδρα τοῦτον πρὸς τὰ παρὰ τῶν θεοφόρων ἀνδρῶν θεσπισθέντα, ἢ ἀγνοοῦντα ἢ τὴν ἄγνοιαν προσποιούμενον, ᾧ καὶ μᾶλλον προστίθεμαι, πρὸς ἔλεγχον τῶν νῦν διδασκάλων τῆς Ἐκκλησίας. ἐκεῖνοι γὰρ βρενθυόμενοι τῇ δοκούσῃ γνώσει αὐτῶν, πρὸς ἐπιχειρήματα καὶ ἰδίας κοιλίας ἐρεύγματα μεταχλινόμενοι (τὸ λεγόμενον) ἐρυγγάνουσι. τίς εἶ σύ, ὦ ἄνθρωπε, ὃς ἀντιλέγειν τῷ μεγάλῳ Βασιλείῳ, ἵνα μὴ τοῖς ἄλλοι λέγω, τολμᾷς; οὐκ ἤκουσας, ὅτι Βασιλείου φωναὶ θεοῦ φωναί; οὐκ ἤκουσας, ὅτι μόνος οὗτος ἀνδρῶν ὡς ἐξ οὐρανοῦ προκύψας ἐλάλησε; οὐκ ἀνέγνως τὰς ἐν ταῖς θείαις καὶ μεγάλαις συνόδοις περὶ αὐτοῦ μαρτυρίας; οὐκ ἠνωτίσω τὸ ἀνάθεμα τὸ ἀφωρισμένον τοῖς ἐναντιουμένοις τοῖς ἐκείνου δόγμασιν; ἔδει σε εἰπεῖν πρὸς τὸν ἐρωτήσαντα· " Βασίλειος εἶπε τάδε· οὐκ ἔστιν ἀντειπεῖν, Βασιλείου θεσπίσματα ". τί δὲ εἶπε Βασίλειος; τοῦτο φησί, ἵνα συνελὼν εἴπω· ὅτι ἡ πεντηκοντὰς τῶν ἡμερῶν τύπος ἐστὶν τῆς μιᾶς ἐκείνης καὶ ἑνιαίας καὶ ἀνεσπέρου ἡμέρας, καὶ ὥσπερ οὐκ ἔστιν ἐν ἐκείνῃ τὸ δευτέρα καὶ τρίτη καὶ τετρὰς καὶ πέμπτη καὶ ἕκτη, ἑβδόμη τε καὶ ὀγδόη, οὕτως οὐδὲ ἐν ταύτῃ τοιαῦτα μέτρα περινοήσωμεν, ἀλλ' ἐννοηματικῶς ὡς μίαν ἡμέραν περιλαβούμεθα τὰς πεντήκοντα. ἢ γάρ, εἰ μὴ θέλεις δέχεσθαι τὸ κατ' ἔννοιαν ἐν τοῖς δόγμασιν, οἱ-

5 κυρίου λόγον] cf. Matth. XVII, 21 7 παραινοχλοῦντας F 12 ἀποδόσωμεν F 23 ἀφορισμένον F 26 φησί] cf. Basilii de spir. sancto 67 (Migne t. 32, p. 192).

χεται κατὰ σὲ τὸ πᾶν τῆς οἰκονομίας μυστήριον. σὺ δέ, ὅστις ἂν ᾖ ὁ ἐρωτῶν, συνετώτατε, φάγε ἐν ταῖς ἡμέραις ταύταις εἰς δόξαν τοῦ θεοῦ πᾶν τὸ παρατιθέμενον· μόνον μὴ τῇ γαστρὶ πρὸς κόρον χαρίζου. εἰ γὰρ ἐκ χίδρων καὶ λαχάνων τὴν κοιλίαν πληρώσεις κἀντεῦθεν ἐμποδισθῇς πρὸς τὸ τὰ θεῖα περινοεῖν καὶ ἐξυμνεῖν τὸν θεόν, τῷ αὐτῷ προσέκρουσας παραπτώματι. πείθου τῷ πάντα θεσμοθετήσαντι θεῷ, τὰ μὲν δι' ἑαυτοῦ, τὰ δὲ δι' ὧν ἐκεῖνος ἀπέστειλε· πρὸς τοὺς κανόνας ἀφόρα καὶ τὴν ἐκείνων ἀκαπήλευτον καὶ ἀνεπιτήδευτον προφοράν τε καὶ ἔννοιαν, τοὺς δὲ νῦν διδασκάλους, τοὺς τὴν κάμηλον καταπίνοντας καὶ τὸν κώνωπα διυλίζοντας, ἔα φρονεῖν τὰ ἑαυτῶν· ὅπως δὲ φρονοῦσιν, ἐξ ὀλίγων ὧν γεγράφασι περὶ τοῦ μὴ δεῖν ἐν ταῖς Τετράσι καὶ Παρασκευαῖς τῆς Πεντηκοστῆς κρεωφαγεῖν, τὸ νόημα γνωρίσεις αὐτῶν, ὡς ἐξ ὀνύχων τὸν λέοντα καὶ ἀπὸ κρασπέδου τὸ ὕφασμα. ἴδε, φασίν, ὅτι καὶ ἐν ταῖς Τετράσι καὶ Παρασκευαῖς ὕμνους σταυρωσίμους ἀναπέμπομεν τῷ θεῷ. τί δέ, ὦ λῷστοι, οὐ μᾶλλον τοῦτο ποιοῦμεν κἀν ταῖς κυρίαις καὶ πρώταις τῶν ἡμερῶν; οὐ σταυρωσίμως καὶ ἀναστασίμως κατὰ τοὺς ἐξ Ἱεροσολύμων ἐλθόντας κανόνας τοῦ θαυμαστοῦ καὶ ἡγιασμένου Ἰωάννου τοῦ Δαμασκηνοῦ τὴν οἰκονομίαν ἐξυμνοῦμεν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ; ἐγκύψατε ἐν αὐτοῖς ὀψέποτε καὶ ἐπίγνωτε, ὅτι τὰ πρῶτα τῶν ἐν ταῖς ἁπάσαις ᾠδαῖς τροπαρίων σταυρώσιμά εἰσι, τὰ δὲ δεύτερα ἀναστάσιμα. ἆρα καθ' ὑμᾶς κἀν ταῖς Κυριακαῖς οὐ κρεωφαγήσομεν. νηστευτέον οὖν πᾶσαν Τετράδα καὶ Παρασκευήν, τὴν μὲν διὰ τὴν μνήμην τῆς προδοσίας, τὴν δὲ διὰ τὴν μνήμην τῆς σταυρώσεως.

2. Ἃς δὲ ὡρισάμεθα Τετράδας καὶ Παρασκευὰς μὴ λογίζεσθαι, κατὰ τὰς νομοθεσίας τοῦ πάντα νομοθετήσαντος θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν θείων ἀποστόλων αὐτοῦ καὶ τῶν ἐκείνου δοξαζομένων ἁγίων καὶ θεοφόρων πατέρων ὡς Κυριακὰς νομιοῦμεν καὶ ἀφάτους καὶ οὐρανίους καὶ ὑψηλὰς λογιούμεθα· αἳ δὲ εἰσὶ πᾶσαι αἱ τοῦ κυρίου ἑορταὶ καὶ αὐτὴ ἡ ὅλη

10 τοὺς τὴν κάμηλον — διυλίζοντας] cf. Matth. xxiii, 24 13 γνωρίσης F 14 ἐξ ὀνύχων — ὕφασμα] Corpus paroem. I, p. 252.



Πεντηκοστή, καὶ τῆς Θεομήτορος αἱ πᾶσαι ἑορταὶ καὶ αἱ τῶν θείων καὶ πανευφήμων ἀποστόλων μνῆμαι τῶν δώδεκα, εἰ μήπω τῆς ὡρισμένης Τεσσαρακοστῆς ἐν μέσῳ ἡ τοιαύτη μνήμη καὶ ἑορτή. οὕτω παρελάβομεν ἐκ τῶν βιβλίων· οὕτω τοὺς πατέρας καὶ φωστῆρας τῆς Ἐκκλησίας, οἷς ἐν ζωῇ ἐνετύχομεν, τὰ παρὰ τῶν πρὸ αὐτῶν πατέρων αὐτοῖς καθεωραμένα ποιοῦντας ἐφεύρομεν. τί δέ, ὦ οὗτος; εἰ μὴ ὑμεῖς κατεδέξασθε ἐκ γερόντων τὴν τῶν πρὸ αὐτῶν ἰδόντων ἀκολουθίαν παραλαβεῖν ἐκκλησιαστικήν, ἀλλ' αὐτοὶ ἐσπουδάσατε, ἵνα μὴ λέγω τοὺς τρόπους, ῥαββῆδες καὶ ῥαββουνῆδες καλεῖσθαι ἐκ νεότητος, οἰχήσεται ἡ παλαιὰ τῆς Ἐκκλησίας παράδοσις; "οὐαὶ ὑμῖν, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον", τὴν δὲ δοκοῦσαν τιμίαν ὕλην τοῖς κιβωτίοις ἐναποσφίγγετε· "οὐαὶ ὑμῖν, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως καὶ οὔτε αὐτοὶ εἰσήλθετε καὶ τοὺς ἐφιεμένους εἰσελθεῖν ἀποτρέπεσθε".

3. Οἷον δέ σου καὶ τοῦτο διδάσκαλε. πόθεν ἐν Τετράσι καὶ Παρασκευαῖς ὅλως ἐπιτρέπεσθαι τὸ ἰχθυοφαγεῖν, τὸ δὲ κρεωφαγεῖν ἀποτρέπεσθαι εὗρες; τὰς νηστίμους τῶν ἡμερῶν παρὰ τῶν κανόνων παρελάβομεν ἐγκρατῶς διανύειν, κἀκεῖνα μόνα ἐν ταύταις ἐσθίειν, ὅσα ἀρχῆθεν ὁ θεὸς ἐσθίειν τῷ ἀνθρώπῳ ἐπέτρεψεν· "ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγεῖν, ἀπὸ δὲ τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε". ἄπυρα τοίνυν ἐσθίειν ἐν ταῖς νηστίμοις τοῦ χρόνου καὶ ταῖς ὅλαις Τετράσι καὶ Παρασκευαῖς ἐνετάλθημεν παρὰ τῶν πατέρων, καὶ φαγούμεθα μὲν ἄρτον ἐν ταύταις καὶ χίδρα καὶ τὰς ὀπώρας, ἐν δὲ ταῖς ἄλλαις πάντα φαγούμεθα. δύο δὲ περὶ τοῦ φαγεῖν νομοθεσίαι. ἐπεὶ γὰρ ἀπεώσθη τοῦ Παραδείσου ὁ ἄνθρωπος καὶ ἐν ἱδρῶσι τοῦ προσώπου τρώγειν κατεκρίθη τὸν ἄρτον, οἱ μετ' ἐκεῖνον καθεξῆς νόμον ἐντολιμαῖον οὐκ ἔχοντες αὐτοὶ νόμος ἦσαν ἑαυτοῖς, καὶ ἔτρωγον πάντα τὰ ζῷα ἀδιαφόρως, τά τε χερσαῖα καὶ τὰ ἐναέρια καὶ τὰ ἐξ ὑδάτων, ὡς λάχανα χόρτου. ὡς γὰρ ὁ ἄνθρωπος τὴν πρώτην ἐντολὴν τοῦ θεοῦ οὐκ ἐφύλαξεν, ὀργισθεὶς ὁ θεὸς καὶ τοῦ Παραδείσου αὐτὸν ἐκβαλὼν ἐξαπέστειλεν

9 ῥαβίδες καὶ ῥαβουνίδες F 11 cf. Matth. xxiii, 23 13/14 Luc. xi, 52 17 εὗρε F 19/21 cf. Gen. ii, 16-17 25 ἀπεώσθη etc] cf. Gen. iii, 19-24 28/29 ἔτρωγον — ὡς λάχανα χόρτου] cf. Gen. ix, 2 31 ἐξαπέστειλεν — καρδ. αὐτῶν] cf. Psalm. lxxx, 13

αὐτὸν καὶ τοὺς ἀπ' αὐτοῦ ζῆν κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν· ὅθεν Κάιν γεωργὸς καὶ Ἄβελ ποιμήν, καὶ προσήνεγκε Κάιν ἐκ τῶν ἐπισπορίων καὶ Ἄβελ ἐκ τῶν ποιμνίων. ἀλλ' ἓν μὲν ὁ Κάιν ἐπενόησεν ὀρθῶς τῶν ὀφειλομένων, τὸ προσαγαγεῖν τῷ θεῷ ἁπλῶς δῶρα, τὸ δὲ διελεῖν ὀρθῶς καὶ τῷ θεῷ μὲν τὰ κρείττω προσαγαγεῖν, ἑαυτῷ δὲ παραλιπεῖν τὰ ἐπίλοιπα κατημέλησεν· ὁ δὲ Ἄβελ ἄμφω καλῶς διενόησε, καὶ τὸ προσαγαγεῖν καὶ τὸ διελεῖν ὀρθῶς· καὶ ἐπεῖδεν ὁ θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ, ἐπὶ δὲ Κάιν καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ οὐκ ἐπεῖδε. καὶ σύνες ἐντεῦθεν τὴν δύναμιν τοῦ μυστηρίου, ὅτι ὁποῖα ἂν ἐσθίωμεν οἱ ἄνθρωποι εἰς δόξαν θεοῦ μετὰ πίστεως, ἀποδεκτὰ τῷ θεῷ, τὸ δὲ ἀδιαφορεῖν τῷ θεῷ ἀποτρέπεται. εἶτα τί; ἐξώκειλε τὸ ἀνθρώπινον κατ' ἐντολήν, ἀλλ' ἀφ' ἑαυτοῦ, πρός τε τὸ ἐσθίειν πάντα ἀδιαφόρως καὶ ἀκρατῶς καὶ πρὸς ἄλλην ἅπασαν ἀθεμιτουργίαν, καὶ ἐπελάθετο εἰς τὸ παντελὲς καὶ αὐτοῦ τοῦ θεοῦ τοῦ ποιήσαντος αὐτό. ἐντεῦθεν ἐνετάλθη θεόθεν Νῶε ὁ μόνος δίκαιος εὑρεθεὶς τότε τὰ περὶ τὴν κιβωτόν· ἐντεῦθεν κατακλυσμὸς καὶ σωτηρία τοῦ σπέρματος, οὗπερ διεφύλαξεν ὁ δίκαιος ἐν τῇ κιβωτῷ· ἐντεῦθεν δευτέρα θεοῦ νομοθεσία.

4. Ἐπεὶ δὲ δύο ταῦτα ἡμάρτηται τῇ ἀνθρωπίνῃ φύσει, τὸ πρῶτον μὲν καταφρονῆσαι θεοῦ τοσοῦτον, ὥστε καὶ πύργον ἐπινοήσασθαι πρὸς τὸ ἀνελθεῖν μέχρις οὐρανοῦ καὶ πόλεμον κροτῆσαι κατὰ θεοῦ καὶ εἰ δυνατὸν αὐτὸν ἐκεῖθεν κατασπάσαι καὶ προσαρράξαι τῇ γῇ, τὸ δεύτερον δὲ τὸ πάντα ἐσθίειν ἀδιαφόρως, τὴν μέσην ἔδραμεν ὁ θεός· τὴν μὲν θεογνωσίαν τοῖς μετὰ τὸν Νῶε ἀδιαλώβητον φυλάττειν παρεσκευάσατο, τῆς δὲ λοιπῆς ἀνέσεως, ἥτις ἐνεσκίρρωτο παρ' αὐτοῖς καὶ ἐκπεφυσίωτο παρὰ τῆς συνηθείας, ἧς οἱ πρὸ αὐτῶν παρέδοσαν, τῷ τέως αὐτοῖς παρεχώρησε καὶ "φάγεσθε πάντα" εἶπε "τὰ ζῷα ὡς λάχανα χόρτου, πλὴν ἐν αἵματι ψυχῆς οὐ φάγεσθε κρέα". οὗτος ὁ νόμος ἐκράτει μέχρι καὶ τοῦ μεγάλου Μωσέως· ἐπὶ δὲ ἐκείνου καὶ τοῦ θεόθεν ἐξ Αἰγύπτου ἐλευθερωθέντος λαοῦ τοῦ Ἰσραὴλ καὶ θαυμαστὰ ἰδόντος καὶ θεῖα τε-

2/9 Κάιν — ἐπεῖδε] cf. Gen. IV, 2-7 12/18 ἐξώκειλε — κιβωτῷ] cf. Gen. VI, 1-22 21 πύργον etc] cf. Gen. XI, 4-9 28 φάγεσθαι F 28/30 φάγεσθε-— κρέα] cf. Gen. IX, 3-4



ράστια ἔγγραπτος νόμος προέβη, ὃν ὁ θεὸς ἐλάλησεν, ὁ δὲ Μωϋσῆς ἐνεγράψατο· ἐν ᾧ καὶ περὶ ὧν ὁ τοῦ θεοῦ λαὸς φάγεται ῥητῶς περιείληπται, πρὸς δὲ καὶ περὶ ὧν ἀποπέμψεται. οὐ διεστάλη δέ, ὅτι ταῖς μὲν τῶν ἡμερῶν ὁ λαὸς κρεωφαγήσει, ταῖς δὲ ἰχθυοφαγήσει, ἀλλ' ἁπλῶς ἐκ πάντων ὁτεδήποτε φαγεῖται, πάντως οὐκ ἀνέτως ὡς τὰ ἄλογα ζῷα, ἀλλὰ συνεσταλμένως καὶ ἐγκρατῶς καὶ συνόλως εἰπεῖν λογικῶς. οὗτος ὁ νόμος ἐκράτει μέχρι καὶ τῆς θείας οἰκονομίας καὶ τῆς ἀναστάσεως, εἰ καὶ διὰ μέσου τινὰς ἰδικῶς ὁ θεὸς ἀπετρέψατο μὴ πιεῖν οἶνον καὶ σίκερα· καί τινες τὸν ἐρημικὸν κατασπάσαντες βίον ἐθαύμασαν τὸ ἀπόσιτον, οἷος Ἠλίας ὁ μέγας, ὃς μὴ φαγεῖν συνόλως ὅσον τὸ ἐπ' αὐτῷ ἔθετο· ὅπερ ἀπέτρεψεν ὁ θεὸς καὶ πεινῆσαι αὐτὸν παρεχώρησε καὶ γυναικὶ πεινώσῃ τοῦτον παρέπεμψεν ὡς τραφείη παρ' αὐτῆς, καὶ ἐν καιρῷ τῇ ἐξ οὐρανοῦ τροφῇ ἔθρεψε καὶ ἄλλοτε διὰ κόρακος· ὃς πρωΐας μὲν ἄρτον αὐτῷ προὐκόμιζε, δείλης δὲ κρέας εἰς τύπον μυστηρίου μείζονος, ὅτι οἱ τῆς νομοθεσίας τῆς παλαιᾶς τὸ αἰσθητὸν μάννα ἔφαγον ὡς ἄρτον οὐράνιον, οἱ δὲ ἀπὸ Χριστοῦ τοῦ νέαν καὶ καινὴν πολιτείαν νομοθετήσαντος ἄρτον μὲν φαγοῦνται, ἀμνὸν δὲ λογιοῦνται καὶ σῶμα Χριστοῦ. καὶ μακάριος ὃς ἂν ἐμπήγνυσι τοὺς ὀδόντας αὐτοῦ τῷ ἄρτῳ τούτῳ τῷ ζωτικῷ καὶ πιστεύει ὅτι αὐτὸν ἐκεῖνον μεταλαμβάνει τὸν ἀμνὸν καὶ βροτὸν ὁμοῦ καὶ θεόν.

5. Καὶ μετὰ τὴν ἀνάστασιν οὐδαμοῦ τοὺς ἀποστόλους εὑρίσκομεν, τοὺς διδασκάλους τῆς ἐγκρατείας, τὸ κρεωφαγεῖν ἀποτιθεμένους καὶ τὸ ἰχθυοφαγεῖν ἐπιτρέποντας, ἀλλ' ἁπλῶς τὴν νηστείαν ἤτοι τὴν ἐγκράτειαν νομοθετοῦντας, καὶ μάλιστα ἐν τῇ Τεσσαρακοστῇ καὶ ἐν ταῖς Τετράσι καὶ ἐν ταῖς Παρασκευαῖς. καὶ ἡ μὲν Τεσσαρακοστὴ παρεδόθη παρ' αὐτῶν εἰς μνήμην τῶν τεσσαράκοντα ἡμερῶν, καθ' ἃς ὁ κύριος ἐν ἐρήμῳ νενήστευκεν οὐδὲν οὐδόλως φαγών, ὁ μετὰ ταῦτα πεινάσας καὶ ταῦτα τῇ πείνῃ μὴ ὑποκείμενος, ἀλλὰ διὰ τὴν οἰκονομίαν καὶ ταύτῃ ἐνδούς, ὡς καὶ τῇ τελευτῇ καὶ τοῖς ἄλλοις· ἀνθ' ἧς νηστείας οἱ θεῖοι ἀπόστολοι ἐσκληραγωγημένην ἐγκράτειαν

2/3 ἐν ᾧ—ἀποπέμψεται] cf. Lev. XI 4 ἰχθυοφαγήσῃ F 9 οἶνον καὶ σίκερα] cf. Lev. X, 9. Num. VI, 3 10/15 Ἠλίας — κρέας] cf. Reg. 3, XVII, 1-12 12 πεινώσῃ*: πεινήσῃ F 16 μάννα ἔφαγον] cf. Iohan. VI, 31 28 νενήστευκεν] cf. Matth. IV, 2.

ἐν ταῖς τοιαύταις ἡμέραις ἐνομοθέτησαν, συγκαταβάσει χρησάμενοι καὶ τῇ ἀνθρωπίνῃ φύσει ἀκολουθήσαντες, εἰ καί τινες καὶ πρὸς τοῦτο ἀποβιάζονται τὸ ἀποσιτεῖν, τό τε πρὸς δύο καὶ τρεῖς καὶ πλείους ἡμέρας, ἢ καὶ αὐτὰς τὰ τεσσαράκοντα· οἵτινες διὰ τὸ θερμὸν τῆς πίστεως καὶ ἀμεταμέλητον φυλάττονται παρὰ τοῦ θεοῦ. τὴν δὲ Τετράδα πᾶσαν τοῦ ἔτους καὶ τὴν Παρασκευὴν ὁμοίως τῇ Τεσσαρακοστῇ φυλάσσειν παρέδοσαν διὰ τὴν προδοσίαν, ὡς εἴπομεν ἄνωθεν, καὶ τὴν σταύρωσιν.

6. Ἐπεὶ δὲ χάριτι Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν ἡ κατ' αὐτὸν πολιτεία διέδραμεν ἐκ περάτων εἰς πέρατα καὶ ἄνδρες ὑπερφυεῖς κατὰ γενεὰν καὶ γενεὰν διέλαμπον ἐν τῇ τοιαύτῃ πολιτείᾳ καὶ βιασταὶ διὰ τὴν τῶν οὐρανῶν βασιλείαν γεγόνασιν ἑαυτῶν καὶ πρὸς μίμησιν Ἠλιοῦ καὶ Ἰωάννου τὴν ἐρημίαν ἠσπάσαντο, καὶ οὐ μόνον τὸ κρεωφαγεῖν καὶ ἰχθυοφαγεῖν ἀπώσαντο, ἀλλὰ καὶ τὰς ἡδίστας τῶν ὀπωρῶν καὶ τὰ τῶν χίδρων ἤτοι τῶν ὀσπρίων παχύτερα, καὶ διέλαμψαν ἐν τῇ τοιαύτῃ πολιτείᾳ, οἷον ἐκεῖνοι οἱ περὶ τὸν Ἀντώνιον καὶ Παῦλον καὶ τοὺς Μακαρίους, τὸν Αἰγύπτιον καὶ τὸν ἄλλον, καὶ οἱ ἐκ τῶν ποταμῶν τούτων ἱερώτατοι ῥύακες, οἱ ἐν ἀσκήσει καὶ μοναδικῇ διαλάμψαντες βιοτῇ, εἶτα καὶ Θεοδόσιος ἐκεῖνος ὁ μέγας τὸν τοιοῦτον μοναχικὸν βίον εἰς κοινὸν μεταγαγεῖν ἐβιάσατο, ὥστε πολλοὺς ἐν ταὐτῷ συναγομένους τὴν τῶν μονοτρόπων ἐκείνων δίαιταν ἀκριβῶς συντηρεῖν, εἰκὸς δὲ πολλοὺς τῶν προστρεχόντων διὰ τὸ σκληρὸν καὶ ἀπόξηρον τούτου τοῦ βίου μετοκλάζειν καὶ ἀκολουθεῖν μὴ δύνασθαι καὶ διὰ τοῦτο ἴσως καὶ τὸν ἄριστον ἀποδιδράσκοντες βίον, — οἱ τῶν ἀποστόλων διάδοχοι μακάριοι καὶ θεοφόροι πατέρες καὶ τὸ τοιούτου βίου μέγα καὶ θεοπρεπὲς ὑπεραποδεξάμενοι καὶ τοὺς προσερχομένους μὲν ἀποκναίοντας δὲ παραμυθούμενοι ἐσπούδασαν, τῇ τῶν Γραφῶν ἀκριβείᾳ τῆς νέας τε καὶ παλαιᾶς σχολάσαντες, κανόνα ἔγγραφον τοῖς πρὸς τὸν μοναδικὸν ἀποκλίνουσι βίον καὶ ἀποκναίουσι πρὸς τὸ τοιοῦτον ἀκρότατον παραδοῦναι καὶ παραχωρῆσαι αὐτοῖς ἐπ' ὀλίγον καὶ τῶν πρὸς ἡδονήν· καὶ συνήγαγον, ὅτι Ἠλίας μὲν εὑρέθη κρεωφαγήσας,

12 βιασταὶ] cf. Matth. xi, 12    32 κρεωφαγήσας] cf. Reg. xvii, 6



Ἰωάννης δὲ οὐδαμοῦ, ὁ κύριος δὲ ἐκρεωφάγησε. πῶς γὰρ οὔ; ἐπεὶ καὶ τελώναις συνηστιᾶτο καὶ σύνδειπνος ἦν τοῖς ἐν γάμῳ προσκεκλημένοις καὶ κατὰ τὴν Μωσέως ἔζη νομοθεσίαν· ὃς καὶ ῥητῶς ἀπεφήνατο μὴ τὰ εἰσερχόμενα βλάπτειν ὡς ἀπαφεδρωνύμενα καὶ τῆς κοιλίας ἀπορρεόμενα, τὰ δὲ ἐξερχόμενα, τοὺς πονηροὺς λογισμοὺς καὶ τἄλλα. μέντοι γε οὐδαμοῦ ῥητῶς ἐγράφη, οὔτε ἐν τῷ Εὐαγγελίῳ οὔτε ἐν ταῖς ἀποστολικαῖς γραφαῖς, κρεωφαγῆσαι τὸν κύριον· ἰχθύας δὲ εὐλογῆσαι καὶ πληθῦναι μετὰ τῶν ἄρτων καὶ αὐτὸν ἰχθύος μεταλαβεῖν μετὰ τὴν ἀνάστασιν ἀριδήλως ἐγράφη. κἀντεῦθεν παρακεχώρηται τοῖς μοναχοῖς ἰχθυοφαγεῖν καὶ τὸν Ἠλίαν ἀφέντες ὅσον ἐπὶ τούτῳ καὶ τὸν μέγαν "ἐν γεννητοῖς γυναικῶν" πρὸς τὴν ἔγγραφον τοῦ κυρίου πολιτείαν ἀπιδεῖν καὶ πάντα φαγεῖν, πλὴν τοῦ κρέατος, καὶ αὐτὰ τὰ ἀπὸ τῶν καθαρῶν ζῴων, τῶν ζῳοτόκων μὲν τὰ ἀποθλιβόμενα, τῶν ᾠοτόκων δὲ καὶ αὐτὰ τὰ τικτόμενα, ἀπέχεσθαι δὲ καὶ τούτων καὶ τῶν ἄλλων ὠπτημένων καὶ ἑψημένων ἔν τε τῇ Τεσσαρακοστῇ καὶ ταῖς Τετράσι τοῦ ἔτους καὶ ταῖς Παρασκευαῖς. ἐπὶ δὲ τῶν λοιπῶν, τῶν μὴ ἀποκλινόντων εἰς τὸν μοναδα βίον, ἐπίσης καὶ ἰχθυοφαγεῖν καὶ κρεωφαγεῖν παρεχώρησαν καὶ οὐδεμίαν ἐπὶ τούτοις ἔθεντο διαφοράν· ἦ γὰρ ἂν εἰ τὸ κρεωφαγεῖν τοῦ ἰχθυοφαγεῖν ὅσον πρὸς σωτηρίαν ἀπελιμπάνετο, καὶ μάλιστα ἂν τοὺς ἱερωμένους, τοὺς ὑψηλοὺς καὶ θεῷ πλησιάζοντας, κρεωφαγεῖν ἀπετρέψαντο· περὶ ὧν, εἰ μὴ κρεωφαγοῦσι νῦν, ἀλλὰ μὴ δι' εὐλάβειαν ἀπέχονται κρέως, πολύ τι τὸ ὑπ' ὀδόντα λαλεῖν τοῖς ἐν μέσῳ καὶ τονθορίζειν μήποτε τὰ Εὐχιτῶν φρονοῦσιν, ἢ κατ' ἄλλην αἵρεσιν πολιτεύονται. κρεωφαγοῦσι μέντοι οἱ ἱερεῖς ἀκωλύτως καὶ οὐδεμία τούτοις ἐντεῦθεν καταβοή· ἀλλ' εἰ μικρόν τι τῶν θείων ἐντολῶν διεξώσωσι καὶ εἰς προῦπτον ἔσται τούτοις ὁ ἔλεγχος, ἀπογυμνοῦνται τοῦ ἱερᾶσθαι καὶ εἰς τὸν λαϊκὸν ἀποστρέφονται καὶ εἰς αἱρετὸν καὶ τὸν μοναδικὸν μετέρχονται βίον· ἐξ οὗ, εἰ καὶ λίαν ἀπολισθήσει ὁ μοναστὴς τοῦ μοναχικοῦ

1 Ἰω. δ. οὐδαμοῦ] cf. Matth. iii, 4. Marc. i, 6    2 τελ. συνηστιᾶτο] cf. Matth. ix, 10-11. Marc. ii, 15-16. Luc. vii, 34 || σύνδειπνος etc] cf. Iohan. ii, 1 et sq.    4 ἀπεφήνατο] cf. Matth. xv, 11-19    9 ἐγράφη] cf. Matth. xiv, 19-21. Marc. vi, 41-44. Luc. ix, 13-17. xxiv, 42    11 ἐν γεν. γυναικῶν] cf. Matth. xi, 11. Luc. vii, 28.

κανόνος, οὐ μόνον οὐκ ἀποδιώκεται, ἀλλὰ καὶ εἰς αὐτὸν μεθέλκεται βιαιότερον· αἱρετὸς γὰρ ὁ βίος καὶ οὐ νενομοθετημένος παρὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὡς καὶ τὰ τῶν αἱρετῶν δικαστῶν πάντῃ πάντως κρατεῖ, τὰ δὲ τῶν κατὰ νόμους κρινόντων δικαστῶν δικαστήρια, θατέρου τῶν μερῶν ἀπαρεσκομένου, πάλιν κατεξετάζεται, ἔστ' ἂν εἰς τὸ ἀναμφίρηστον περισταίη.

7. Κεφάλαιον τοῦ λόγου ἐν μὲν τῇ Τεσσαρακοστῇ καὶ ταῖς Τετράσι καὶ Παρασκευαῖς τοῦ ἔτους ἐπίσης ἀφεξόμεθα πάντες, καὶ ἱερωμένοι λαϊκοὶ καὶ μοναχοί, τοῦ ὅλως ἑψημένον ἢ ὠπτημένον ἢ ἔλαιον εἰς βρῶσιν θέσθαι· καὶ οὐκ ἔστιν ἐνταῦθα οὐδεμία διαφορά, εἰ μή πού τις ἐκ τούτων δι' ἀνάγκην ἢ ἀσθένειαν τῶν ἁπλῶς ἐφειμένων τοῖς μοναχοῖς ἅψασθαι παραχωρηθείη, ἐν μὲν τοῖς ἱερωμένοις καὶ λαϊκοῖς παρὰ τῶν ἀρχιερέων, ἐν δὲ τοῖς μοναχοῖς παρὰ τῶν ποιμένων αὐτῶν. ἐν δὲ ταῖς λοιπαῖς τῶν ἡμερῶν οἱ μὲν μοναχοὶ ἀδιαφόρως φαγοῦνται τὰ ὡρισμένα αὐτοῖς παρὰ τῶν πατέρων καὶ οὐδὲν αὐτοῖς ἕπεται κρῖμα φαγοῦσιν ἢ μὴ φαγοῦσιν, οἱ δὲ ἱερωμένοι καὶ λαϊκοὶ μετά γε τούτων κρεωφαγήσουσιν καὶ οὐ κρινοῦνται εἴτε φάγωσιν εἴτε μὴ φάγωσιν, εἴτε κρέας ἢ ἄλλο τι τὸ οἱονοῦν. τὰς ἡμέρας δὲ πάσας, ἃς οἱ πατέρες ἐνομοθέτησαν ἐξαιρέτους εἶναι καὶ θείας (ἐκ τούτων ἀφείλοντο τὸ τετραδικὸν καὶ ἑκταϊκὸν καὶ Κυριακὰς ἐλογίσαντο), πάντα ἀδιαφόρως φαγοῦνται, οἱ μοναχοὶ μὲν τὰ ἀφωρισμένα αὐτοῖς καὶ οἱ ἱερωμένοι καὶ λαϊκοὶ ὁμοίως ἐκεῖνα πάντα, ὅσα αὐτοῖς ἐκκεχώρηται, καὶ οὐ κατακριματισθήσεται· ὥσπερ γὰρ ἐν τοῖς ἄνωθεν τὰς τῶν πατέρων νομοθεσίας φυλάττομεν, οὕτω καὶ ἐν τούτοις τὸ αὐτὸ ποιοῦμεν. τοῦ τοίνυν μεγάλου Βασιλείου ὡς μίαν ἡμέραν νομοθετήσαντος τὴν Πεντηκοστὴν καὶ μὴ διαστείλαντος κατά τι τὸ μὲν ἐν ταύταις τῶν πρακτέων ἀποστυγεῖν ὡς ἐγκρίματον, τὸ δὲ ὡς σωτήριον προαιρεῖσθαι, παυσάσθω ὁ τούτοις ἐναντιούμενος, ὡς μὴ ὑποπέσῃ τῷ ἀναθέματι τῷ ἀφωρισμένῳ τοῖς ἐναντιουμένοις τοῖς ἐκείνου κανόσι. ζώσοιο ὁ τῆς τοιαύτης ζήτησιν προθέμενος ὑποθέσεως.

8. Θαυμαστῶς δὲ καὶ τὰς ἀπὸ Γραφῶν μαρτυρίας προσάπτεις, διδάσκαλε, τοῖς παρὰ σοῦ νέοις δόγμασι· τὸ δὲ μεταποιεῖν σε τοὺς κανόνας καὶ ἀπολύειν εἰς ἀνάγνωσιν αὐτοῖς ἐστιν τοῖς κανόσιν, ὡς οἶδας, ἵν' οὕτως εἴπω, ἀπηγορευμένον. προέθου εἰς μαρτυρίαν τοῦ



μὴ δεῖν κρεωφαγεῖν ἐν ταῖς Τετράσι καὶ Παρασκευαῖς τῆς Πεντηκοστῆς τὸν ξϛ' κανόνα τῆς ἁγίας καὶ μεγάλης ἕκτης συνόδου, ὅστις ῥητῶς ταῦτα διαγορεύει· "Ἀπὸ τῆς ἁγίας ἀναστασίμου Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἡμέρας μέχρι καὶ τῆς Καινῆς Κυριακῆς τὴν ὅλην ἑβδομάδα ἐν ταῖς ἁγίαις ἐκκλησίαις σχολάζειν δεῖ ἀπαραλείπτως τοὺς πιστούς, ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς εὐφραινομένους ἐν Χριστῷ καὶ ἑορτάζοντας καὶ τῇ τῶν θείων Γραφῶν ἀναγνώσει προσέχοντας καὶ τῶν ἁγίων μυστηρίων κατατρυφῶντας· ἐσόμεθα γὰρ οὕτω Χριστῷ συνανιστάμενοι καὶ συνανυψούμενοι. μηδαμῶς οὖν ἐν ταῖς προκειμέναις ἡμέραις ἱπποδρόμια ἢ ἑτέρα δημώδης θέα ἐπιτελείσθω". σὺ δὲ μόνου μνημονεύσας τοῦ ἔχειν ὅρον τῆς ἑορτῆς ἐξ ἑτέρου κανόνος τοῦ ξϛ' τῆς ἕκτης συνόδου καὶ ἄλλων πολλῶν ἐδογμάτισας, πῶς καὶ τίσι δεῖ ἑορτάζειν, μικρὰ ἐκ τοῦ κανόνος ἀναλεξάμενος, "ὅτι ἐν τῇ τῶν Γραφῶν ἀναγνώσει, ἐν τῷ κατατρυφᾶν τῶν ἁγίων μυστηρίων, ἐν τῷ σχολάζειν τοῖς θείοις ἁπλῶς". προσέθου δὲ "οὐκ ἐν τῷ κρεωφαγεῖν σεμνύνω τὴν ἑορτήν, ἀλλὰ καταλῦσαι μὲν τὴν νηστείαν ὡς ἑορτάζοντας οὐκ ἀποτρέψομαι, μὴ ξηροφαγοῦντας ἐν ταύταις, ὡς καὶ ἐν ταῖς λοιπαῖς Τετράσι καὶ Παρασκευαῖς, ἐλαίου δὲ καὶ ἰχθύων γευομένους· τὸ δὲ κρεωφαγεῖν ἀνευλαβὲς οἶμαι, μὴ ῥητῶς ἔχον τὴν ἀπὸ τῶν κανόνων ἐπιτροπήν". ἐχρῆν δέ σε, διδάσκαλε, ὅστις ἂν ᾖ, ἀναβάλλεσθαι ἐρωτώμενον καὶ προφέρειν τὸ παρά τινος ῥηθὲν τῶν πάλαι σοφῶν, ὅτι "οὐκ εἰμὶ τῶν ἐμούντων, ἀλλὰ τῶν σκεπτομένων· οὐ συνετὸς οὐδ' ἀγχίνους, ἀλλὰ δεινός εἰμι, καὶ ἐρωτώμενος σήμερον αὔριον ἀποκρίνομαι", ἀλλὰ μὴ αὐτίκα λαλεῖν, ἢ λαλεῖν μὲν δι' αἰδῶ (αὖραι δ' ἂν φέροιεν τοὺς σοὺς λόγους), μὴ γράφειν δὲ προφανῶς ἀντίθετα τῶν κανόνων καὶ τῶν Γραφῶν καὶ προσεπισπείρειν αὐτοῖς καὶ αὐταῖς ἰδίας κοιλίας ἐρεύγματα. ὅσον γὰρ τὸ κατὰ σέ, ἐνταῦθα ἐξώρισας τὸν μέγαν Βασίλειον, κανόνα συνόδου μεγάλης ἀντιπαραστησάμενος αὐτῷ· ποία γὰρ ὅλως ἡ μετοχὴ τοῦ τοιοῦδε κανόνος ἐπὶ τῆς προκειμένης ὑποθέσεως; οὐκ οἶδας, ὅτι οἱ μετὰ τοὺς ἀποστολικοὺς κανόνας τῶν συνόδων κανόνες πράξεις κατὰ καιροὺς γινομένας ἀθέσμους ἀναστέλλουσι;

3 διαγορεύει] vide Σύνταγμα τῶν . . . κανόνων, II, p. 460    23 σοφῶν] cf. Eunap. in v. Proæresii, p. 82 Boiss.

9. Μάθε γοῦν καὶ τὴν αἰτίαν περι ἧς ὁ κανὼν οὗτος ἐτέθη, καὶ γίνωσκε ὅτι καὶ τὴν Τεσσαρακοστὴν ὅλην καὶ πᾶσαν τὴν Πεντηκοστὴν οἱ θεῖοι ἀπόστολοι σχολάζειν ἐθέσπισαν πάντα χριστιανὸν ἔν τε τοῖς θείοις ναοῖς καὶ ταῖς προσευχαῖς καὶ ταῖς ἀναγνώσεσιν. ἐπειδὴ δὲ ὁ πολὺς πληθυσμὸς τῶν πιστῶν διὰ τὰς τοῦ βίου περιπετείας οὐχ ἠδυνήθη φυλάξαι τὴν ἐντολήν, παρὰ τῶν οἰκονομούντων πατέρων τῆς Ἐκκλησίας νόμον παρέλαβον ἔγγραφον κἂν τὰς πρώτας ἑβδομάδας τῶν ἑορτῶν, τὴν Τεσσαρακοστήν φημι καὶ Πεντηκοστήν, τὴν ἀποστολικὴν φυλάττειν καὶ τὸν κοινὸν λαὸν ἀκρίβειαν. οἱ μέντοι γε ἱερωμένοι καὶ μοναχοὶ ἀσυγγνωμόνητοί εἰσι μὴ καθόλου τὴν Τεσσαρακοστὴν καὶ τὴν Πεντηκοστὴν τὴν θεσμοθεσίαν φυλάττοντες, ἐν μὲν τῇ Τεσσαρακοστῇ γονυκλιτεῖν καὶ ξηροφαγεῖν καὶ τἆλλα τὰ τῇ Τεσσαρακοστῇ προσήκοντα ποιεῖν, ἐν δὲ τῇ Πεντηκοστῇ μήτε γονυκλιτεῖν μήτε ξηροφαγεῖν ἀναγκάζεσθαί τινα, ἀναγκαίως δὲ σχολάζειν ἐν ταῖς ἁγίαις ἐκκλησίαις καὶ καθαριεύειν καὶ μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων καὶ οὕτω τῷ Χριστῷ συνυφοῦσθαι καὶ συνίστασθαι. οἱ μέντοι θεοφόροι πατέρες τῆς ἁγίας ἕκτης συνόδου εὑρεθέντες ἐνταῦθα συνηθροισμένοι ἐν Πασχαλίαις ἡμέραις εὗρον τοὺς λαϊκοὺς μηδὲ τὴν πρώτην ἑβδομάδα τῆς Πεντηκοστῆς, τὴν καλουμένην Διακινήσιμον, ἐν ταῖς ἐκκλησίαις σχολάζοντας, ἐν θεάτροις δὲ καὶ ἱπποδρομίαις· καὶ τούτου χάριν τὸν κανόνα τοῦτον ἐξέθεντο, ἵνα μὴ τελείως ἐν τοῖς λαϊκοῖς ἀποσβεσθῇ ἡ μνήμη τῆς ἐκκλησιαστικῆς ἀκριβείας. σὺ δὲ καὶ τὸ σὸν νόημα συνεπεράνατε τὴν ἑορτὴν ἐν ἡμέραις ὀκτώ, καὶ καλείσθω κατὰ σὲ ἀντὶ Πεντηκοστῆς ὀκταϊκινός. διδασκέσθωσαν παρὰ σοῦ καὶ οἱ ἱερωμένοι καὶ μοναχοὶ τοῖς δι' ἀνάγκην καὶ βιοτικὴν περιπέτειαν παραχωρηθεῖσι κἂν ἡμέρας ὀλίγας ἑορτάζειν, ἀποστολικῶς ὁμοίως ποιεῖν. μάθε, ὅστις ἂν ᾖ, τοὺς κανόνας ἀναγινώσκειν ὡς χρὴ καὶ ποῖον πότε καὶ ποῦ καὶ πρὸς τίνας δέον προφέρεσθαι. ἡ τῶν κανόνων ἀνάγνωσις ἐπιστήμη μεγάλη καὶ θαυμαστή ἐστιν, σὺ δέ, ὡς ἔοικεν ἀπὸ τῶν πραγμάτων, τῶν προχείρων ταύτην λογίζῃ καὶ τῷ παντὶ προκειμένων.

---

6 περιπεττείας F 10 ἀσυγγνωμόνετοι F 16 καθαρειεύειν F 25 ὀκταϊκινός] sic F 26/27 βιωτικὴν F

# XIV.

## ΜΑΚΑΡΙΟΥ μητροπολίτου ΠΙΣΙΔΙΑΣ

### ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΜΙΧΑΗΛ ΔΙΣΥΠΑΤΟΝ

***Τοῦ μητροπολίτου Πισιδίας πρὸς τὸν μητροπολίτην Θεσσαλονίκης κῦρ Μιχαὴλ τὸν Δισύπατον· περιέχει πῶς καὶ τίνα τρόπον ἀφωρίσθη ὁ κῦρ Ἰωσὴφ παρὰ τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Ἀρσενίου, ὡς λύων ἅπερ αὐτὸς ἔδησε κανονικῶς.***

1. Παναγιώτατε δέσποτα, ἀρχιεπίσκοπε τῆς μεγαλωνύμου καὶ θεοσώστου πόλεως Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Δύσεως καὶ ἐν κυρίῳ αὐθέντα, ἀδελφὲ καὶ συλλειτουργέ· καὶ πρὸ καιροῦ μὲν δι' ἐφέσεως ἦν μοι τὸ παρὰ τῆς μεγάλης ἁγιωσύνης σου τινὰ ἰδεῖν τε καὶ ὑποδέξασθαι καὶ μαθεῖν ἐξ αὐτοῦ τὰ περὶ τῆς μεγάλης ἁγιωσύνης σου (καὶ ἦν μοι τοῦτο, καὶ αὖθις εἰπεῖν, δι' ἐφέσεως ὅτι πολλῆς), τὸ δέ γε καὶ παρ' αὐτῆς μηνυθῆναι περί τινων παρ' ἐλπίδα μοι πᾶσαν ἐγένετο, τῶν πραγμάτων οὕτως ἐχόντων καὶ τῷ φόβῳ τῶν ἀνθρώπων παντελῶς ὑποστελλομένων. κἀν τούτῳ δὴ μοι καὶ δεδόξασται κύριος, χαρᾶς μοι τῆς καρδίας πεπληρωμένῳ. τὸ δέ γε μήνυμα παρ' ὧν ἀπηγγέλθη, οὕτως, ὅπως δ' ἔχω, ἐστί.

2. Δύο τινὲς ἀδελφοὶ ὑμέτεροί τε καὶ ἡμέτεροι κατέλαβον πρός

---

L = codex Lauræ S. Athanasii Athonitæ (№ K'. 116), s. xv, f. $32^{b}$-$34^{b}$.
1 πισσιδίας L 2 δυσίπατον L 3 ἀφορίσθη L 4 ἔδυσε L 5 μεγαλονήμου κ. θεοσόστου L 7 συλειτουργὲ L 9 ὑποδέξασθε L 14 τούτο L ‖ 15 [illegible] L

με, μοναχοὶ τὸν τρόπον, οἳ καὶ ἀνήγγειλάν μοι, ὅτι τῇ μεγάλῃ ἁγιωσύνῃ σου διὰ βουλῆς ἐστι τὸ μαθεῖν ἀκριβῶς περὶ τοῦ ἀπὸ Γαλησίου, πότε καὶ πῶς καὶ δι' ἣν αἰτίαν καθυπεβλήθη ἀφορισμῷ παρὰ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου. καὶ τοῦτο μὲν καλῶς καὶ κανονικῶς ἀκριβολογεῖται παρὰ τῆς μεγάλης ἁγιωσύνης σου, ἵνα μὴ πρὸ διαγνώσεως ἀκριβοῦς ἀκανόνιστόν τι πραχθῇ· καὶ ἰδοὺ γράφω τῇ μεγάλῃ ἁγιωσύνῃ σου ἅπερ καὶ εἶδον καὶ ἀληθῶς ἤκουσα ὡς παρὼν τῷ τότε τοῖς θείοις ἀρχείοις καὶ συναυλιζόμενος τῷ μεγάλῳ ἢ οἰκειότερον φάναι συμπλοϊζόμενος ἐν τοῖς ἀπείροις κυκεῶσι. ἔχει δὲ οὕτως.

3. Ὁ Γαλησίου Ἰωσὴφ ἀπεστάλη παρὰ τοῦ κραταιοῦ βασιλέως ἀπὸ τῆς Μαγνησίας πρὸς τὸν ἁγιώτατον ἡμῶν ⟨πατριάρχην⟩ μετὰ γράμματος ἐρυθροβαφοῦς ἐντὸς βλατίου σηρικοῦ, καὶ τούτου ἐσφραγισμένου· ὅπερ ἀναπτύξας εὗρε γεγραμμένα τάδε· " Δέξαι ὡς τὸν Μανασσῆν, ὡς τὸν ἄσωτον, ὡς τὴν πόρνην καὶ ὡς τὸν λῃστήν ". ὁ δὲ πατριάρχης μετὰ ⟨τὸ⟩ διελθεῖν τὴν γραφὴν εἶπε ταῦτα· " Ὅστις οὐ δέχεται αὐτὸν ἐπὶ τῇ ἴσῃ ἐκείνων ἐπιστροφῇ καὶ μετανοίᾳ, ἔστω ὑπὸ ἀνάθεμα· ἀλλ' ὅμως σύ, κῦρι Ἰωσήφ, τί ὑπάρχεις αὐτοῦ, ὅτι τοσούτους ἀγῶνας ἐπιδείκνυσαι "; κἀκεῖνος ἔφη· " Πνευματικός εἰμι τούτου πατήρ ". καὶ ὁ πατριάρχης· " Εἰ σὺ πνευματικὸς τούτου πατήρ, ἐγὼ τί ἄρα εἰμί; τίς δέ σοι καὶ παρέσχε τὴν πνευματικὴν ἐξουσίαν "; καὶ ὁ Ἰωσήφ· " Ὁ Ἐφέσου ἐκεῖνος κῦρις Νικηφόρος ". καὶ ὁ πατριάρχης· " Ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ τοῦτο ἐπέτρεψεν, ἢ ἐν τῇ Κωνσταντινουπόλει "; καὶ ὁ Ἰωσήφ· " Ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ ". καὶ ὁ πατριάρχης· " Καὶ πῶς καταλείψας τὴν ἐπαρχίαν ἐκείνου εἰσῆλθες εἰς Κωνσταντινούπολιν καὶ πατὴρ βασιλέως εἶναι βρενθύῃ καὶ παρὰ τῆς συγκλήτου πνευματικὸς ὀνομάζῃ, ἐμοῦ μὴ προτρέψαντος; κανονικῶς ταῦτα ἢ οὔ; γενοῦ κριτὴς σεαυτοῦ ". κἀκείνου ἄγνοιαν καὶ ἀνάγκην εἰς τοῦτο προβαλλομένου, ὁ πατριάρχης εἴρηκε· " Καὶ ἐπεὶ ὁμολογεῖς τὸ εἰκὸς ἀγνοεῖν, πῶς ἄλλους ὀρθώσει κανονικός; πλὴν ἰδοὺ λέγω σοι· εἰ τολμήσεις ἀπό γε τοῦ νῦν ἐν τοῖς βασιλείοις μολῆσαι πρὸς τὸ δέξα-

1 μοι *: με L  2 διαβουλῆς L  9 οἰκειώτερος L  12 πατριάρχην inserui 16 τὸ inserui  17 δέχετε L || ἴσει L  27 βρενθείῃ L (ε supra)  27/28 ὀνομάζει L 28 κανονικὸς L  30 οἰκὸς ἀγνοῆν L  32 δέξασθαι L



σθαι λογισμοὺς βασιλέως καὶ μὴ πρὸς μοναστήριον ἀπελθεῖν τὰς σὰς ἀποδύρεσθαι ἁμαρτίας, ἔσο καθῃρημένος καὶ ἀφωρισμένος ἀπὸ τῆς ζωαρχικῆς τριάδος ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, ὅτι οὐχ ὡς κανονικὸς ταῦτα πράττεις, ⟨ἢ⟩ κατὰ κανόνας ⟨ὡς⟩ πνευματικὸς ἐν τοῖς βασιλείοις περιπατεῖς, ἀλλ' ὡς κόραξ καὶ ἐν ταῖς ἐκείνου συγκαταβαίνων καὶ συγκατατιθέμενος ἐπιθυμίαις, καὶ ἵνα καλῇ πατὴρ βασιλέως καὶ δόξαν ἐκ τούτου πορίζῃ. εἰ δ', ὡς φῄς, πνευματικὸς ἀληθῶς εἶ, τί ἐκ τῶν πραττομένων δεινῶν περιέκοψας ἢ διωρθώσω; τί δὲ καὶ ἤλεγξας ";

4. Ταῦτα καὶ ἕτερα πλείω τοῦ πατριάρχου εἰπόντος, ὁ Ἰωσὴφ τὰς ἀκοὰς καταβροντηθείς, πρηνὴς πρὸ τῶν ἐκείνου ποδῶν πεσών, συγγνώμην ᾔτει τοῦ ἀφορισμοῦ τοιάδε φάσκων· " Ἐπεί, παναγιώτατε δέσποτα, ἐξ ἀγνοίας ἐσφάλην, σύγγνωθί μοι ἔστ' ἂν πρὸς τὸν στείλαντα ὑποστρέψω, τοῦ ἀναγγεῖλαι αὐτῷ τὴν ἀπόκρισιν τῆς μεγάλης ἁγιωσύνης σου, ἵνα μὴ μεταξὺ σοῦ κἀκείνου σκάνδαλα γένηται, λέγοντος ὅτι Ἐγὼ διὰ γραφῆς ἐδεόμην συγγνώμης, ἐκεῖνος δὲ ἀπολογίας τινὸς οὐκ ἠξίωσέ με, ἀλλὰ καὶ ἀφορισμῷ τοὺς παρ' ἐμοῦ σταλέντας ὑπέβαλεν. ἔπειτα δέ, εἰ τολμήσω τοιοῦτόν τι διαπράξασθαι καὶ οὐκ ἀπέλθω εἰς μοναστήριον, ἔσομαι κατὰ τὸ ῥῆμά σου καθῃρημένος καὶ ἀφωρισμένος ἀπὸ τῆς ἁγίας καὶ ζωαρχικῆς τριάδος ". καὶ ὁ Ἰωσὴφ οὕτω πρᾶξαι ὑποσχεθεὶς ἀνεχώρησεν.

5. Ὁ οὖν πατριάρχης αὐτῇ τῇ ὥρᾳ τὸν Χριστόδουλον ἀποστείλας ἐκάλεσέ με καὶ κατὰ μέρος πάντα ἐξεῖπέ μοι, ὑποδεικνύων μοι καὶ ἀκροατὰς τῶν τούτου λόγων καὶ μάρτυρας, τόν τε ἱερομόναχον Ὑάκινθον, τὸν κῦρ Ἰγνάτιον, τὸν μοναχὸν Ἰσαὰκ καὶ τὸν μοναχὸν Ματθαῖον.

6. Ἐπεὶ δὲ ὁ κρατῶν τῆς συγχωρήσεως ἥμαρτεν, μετὰ τὸ παλιννοστῆσαι ἐκ τῆς Ἀσίας πολλῶν ἐπαγωγὴν θλίψεων τῷ μεγάλῳ προσῆξε, καὶ τοσαύτην, ὥστε ἐπιλελῆσθαι ἡμᾶς καὶ ἄρτον φαγεῖν. λοιπὸν οὐκέτι τὰ κατὰ τὸν Ἰωσὴφ ἐμανθάνομεν, ὑπὸ τῶν πολε-

2 ἀφορισμένος L  4 πράττης. κατακανόνας L || ἢ et ὡς inserui  7 πορίζει L 9 διορθόσω L  11 καταβροντιθεὶς. πρινὴς L  12 φάσκον L  13 σύγγνωθήμοι L 18 σταλλέντας L  18/19 διαπράξασθε L  20 ἀφορισμένος L  24 ὑποδεικνύον L 30 ἐπιλελεῖσθε L

μίων συνεχόμενοι, εἴτε τὰ ὑποσχεθέντα πεπλήρωκεν, εἴτε καὶ μή. τέως γοῦν, ὅτε ἔμελλον οἱ καλοὶ ποιμένες συναθροισθέντες πρὸς τὸν μόδιον θεῖναι τῆς Ἐκκλησίας τὸν λύχνον, ἠκούσθη τῷ πατριάρχῃ, ὅτι ὁ Ἰωσὴφ καὶ αὖθις τῆς πνευματικῆς πατρότητος τοῦ κράτους ἀντέχεται, καὶ οὐκ εἶχεν ὅ τι καὶ πράξειεν ἀσφαλῶς φρουρούμενος· ὅμως δ' οὖν θεὸς ὁ δεσμεύων καταφρονητὰς καὶ δρασσόμενος πανούργους φέρει τοῦτον τὸν Ἰωσὴφ αὐτόμολον εἰς τὸν πατριάρχην, καὶ εὐθὺς " Κακῶς ἦλθες " ἀκούει· " καὶ ὦ κατάρατε, οὐχ ὑπέβαλόν σε ἀφορισμῷ φρικώδει, ὥστε τῶν βασιλείων σε ἐκχωρῆσαι; πῶς τοίνυν κατολιγωρήσας καὶ πάλιν τῶν αὐτῶν ἔχεις ὑπ' ἐξουσίᾳ; ὃν ἔγωγε τῆς τοῦ θεοῦ Ἐκκλησίας δικαίως διέκρινα τῇ μαχαίρᾳ τοῦ πνεύματος, σὺ εἰς ταύτην εἰσήγαγες; αὐθεντίᾳ δὲ ποίᾳ ὃν ἀρρήκτοις δεσμοῖς ἐδέσμευσα τῇ δυνάμει τοῦ πνεύματος, λύειν σὺν τοῖς Ἁγιορείταις αὐτὸς ἐπεχείρησας καὶ σεαυτὸν ἀλύτως ἐδέσμευσας, ἄθλιε "; κἀκεῖνος μόλις μετὰ πολλοῦ τοῦ τρόμου ἀπελογεῖτο, τοὺς ἀρχιερεῖς αἰτίους τῆς λύσεως προβαλλόμενος καὶ τῆς εἰς τὴν ἐκκλησίαν εἰσαγωγῆς. ἀντήκουσε δέ· " Ἀλλὰ σὺ μὴ ὢν ἀρχιερεύς, πῶς συγχωρεῖς; ἐπεὶ δὲ προβάλλῃ ἀρχιερεῖς, ἐρωτήσω κἀγώ σε, σὺ δ' ἀληθῶς ἀπόκρινε. ἀφορίσαντός μου δικαίως καὶ συμφώνως τοῖς ἄλλοις ἀρχιερεῦσιν, ἢ μᾶλλον ἀληθῶς εἰπεῖν ἐκείνου παρακλητεύσαντος καὶ ἐπισπασαμένου τὸν ἐμὸν ἀφορισμὸν ἀσπασίως διὰ τόμου, κἀμοῦ ἐπινεύσαντος καὶ βεβαιώσαντος τὸν ἀφορισμὸν δι' ὑπογραφῆς ἐν τῷ τόμῳ, ἔτι δὲ ζῶντός μου καὶ τῶν τῆς ἐκκλησίας οἰάκων ἐπειλημμένου, οἱ ὑπὲρ ἐμὲ ἀρχιερεῖς ἐν ταύτῃ τῇ πόλει, ἐν ᾗ καὶ προκάθημαι, τοιαῦτα δράσαντες ἀπόντος ἐμοῦ καὶ παρὰ γνώμην ἐμήν, ἢ μᾶλλον δυναστικῶς καὶ τυραννικῶς καὶ λίαν ἀναισχύντως, δικαίως καὶ ἐνθέσμως ἢ ἀδίκως καὶ ἀθέσμως πεπράκασιν "; ὁ δὲ ἀντέφησεν, ὡς λίαν ἀθέσμως. καὶ ὁ πατριάρχης· " Πῶς οὖν τῇ ἐκείνων παρανομίᾳ συνῆς καὶ συνηδύνῃ; τοιοῦτος γάρ ἐστιν ἕκαστος, οἷσπερ ἥδεται ξυνών· τὸ δὲ μέγιστον, μεθ' οὗ αὐτὸς ἐγὼ ὁ ἀφορίσας πατριάρχης ταῖς θείαις τελεταῖς καὶ ἁγιστείαις οὐ συνέρχομαι, ἀλλὰ μὴν οὐδὲ μέχρι τρισαγίου μικροῦ δεῖν οὐδ' εἴσω ναοῦ θείου, πῶς αὐτὸς σὺ ἐν ἱερουργίαις καὶ ὑμνῳδίαις αὐτῷ συνεκκλησιάζῃ "; ὁ δὲ φιμωθεὶς ἐπὶ τούτοις ἔστη ἐνεός. " Ἀλλ' ἐπειδή περ ", αὖθις ὁ μέγας ἔφη, " τοσοῦτον τετύφλωσαι, ὡς τοσούτους βοθύνους, εἰς οὓς ἐμπέπτωκας, μὴ εἰδέναι, καὶ πάλιν ἔσο ὑπὸ ἀφορισμόν, εἰ τολμήσεις ἀπό γε τοῦ νῦν δι' ὅλου τοῦ τῆς ζωῆς σου χρόνου πνευματικεῦσαι αὐτῷ. ἔξελθε οὖν τῶν ὧδε καὶ μόνασον ἐν σεμνείῳ κλαίων τὰς ἁμαρτίας σου καὶ μὴ διὰ φιλοδοξίαν, ὡς ὁρῶ, καὶ φιλαρχίαν ἀπόλλω ".

1 συνεχόμενος L 2 ἔμελον L || ποιμέναι συναθρισθέντες L 3 μόδιον— λύχνον] cf. Matth. v, 15. Luc. xi, 33 || θῆναι L 5 ἀντέχετε L 9 φρικῶδες L 12 τῇ μαχ. τοῦ πνεύματος] cf. Ephes. vi, 17 14 ἁγιορήταις L 16 ἐτίους L ε 18 προβάλλει L 19 ἐρωτίσω L 24 οἱ ἄκων ἐπειλλημένου L 25 προκάθημαι L 28 ἄδικος κ. ἄνθεμος πεπράχασιν L 30 συνηδύη L



7. Τούτων ἐκεῖνος ἀκούσας ἀπῆρε μὲν τότε τῆς Κωνσταντίνου πόλεως, ἐπὶ σκοπῷ δὲ ποίῳ οὐκ ἴσμεν, εἴτε πληρώσων τὸ ἐπίταγμα, εἴτε μὴν βαρυνόμενος κακουργήσων τι. πλὴν ἡνίκα τοῦ θρόνου ὁ μέγας κατήγετο καὶ ὑπερόριος ἤγετο, εὐθὺς οἷα ὑπόπτερος Ἰωσὴφ πρὸς τὸν κρατοῦντα ἐπαλινδρόμει καὶ πατὴρ τούτου ἐδείκνυτο γνησιέστερος, ἀφορισμοῦ παντὸς ἀλογήσας καὶ ἱερουργεῖν μὴ ἀπαναινόμενος, ἔτι γε μὴν καὶ εἰς τὸν θρόνον ἐκείνου ἀναβῆναι τολμήσας (ὢ τῆς ἀναισχυντίας) καὶ συγχώρησιν ἔγγραφον ὁ ἀσυγχώρητος δεδωκὼς καὶ τῶν ἀχράντων μυστηρίων καταξιώσας καὶ φροῦδα καὶ μάταια ἀπελέγξας, ἃ ὁ μακάριος ἐβεβαίου. καὶ οὕτω μὲν ὁ πρῶτος προέβη καὶ ὁ δεύτερος ἀφορισμός· ὁ δ' αὖ γε τρίτος ἐκ τῆς ὑπερορίας γέγονεν, ὃν ἅπας χριστιανὸς εὐσυνείδητος οἶδεν, ὅτι περ καὶ δυσὶ κεφαλαίοις ἐξεφωνήθη, πρῶτον μέν, ὅτι ἀφωρισμένος ὢν ἱερουργεῖν καὶ ἐτόλμα, ἔπειτα ὡς τῆς ἐκκλησίας μοιχὸς καὶ λύων τὰ παρ' ἐκείνου δεθέντα. καὶ ἡ διαθήκη δέ, θειότατε δέσποτα, τῆς ἁγίας ἐκείνης ψυχῆς σαφῶς παρίστησιν, ὡς καὶ προαφωρισμένον εἶχεν αὐτόν.

8. Λοιπὸν δέχου, δέσποτα, τὴν μαρτυρίαν καὶ ἐκ τοῦ στόματος τοῦ πατριάρχου καὶ περὶ τούτου μηδόλως ἀμφίβαλε, ἐπεὶ καὶ παρὰ πάντων τῶν ὑπ' αὐτοῦ τιμωρουμένων ἤκουεν, ὡς " Ἀφωρισμένον ὄντα σε καὶ μοιχὸν ἀποστρεφόμεθα ". διὰ γὰρ ταῦτα

2 ἁγιαστείας L 6 τετύφλωσε L 9 ὅδε L || σεμνίω L 20 δεδωκὸς L 24ἀφορισμένος L 25 τετόλμα L 26 διαθ. δεθειοτάτη L 28 πρὸ ἀφορισμένον L 32 ἀφορισμένον L.

τὰ ῥήματα καὶ δημεύσεις αὐτοῖς καὶ ποινὰς ἐπήγαγεν. ἐρωτησάτω οὖν καὶ ἡ μεγάλη ἁγιωσύνη σου τὸν Ἰωσήφ, ἆρά γε ἐφύλαξεν ὅπερ ὑπέσχετο πρὸς τὸν πατριάρχην; καὶ ἐπεὶ οὐκ ἐφύλαξεν ἃ τηρεῖν συνέθετο, πῶς ἄρτι διισχυρίζεται καθῃρημένος μὴ εἶναι; καὶ ἴσως μὲν τοῦτο ἀρνεῖται παρὰ συνείδησιν, δι' ἣν προσδοκᾷ ἀνθρωπίνην κατάγνωσιν. τὸ δὲ ὁμολογεῖν κανονικῶς τελεῖν πατριάρχην τὸν κῦριν Ἀρσένιον καὶ ὅτι ἀδίκως ἐκεῖνον ἐξώρισε καὶ ὅτι αὐτὸς Ἰωσὴφ οὐ συνελειτούργησε τῷ Γερμανῷ, πόσην αὐτῷ προξενεῖ τὴν κατάγνωσιν; πάντως γάρ, εἰ πατριάρχης ἦν ὁ κῦρις Ἀρσένιος, οὗτος πρόδηλος ἐπιβάτης· καὶ τῷ Γερμανῷ οὐ συνελειτούργηκε πάντως ὡς ἀντιθέτως καὶ οὐκ ἀληθῶς πατριάρχης, καὶ πῶς τὸ ὄνομα τούτου τοῖς διπτύχοις ἐνέταξε καὶ τοῖς παρ' αὐτοῦ χειροθετηθεῖσι συλλειτουργήσειε, παρ' ὧν καὶ τὴν χειροθεσίαν ἐδέξατο; τίς οὖν αὐτὸν προεβάλετο; οὐκ ἀφωρισμένος; τίνες οἱ τοῦτον χειροθετήσαντες; οὐ καθῃρημένοι; πῶς δὲ καὶ τοῦ ἀλύτου δεσμοῦ τὸν ἰσχυρῶς δεδεμένον ἔλυσε; πῶς δὲ τοῦ ἁγίου θυσιαστηρίου ἔνδον εἰσῆξε καὶ τῶν φρικτῶν μυστηρίων μετέδωκεν ὁ τούτων ἀνάξιος; πῶς τοὺς μὲν τῶν μοναζόντων ἀπηνῶς ἐκόλασε καὶ τὰς αὐτῶν γενειάδας ἀπέτεμε καὶ ἐξορίαις παρέπεμψε, τοὺς δὲ φυλακαῖς καὶ σιδήροις ἐδέσμησε; πῶς μοναζούσας παρθένους καὶ τῷ θεῷ ἀφιερωμένας τῶν οἰκείων φροντιστηρίων ἐξώσας καὶ τῆς βασιλίδος τῶν πόλεων μακρὰν ἀπελάσας ὑπαίθρους αὐτὰς ἐν καιρῷ δριμυτάτου χειμῶνος πεποίηκε; ταῦτα τοῦ καλοῦ ποιμένος τὰ κατορθώματα, τοῦ καλεῖσθαι θέλοντος πατριάρχην, τὰ δὲ τούτων ἐπέκεινα ἄλλοι λεγέτωσαν.

9. Ταῦτα, πανάγιε δέσποτα, ἐκ πολλῶν ὀλίγα πεφύκασιν, ὧν οἶδας καὶ οἶδα καὶ ἅπερ ἠνώτισμαι, ἃ καὶ ὡς ἀληθῆ ὄντα γράψας σπουδαίως πρὸς τὴν μακαριότητά σου ἀπέστειλα, ἵνα διακρινῇ αὐτὰ κατὰ τὸ αὐτῇ βουλητόν· ὁ δὲ μέγας ποιμὴν καὶ ἐπίσκοπος τῶν ψυχῶν ἡμῶν κύριος Ἰησοῦς Χριστός, ὁ τὴν ψυχὴν θεὶς ὑπὲρ τῶν

1 δημεύσης L || πηναῖς L 4 τηρεῖ L 5 σηνήδησιν L 7 ἐξόρισε L 10 συνελειτούργικε L 11 ἀντιθέτω L 13 συλειτουργείσιε L 14 προβάλλετο L || ἀφορισμένος L 18 ἀπεινῶς L 19 ἐξορίας L 21 ἐξῶσε L || βασιλείδος L 22 ὑπέθρους L 24 καλεῖσθε L 27 οἶδας *: οἶδαν L 28 μακαριώτητα L || διακρινεῖ L.



προβάτων αὐτοῦ, στερεῶσαι, μακροημερεῦσαι ἐν ὑγείᾳ καὶ ἐν εἰρήνῃ τὴν μεγάλην ἁγιωσύνην σου εἰς πολλῶν ψυχῶν ἐπανόρθωσιν, καὶ τὴν πρώτην τῆς Ἐκκλησίας κατάστασιν ἴδοις διὰ τῶν ἁγίων καὶ θεοπειθῶν σου εὐχῶν, καὶ τὸν ἴδιον ἀπολάβοις θρόνον καὶ τοὺς ἐκεῖσε λύκους πόρρω διώξειας, τοὺς δὲ πιστοὺς τοῦ ἐπικειμένου τούτοις κανονικοῦ δεσμοῦ ἀπαλλάξειας καὶ ἅπαν τὸ ἐμπιστευθέν σοι παρὰ Χριστοῦ ποίμνιον σεσωσμένον παραστήσειας αὐτῷ. διὰ δὲ τὸ ἀξιοπιστότερον, ὡς ἵνα καὶ τοῖς μὴ εἰδόσι νῦν τε καὶ εἰς τὰ μετέπειτα χριστιανοῖς εἰς μαρτύριον εἴη καὶ ὅπλον στερρόν, ὑπεγράφη παρ' ἐμοῦ. συμμαρτυρήσουσι δέ μοι τούτοις καὶ ἕτεροι ἀξιόπιστοι, ἴσως δὲ καὶ διεξοδικώτερον γράψουσι τὰ κατὰ τὸν Ἰωσὴφ καὶ ἀνασκευάσουσι τὰ ἐκείνου ψευδῆ ῥήματα, συνούσης καὶ τῆς ἐμῆς γνώμης· τῷ δ' ἀνθρωπολάτρας τοὺς τῆς ἀληθείας ἡμᾶς προμάχους ἀποκαλεῖν τὸν Ἰωσὴφ ὡς χριστιανοκατήγορον καταδικάζομεν.

---

1 στερεῶσαι, μακροημερεῦσαι. ἐν ὑγία L 2 τῆ μεγάλη ἁγιωσύνη L 3 ἴδεις L 4 ἀπολάβεις L 5 διώξας L 7 παραστήσας L 8 ἀξιοπιστώτερον L || εἰδῶσι L 10 σὺ μαρτηρήσουσι L

# XV.

# ΙΩΣΗΦ ΒΡΥΕΝΝΙΟΥ

## ΕΠΙΣΤΟΛΑΙ ΤΡΕΙΣ ΚΑΙ ΔΙΑΘΗΚΗ ΚΑΙ ΑΝΩΝΥΜΟΥ ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΒΡΥΕΝΝΙΟΝ.

### 1.

***Ἀνωνύμῳ.***

Ἔμαθον παρὰ τοῦ Σταμάτη (οἶδας ὃν λέγω), ὅτι ἐβούλου ὅλῃ ψυχῇ ἐλθεῖν καὶ ἰδεῖν με. εὐχαρίστησα γοῦν τὸν ὑπεράγαθον κύριον ἕνεκα τούτου, δι' ὃν ἀγαπᾷς με τοσοῦτον. εὐχαριστῶ δὲ καὶ τῇ ἀντιλήψει σου· πλὴν καὶ ἀξιῶσαί σε λοιπόν, εἴπερ ἔστι σοι εὔκολον, χωρὶς ζημίας λέγω καὶ φόβου καὶ ἐξόδου τινὸς δι' ἐμὲ γινομένης· ἐλθέ, κοπίασον καὶ ἔτι καὶ ὄψῃ με, καὶ ἴσως εὐφρανθήσῃ καὶ πολλὰ δι' ἐμοῦ μετ' ἐμέ. καὶ τοῦτο δέ σου λέγω, προμηνύματα τῆς χαρᾶς ἐκείνης, ἧς μέλλεις ἀπολαβεῖν σύ. καὶ ἄλλως, ἐὰν ἔλθῃς καὶ ἴδῃς με, ὅτι τὸ ἐπιθυμεῖς αὐτὸς καὶ πάντες οἱ ἀγαπῶντές με διὰ θεόν, τὸ ἀνέλπιστον καὶ ἀπεγνωσμένον θέλεις ἰδεῖν, λέγω δὴ τὸ ἂν ἔλθῃς εἰς τὴν Κρήτην μετὰ τοῦ θελήματος τοῦ ἁγίου πνεύματος καὶ τῆς βουλῆς τῶν Βενετίκων, παρρησίᾳ καὶ φανερῶς εἰς τὸ μένειν αὐτοῦ μεθ' ἡμῶν μέχρι τελευταίας ἀναπνοῆς. θαυμάζεις τὸ πῶς καὶ ἀπιστεῖς τοῦτο. οἶδα κἀγώ, ἀλλὰ τοῦτο τὸ δοκοῦν σοι ἀμήχανον εὔκολον ἔσται θέλοντος τοῦ Χριστοῦ καὶ συν-

Codex chart. Eustathii Vulismae, archiepiscopi Corcyrensis, an. 1756, fol. 460—462. Excripsit et communicavit mihi possessor codicis. Vide E. Vulismae Βυζαντιακὰ ἀνέκδοτα in libro: Ἀττικὸν ἡμερολόγιον τοῦ ἔτους 1882 ὑπὸ Εἰρηναίου Ἀσωπίου. Ἔτος XVI. Ἀθήνησιν 1881, p. 353—356. Cf. etiam volumen anni 877, ἔτος XI, p. 323—325.



εργούσης μοι τῆς σῆς ἀντιλήψεως. πόθεν γίνεται τοῦτο; καὶ εἰ ἀληθῶς περὶ τούτου πληροφορήσεις με, οὐκ ἔστι δυνατὸν γραφῆναι τοῦτο τὸ πῶς· ἀκοῇ δὲ πιστωθῆναι δύναται μόνον καὶ ὀφθαλμοῖς τοῖς σοῖς καὶ τῇ καρδίᾳ ὡς μυστήριον μέγα ἐντυπωθῆναι. ὅμως μετὰ τοσαῦτά σοι γράφειν με ἐκεῖνο παρακαλῶ· μὴ νομίσῃς με ψεύδεσθαι, ἀλλὰ λόγισαι ὅτι ἐν Χριστῷ ἀληθεύω. ὁπόταν ἀκούσῃς, συνομολογήσεις μοι· τοῦτο γίνωσκε ἐν ἀληθείᾳ καὶ βεβαιώσει. ἀλλὰ τοῦτο μὲν ὁ παντοδύναμος κύριος, ἡ πανταιτία τριάς, εὐθύναι καὶ ἐκπληρῶσαι, εἰ μή τι προβλέπει παρεμποδοῦν εἰς ψυχήν· αὐτὸς δ' ὑγιαίνοις μοι ὁ τὰ πάντα καλός.

***Εἰς τὰς χεῖρας τοῦ κῦρ Γιαννούλη Δὲ Σπίγα.***

Τίμιε φίλε καὶ ἀδελφέ, εὔχομαί σοι ἐν Χριστῷ πᾶν ἀγαθὸν καὶ σωτήριον. γινώσκω ὅτι ὅταν ⟨μὲ⟩ ἐνθυμηθῇς, λυπεῖσαι καὶ ἀδημονεῖς περὶ ἐμοῦ πῶς οὐ βλέπεις με. παρακαλῶ σε γοῦν, ἵνα μᾶλλον ἔχῃς καλὴν καρδίαν δι' ἐμέ, ὅτι ἐλύτρωσέ με κύριος ὁ θεός μου ⟨ἀπὸ⟩ πολλὰ κακὰ καὶ ἔφερέ με εἰς πολλὰ ἀγαθά, ἀπὸ πολλοῦ κόπου εἰς πολλὴν ἀνάπαυσιν, ἀπὸ πολλὰς ὕβρεις εἰς πολλὰς τιμάς, ἀπὸ μικρὰ καὶ εὐτελῆ εἰς μεγάλα καὶ ἔνδοξα. καὶ σκόπει· ἀντὶ ἐρήμου βλέπω τὴν Πόλιν, ἀντὶ πετρῶν καὶ χαρακίων πατῶ πορφύραις καὶ τάπησι, ἀντὶ προβάτων καὶ αἰγῶν βλέπω καμήλους καὶ βουβαλίδας, ἀντὶ τοῦ Πασιθίου τὸν Ὄλυμπον, ἀντὶ τῆς Κολοκύνθας ἐκεῖ πέρα καὶ τὴν Λύττον, τὴν Ἀνατολὴν ὁμοῦ καὶ τὴν Δύσιν, ἀντὶ τοῦ λόγγου ἔχω τὸ παλάτιν, ἀντὶ τοῦ Χριστοῦ ἐκεῖ ἀπάνω τὴν Ἁγίαν Σοφίαν, ἀντὶ τὸ Σμάριν ὁρῶ τὸ Ἱπποδρόμιον καὶ ἀντὶ τῆς Ἄτρας τὴν Περίβλεπτον, καὶ ἀντὶ ταῖς Βουδολαῖς κατοικῶ στὰ Στουδίων, ἀντὶ τὰς δρυάδας βλέπω κυπαρίσσους καὶ ἀντὶ ἀχράδας ἔχω βεβέας, καὶ ἀντὶ τῶν ξένων ἔχω τὰ δικά μου, ἀντὶς τῆς ἀγάπης σου ἔχομεν τὸν ἡγούμενον καὶ ἀντὶ τῶν φίλων τοὺς ἄρχοντας, ἀντὶ τῆς ὁμιλίας τῶν Κρητικῶν ἔχομεν τοὺς Πολίτας καὶ ἀντὶ πολλῶν χωρίων τὰ μοναστήρια, ἀντὶ φόβου τὴν ἀφοβίαν, ἀντὶ βαρβάρων λογίους· νὰ εἰπῶ τὸ μεγαλώτερον, ἀντὶ θανάτου εὑρήκαμεν ζωὴν καὶ ἀντὶ φουρτούνας ἐπιτύχαμεν γαλήνην, καὶ ἀντὶ δουλείας με-

21 cod. πασιθίου; an Λασιθίου?

γίστην ἐλευθερίαν. ἔλειψέ με ἡ Καλὴ τοῦ Ἰάπτη, ἢ ἡ Θεοδώρα τοῦ Καρανίκου καὶ ἡ Χρυσῆ τοῦ Βελονᾶ, ὁ Γιάννης τῆς Εἰρήνης ἀπὸ τὸ Δυμότειχον καὶ ὁ Σταμάτης τῆς Κεραζῆς ἀπὸ τὸ Πρίλαμπον, καὶ Κυρητέος τῆς Τετίας εἰς τὰ Βελάγραδα ἤχει τὰ ὅτι ἐ λ υ τ ρ ώ θ η κ α, τὸ σ ύ ρ ε καὶ τὸ ξ έ σ χ ι σ ε, τὸ ἔ λ α δ ῶ καὶ ὕ π α κ ε ῖ καὶ τὰ ν ά μ ε, ἀ φ έ ν τ η. τί γελᾷς; φαίνεταί σου παράξενα τὰ λόγια μου; κι' ἐγώ, ὡς διὰ νὰ γελᾷς, σὲ τὰ γράφω καὶ φαίνεταί μου καὶ καλόν, διότι σὲ ποιῶ ἀπὸ δῶ ἕως αὐτοῦ καὶ γελᾷς. διὰ ταῦτα πάντα καὶ δι' ἄλλα πλείω πρέπει νὰ μηδὲν λυπῆσαι ποτὲ δι' ἐμέ, ἀλλὰ μᾶλλον νὰ δοξάζῃς τὸν θεὸν ὑπὲρ ἐμοῦ. ὅμως δὲ νὰ εἰπῶ σύντομα τὴν διαφορὰν ἀπὸ τὰ ἤμουν εἰς τὸ εἶμαι, ἤξευρε ὅση ἔναι ἀπὸ τοῦ νά 'ναι κανεὶς μετὰ τῶν ἁγίων εἰς τὸ νά 'ναι ἁπλῶς μετὰ τῶν ἀνθρώπων. τόση γὰρ ἔνι ἡ διαφορὰ ἀπὸ τὸ ἤμην αὐτοῦ παρὰ τώρα. δόξαζε γοῦν ὑπὲρ ἐμοῦ τὸν θεόν. εἰ δὲ ὅμως λυπεῖσαι τάχα, διότι δὲν μᾶς βλέπεις, ὀλίγαις ἡμέραις εἶναι καὶ θέλομεν εἶσθαιν εἰς τὸν ἄλλον ἐκεῖνον κόσμον, ὅπου λάμπει ἀντὶ ἡλίου τὸ πρόσωπον τοῦ Ἰησοῦ Χριστοῦ τὸ γλυκύτατον καὶ φαίνονται ἑνὸς ἑκάστου αἱ πράξεις οἱ λόγοι καὶ τὰ νοήματα γυμνά. ἐκεῖ γοῦν με θέλετε ἰδεῖν καὶ θέλετε μὲ βλέπειν πρὸς πρόσωπον πάντοτε. σωθείητε.

3.

***Τοῦ αὐτοῦ ἐπιστολὴ τῷ ἐντιμοτάτῳ ἐν ἱερεῦσι κῦρ Νικολάῳ τῷ Κατζαδούρῃ, τῷ ψάλλοντι τὴν Ἁγίαν Ἄνναν ἐν τῷ Χάνδακι εἰς Κρήτην.***

Ἔντιμε, αἰδέσιμε καὶ εὐλαβῆ ἐν ἱερεῦσιν, εὔχομαι Χριστῷ τῷ θεῷ ἵνα ὑγιαίνῃς καὶ ἔχῃς ἐπὶ πᾶσι καλῶς. ἐγὼ πάντοτε ἐνθυμοῦμαι τῆς ἁγιωσύνης σου ἐπὶ καλῷ· μέμνημαί σου τῆς νεότητος, τῆς ἀναστροφῆς ἐκείνης τῆς παιδικῆς, τῶν ἡδίστων σου ἀστειευμάτων τῶν φιλικῶν, τῆς περὶ τὰ καλὰ σπουδῆς, τῆς ἀποχῆς τῶν κακῶν ἐθῶν, οἷς χρῶνται οἱ πλεῖστοι τῶν Κρητῶν κακοήθων ἱερέων, τῆς περὶ τὴν ἀνάγνωσιν ἐπιμόνου καθέδρας, τῆς εἰς τὴν ἐκκλησιαστικὴν ἀκολουθίαν ἐγρηγορεύσεως καὶ τῆς πρὸς ἡμᾶς διαθέσεως, καὶ ἁπλῶς, ἵνα μὴ λέγω καθ' ἕκαστον, πάντων σου τῶν καλῶν μνημονεύω καὶ συναρίθμιον τίθημι τῶν ἐμῶν φίλων, καὶ δέομαι τοῦ κυρίου, ἵνα προκόπτῃς τὸ καθ' ἡμέραν· ἔχεις



γὰρ καὶ συνεργὸν ἐν τούτοις τὸν ἄριστον ἐν πνευματικῇ καὶ σαρκικῇ συγγενείᾳ σοι φίλον τὸν καλὸν τὰ πάντα Μιχαὴλ ἱερέα, ὃν ὁ χρόνος φθάσας πρὸ σοῦ εἰς πάντα ταῦτα ἐδικαίωσε. λοιπὸν σπούδαζε καὶ ἐπιμελοῦ πάντοτε σεαυτοῦ, τῆς ἐκκλησιαστικῆς καὶ τῆς προκοπῆς σου τῆς ἐν παιδεύσει καὶ τῆς ψυχικῆς, γινώσκων ὅτι ὁ σπουδάζων ἀεὶ ἀναβαίνει, ὁ δὲ ἀμελῶν πίπτει. ἀλλὰ ταῦτα μὲν θεὸς συμπαράσχοιτο, σὺ δὲ παριστάμενος θεῷ ἐν ταῖς ἱεραῖς τελεταῖς μέμνησο καὶ τῆς ἐμῆς, φίλε, ψυχῆς.

4.

***Διάταξις Ἰωσὴφ μοναχοῦ Βρυεννίου.***

Εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

